ΒΕΡΟΙΑΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΡΑΤΙΚΟΝ ΝΟΣΟΚΟΜΕΙΟΝ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΡΑΤΙΚΟΝ ΝΟΣΟΚΟΜΕΙΟΝ

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
ΒΕΡΟΙΑΣ
1100 1367
Ἀριθ. εἰσ. 162/1958
ΔΩΡΕΑ Τσούπελη
GRVER-00283
ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ
1953

# ΣΤΟΙΧΕΙΑ
ΤΗΣ
# ΜΕΤΑΦΥΣΙΚΗΣ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
ΒΕΡΟΙΑΣ
1100 1967
Ἀριθ. εἰσ. 162/1958
ΔΩΡΕΑ Τσούπελη
GRVER-00283

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ
1953

# ΣΤΟΙΧΕΙΑ
ΤΗΣ
# ΜΕΤΑΦΥΣΙΚΗΣ.

ΚΡΑΤΙΚΟΝ ΝΟΣΟΚΟΜΕΙΟΝ ΒΕΡΡΟΙΑΣ
ΒΑΣΙΛΕΙΟΝ ΤΗΣ ΕΛΛΑΔΟΣ

Αρ 69

ΚΡΑΤΙΚΟΝ ΝΟΣΟΚΟΜΕΙΟΝ ΒΕΡΡΟΙΑΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΣΤΟΙΧΕΙΑ
# ΤΗΣ ΜΕΤΑΦΥΣΙΚΗΣ
ΥΠΟ
## ΕΥΓΕΝΙΟΥ ΤΟΥ ΒΟΥΛΓΑΡΕΩΣ

Διακόνου ἔτι ὄντος, καὶ ἐνιαχοῦ σχολαρχοῦντος τοῖς αὐτοῦ Ἀκροωμένοις πρώην ἀναπτυσσόμενα·

Νῦν δὲ παρὰ τῶν

## ΖΩΣΙΜΑΔΩΝ ΑΥΤΑΔΕΛΦΩΝ

ΑΝΑΣΤΑΣΙΟΥ, ΝΙΚΟΛΑΟΥ, ΖΩΗ, ΚΑΙ ΜΙΧΑΗΛ

Τοῖς

Ὁμογενέσι Φιλολόγοις φιλοτίμῳ δαπάνῃ ἐπὶ τῷ διανεμηθῆναι δωρεὰν τύποις ἐκδοθέντα.

*Ἐπιστασίᾳ Σπυρίδωνος Βλαντῆ.*

---

ΤΜΗΜΑ Β΄.

---

Ὅπερ ἐστὶν

## Η ΚΟΣΜΟΛΟΓΙΑ.

---

ΕΝΕΤΙΗΣΙΝ.

---

Παρὰ Νικολάῳ Γλυκεῖ τῷ ἐξ Ἰωαννίνων.

1805.

Αρ. Εισ. 1367

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΣΤΟΙΧΕΙΑ
# ΤΗΣ ΜΕΤΑΦΥΣΙΚΗΣ
## ΤΑ ΠΟΝΗΘΕΝΤΑ
## ΕΥΓΕΝΙΟΥ ΤΟΥ ΒΟΥΛΓΑΡΕΩΣ

[illegible]

[illegible]

νῦν δὲ τύποις

ΖΩΣΙΜΑΔΩΝ, ΑΥΤΑΔΕΛΦΩΝ

ΑΝΑΣΤΑΣΙΟΥ, ΝΙΚΟΛΑΟΥ, ΖΩΗ, ΚΑΙ [illegible]

[illegible]

[illegible]

ΤΟΜΟΣ Α.

Ο περιέχων

Η ΚΟΣΜΟΛΟΓΙΑ

ΕΝ ΒΕΝΕΤΙΑΙ,

Παρὰ Νικολάῳ Γλυκεῖ τῷ ἐξ Ἰωαννίνων.

1805.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΤΗΣ
# ΜΕΤΑΦΥΣΙΚΗΣ
## ΒΙΒΛΙΟΝ Β΄.
### ΟΠΕΡ ΕΣΤΙΝ
## Η ΚΟΣΜΟΛΟΓΙΑ.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ 1953

Μικρὸν κατωτέρω γινομένη ἡ διὰ τοῦ ὄντος κατὰ γένος, καὶ τῶν, ᾗ ὄν, ἐπιτεθεωρημένων αὐτῷ, ὑπερπετὴς ἄχρι τοῦδε φερομένη σοφία, τῆς σωματοειδοῦς ἁπάσης φύσεως τὴν θεωρίαν ἀναβάλλεται, καὶ τὸν ὅλον διάκοσμον σκέμμα προτίθεται ἑαυτῆς οὐκ ἀλλότριον. Εἰ γὰρ καὶ τῆς περὶ φύσεως πραγματείας ὑποκείμενον ὡμολόγηται εἶναι τόδε τὸ Πᾶν, ὃ καὶ φύσις ὠνόμασαι· (§. σογ΄.) ἀλλ' ἥτε ἔκτασις, καὶ ὁ τρόπος τῆς θεωρίας, ὡς ἐπὶ πολλῶν, κἀνταῦθα τὰς ἕξεις διέστησε· τῆς μὲν γὰρ περὶ τοῦ Κόσμου τοῦ ὑφεστῶτος δὴ τούτου, καὶ μόνου, ἡ σκέψις· τῆς δὲ καὶ περὶ οὑτινοσοῦν ἄλλου, κατ' ἀφαίρεσιν ἀπὸ τοῦ παρόντος, καθόλου ὁ λόγος. Καὶ ἡ μὲν τόνδε, ὡς ἔχει, ἀφορᾷ, τὰ περιόντα αὐτῷ πάθη πολυπραγμονοῦσα· ἡ δὲ, καὶ εἴτις ἕτερος παρὰ τοῦτον, δυνατῶς ἐστὶν ἔχων, ὡς ἂν ἐνδέχοιτο ἔχειν, ἢ μὴ, ἐπισκοπεῖ, τὰ περιεσόμενα ἂν κἀκείνῳ προσεξετάζουσα. Καὶ τῇ μὲν ἡ φύσις, καὶ ἡ κατ' αὐτὴν ἐν τοῖς οὖσιν ἀρχὴ τῆς κινήσεως καὶ τῆς ἠρεμίας τὸ θηρευόμενον, ἐπὶ δὲ τὴν θήραν ποδηγέτις τὰ πλεῖστα ἡ αἴσθησις γίγνεται, δι' ἐμμελοῦς παρατηρήσεως, καὶ πείρας ἀκριβοῦς τὴν ἐπὶ τῶν σωμάτων ἀλήθειαν ῥινηλατοῦσα, καὶ ἐξιχνεύουσα· τῇ δὲ, καὶ τὰ οὐσιωδῶς τῇ ἐνύλῳ φύσει προσήκοντα ἀκριβούσῃ, καὶ περὶ τῶν ἀρχῶν, καὶ αἰτίων, καὶ τῆς καταβολῆς, καὶ τῆς τάξεως, καὶ συναρμογῆς, κα-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καθ' ἣν οὗτός τε, καὶ εἴτις ἄλλος διάκοσμος, πέφυκεν ὡς ἐκ μελῶν συναρμολογεῖσθαι, πρόκειται ἡ εἰσήγησις, μᾶλλον ἢ ταῖς περὶ ἕκαστον αἰσθητικαῖς ἀντιλήψεσι, τῷ λόγῳ πειθαρχούσῃ, καὶ ὑπὸ τῶν κοινοτάτων ἐννοιῶν, ἃς ἡ Ὀντολογία φθάσασα εἰς τόδε ἡμῖν ἐξέθετο, χειραγωγουμένη. Διὸ κἀκείνως μὲν ἐκληφθεῖσα ἡ περὶ τοῦ Κόσμου διδασκαλία τῆς Φυσιολογίας μέρος ἂν εἴη ἐπίσημον, καὶ Κοσμολογία φυσική τε καὶ εἰδικὴ προσακούσειεν. Οὕτω δὲ τῆς ἀνὰ χεῖρας ἕξεως κεφαλαιώδης τε, καὶ οἰκείως ἔχουσα κρίνεται σκέψις, καὶ Μεταφυσική, Καθόλου τε καὶ Διαβατικὴ Κοσμολογία τε, καὶ Κοσμοσοφία, εἴωθεν ἐπιφημεῖσθαι, παρ' οἷς οὐκ ἀλυσιτελὲς ἐν ἐπιστήμαις καινοτομεῖν ἔγνωσται τὰ ὀνόματα.

§. υπα'. Συγγενίδα δὲ τὴν ἐν χερσὶ θεωρίαν ἑαυτῇ οὖσαν, ἡ προλαβοῦσα ἐγκρίνει τε, καὶ προσίεται· τό, τε ὀντολογικὸν εἶδος, τὸ περὶ τῆς Κοσμολογίας οὐκ ἀπαξιοῖ ἔχειν διάδοχον. Ἑκατέρου γὰρ ἀνωτάτη καὶ ὑπερκειμένη ἡ σκέψις, τοῦ μὲν τὰς προσηκούσας τῷ ἁπλῶς ὄντι κοινοτάτας ἐννοίας ὑποτιθεμένου, τοῦ δὲ τὰς ἐν γένει τῷ ἐκ πλειόνων φύσεων διακεκοσμημένῳ ἑνὶ, ὡς ὅλον, συντάγματι. Καὶ μὴν καὶ ἐκ τούτου τὰς ἀρχὰς, τὸ πολὺ μέρος, αἷς ἂν χρήσαιτο, ἡ φυσικὴ συμπορίζεται πραγματεία, ὡς ἐξ ἐκείνου πᾶσα μικροῦ ἐπιστήμη· ὥστε καὶ οὐδὲν ἀπεικὸς, εἰ πρὸς τὴν ἀρχικωτάτην ἀνάγεται ἕξιν, ἡ καθ' ἑαυτὴν τὸ ἀρχικόν τε, καὶ ὑπερέχον τῆς θεωρίας προϊσχομένη εἰσήγησις.

§. υπβ'. Οὕτω δέ τοι ἐξειλημμένη ἡ Κοσμολογία, θεωρία τις ἐστὶ, περὶ Κόσμου ἐν γένει, κατὰ λόγον ἐπιστήμη πρέποντα, τὰς ἀρχὰς καὶ αἰτίας, καὶ τὴν καταβολὴν, καὶ τὴν τάξιν, οἷς συνίσταταί τε καὶ συναρμόζεται τὸ ὅλον σύνταγμα, φιλοκρινοῦσά τε καὶ κατασκευάζουσα. (1) Ἡ ἄλλως ἐπιστήμη, ἡ τὸν Κόσμον κατὰ γένος θεωροῦσα, ὡς ὅλον τι ἐκ μερῶν πλειόνων συγκροτούμενον, καὶ ποικίλων παθῶν τε καὶ τρόπων, καθ' ἣν ἔχει ὁλοκληρείαν, δεκτικὸν ἀναδεικνύμενον. (2)

§. υπγ'.

(1) Γενουΐσ. Μεταφ. Μέρ. Α'. Προλεγ. §. 3.
(2) Οὔλφ. Ἐν Κοσμολογ. τῇ κατὰ γένος. Προλεγ. §. α'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

§. υπγ΄. Πρῶτος οὖν τὴν οὕτως ἔχουσαν ἐπιστήμην πεπραγματευμένος, ὁ παρὰ τοῖς Γερμανοῖς μετὰ κλέους καθ' ἡμᾶς φιλοσοφήσας Οὐόλφιος φέρεται. Ὁ γεμὴν οὐχ ὡς ἄρα χωρίον τοῦτο ἐπιβὰς ἄστιβες πάμπαν τοῖς ἄλλοις, καὶ ἄβατον, κλεϊζέσθω· ( ἐγένοντο γὰρ οἱ καὶ πρὸ ἐκείνου τῶν τοιούτων ἀψάμενοι θεωρημάτων καὶ παλαιοὶ, καὶ νεώτεροι. ) ἀλλ' ὡς τὰ σποράδην τοῖς ἄλλοις περὶ τούτων εἰρημένα, πρῶτος συλλέξας ἐκεῖνος, καὶ εἰς ἓν ἀθροίσας, κἀκ τούτων, οἷον ἐκ μελῶν ἀκόσμως τῇδε κἀκεῖσε παρερριμμένων, σῶμα ἓν ἄρτιον διδασκαλίας ἐμμελῶς συναρθρώσας τε καὶ κοσμήσας, καρπούσθω τὸν ἔπαινον.

§. υπδ΄. Ἀπτέον τοίνυν καὶ ἡμῖν ( παρέστω δὲ τοῦ λόγου ἔφορος ὁ Θεός. ) τῆς προτεθείσης εἰσηγήσεως, εὐθὺς μετὰ τὴν φθάσασαν εὐμεθόδως προβαίνουσι καὶ εὐρύθμως. Ἀπτέον δ' οὖν ὡς οἷόν τε ( πλήθει γάρ τε καὶ ποικιλίᾳ πραγμάτων καθ' αὑτὴν ἡ ἕξις ἀδροτέρα καθίσταται. ) ἐπιτετμημένως τε, καὶ περιληπτικῶς· τῶν μὲν κεφαλαιωδεστέρων, καὶ οἷον ὀστέων τινῶν καὶ νεύρων, οἷς ἡ Κοσμολογικὴ Θεωρία στηρίζεται καὶ συνέχεται, λόγον σκελετώδη τινὰ προστησαμένοις, τῶν δ' ἐπὶ τούτοις, καὶ περὶ ταῦτα, τὴν δίκην ὑμένων τινῶν ὄντων, καὶ μυῶν, καὶ πιμελῆς, οἷς ἂν πρὸς τὸ ἀβρότερον ἡ πραγματεία καὶ περιττὸν ἐκπιαίνοιτο, παρημεληκόσιν. Οὕτω γὰρ ἂν καὶ τῇ Μεταφυσικῇ σπεισαίμεθα, μὴ ἐκμελῆ αὐτὴν, καὶ ἠκροτηριασμένην τὰ καίρια, καὶ οἷον ἡμίπνουν τινὰ, χαμαὶ κειμένην ἐάσαντες, καὶ τοῦ χρόνου φεισαίμεθα, μὴ καὶ δόξαιμεν ( ὃ πυνθάνομαι ποτνιωμένους ὑμᾶς ) περὶ τὴν τούτου δαπάνην ἀφειδῶς λίαν ἀσωτευόμενοι. Ὑμῶν δ' ἂν εἴη ταῖς τῶν πόνων ἐπιθήκαις ἀντικαταστῆσαι τὸ τοῦ χρόνου μειούμενον, καὶ δεῖξαι ἄρα, μὴ ἀπαραιτήτως καὶ χρόνου μακροῦ, καὶ πόνου πολλοῦ, δι' ἴσου ἐς ἀεὶ δεῖσθαι τὴν μάθησιν, ὃ πάλαι τεθρύλληται· τῇ δὲ θατέρου ἐπιδόσει, μειαγωγουμένου θατέρου, ἐν ἴσῳ λόγῳ, τῷ ἐξ ἀμφοῖν ἀνίσως συγκεκραμμένῳ, ἐπὶ τὴν τοῦ τέλους ἐξεῖναι ποτὲ ἱκέσθαι ἐπίτευξιν.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΚΕΦΑΛΑΙΟΝ Α΄.

## Τίνα δήποτε τοῦ Κόσμου ἔννοιαν, ὡς ἡμῖν ἐπὶ τοῦ παρόντος πρόκειται θεωρεῖν, ληπτέον;

§. υπέ. „ Ὅδε μὲν, οὗ μέρη καὶ ἡμεῖς αὐτοὶ, ὁ Κόσμος, „ τὸ ἐξ οὐρανοῦ καὶ γῆς ἐστὶ σύστημα, καὶ τῶν ἐν τούτοις περιεχομένων φύσεων. Λέγεται δὲ καὶ ἑτέρως Κόσμος, ἡ τῶν „ ὅλων τάξις τε, καὶ διακόσμησις, ὑπὸ Θεοῦ τε, καὶ διὰ Θεὸν „ φυλαττομένη, ὡς Ἀριστοτέλης ὡρίσατο (1). Καὶ εἴτις δὲ ἄλλος Κόσμος παρὰ τοῦτον αὐτὸν ὑποσταίη, ἢ γοῦν νῷ προσληφθείη, εἰ μέλλοι διακόσμησις εἶναι, καὶ σύστημα πλειόνων ἂν εἴη φύσεων, καὶ τάξιν αὔτινα τῶν συγκροτούντων αὐτὸν ὄντων, περιέχοι πρὸς ἄλληλα, καὶ συνάφειαν. Καὶ πρός γε τὸν Κοσμήτορα Θεὸν ὑφ᾽ οὗτε, καὶ δι᾽ ὃν συνέχοιτο, ὥσπερ δὴ καὶ ὁ ὑφεστηκὼς οὗτος, οὕτω τοι ὡς εἰκὸς ἂν εἴη κἀκεῖνος, ἀναφερόμενος. Ἐπεὶ δὲ καὶ τὸ πάντη νωθρὸν καὶ ἀεργὲς ἡ φύσις ἀπέστραπται, καλλύνεσθαι δὲ θέλει, ταῖς κατὰ εἴδη τῶν πλειόνων δυνάμεσι, καὶ ἀλληλουχεῖσθαι συνδεομένη ταῖς διὰ τῶν δυνάμεων ἐνεργείαις, ἄλλων ἐπ᾽ ἄλλα εἰς ἑνὸς τέλους συννευόντων ἐπίτευξιν, εἴη ἂν οὐκ ἀπεικότως ὁ Κόσμος πλουτῶν καὶ τὸ δραστήριον· καὶ τῶν ἐντεῦθεν δὲ μεταβολῶν πλήθεσί τε καὶ διαφοραῖς καταποικιλλόμενος, ἀναδειχθείη ἂν οὕτω τοῦ ὀνόματος ἄξιος.

§. υπς΄. Καὶ γὰρ (ἐφ᾽ ᾧ ἀπὸ τοῦ διακοσμηθέντος δὴ τούτου συντάγματος, ἀναχθῆναι ἡμᾶς ἐπὶ τὴν καθολικωτέραν τοῦ Κόσμου περίνοιαν) αὐταῖς αἰσθήσεσι κατάδηλον ἐστὶν ἐπὶ τοῦδε τοῦ ὑφεστῶτος, Α΄. πολλὰ μὲν κατὰ διαμονὴν ἅμα κεῖσθαι τῶν ὄντων, ἀλλήλοις συνυφεστῶτα, καὶ συνυπάρχοντα. Β΄. πολλὰ δὲ καὶ ἄλληλα διαδέχεσθαι. Γ΄. Καὶ πάντα δὲ τὰ τοιαῦτα διηνεκέσι μεταβολαῖς ὑπείκειν καὶ ἀλλοιώσεσι. Δ΄.

δὲ

---

(1) Περὶ Κόσμου πρὸς Ἀλέξανδ. Κεφ. β΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δὲ καὶ ἀλλήλοις κατ' αἰτίαν αὐτὰ συμπεπλέχθαι, καὶ ὑποσυναποτελεῖν τὸν ἐξ αὐτῶν ὅλον διάκοσμον. Ε'. δὲ καὶ ταῦτα αὐτὰ ἅμα πάντα ληφθέντα, μηδὲν ἔξω τοῦ κατ' αὐτὰ συντάγματος παραλείπειν, πρὸς ὅπερ ἂν ὡς μέρη αὐτὰ ἀνάγοιτο.

§. υπζ'. Καὶ τὸ δὴ Α'. οὐρανὸς αὐτὸς μαρτυρεῖ, ὃν ἄνω „ πάρεστιν ὁρᾶν, Θεοῦ ἀνώτατον οἰκητήριον, καὶ γῆ φερέσβιος „ ἡ ὑπὸ ποσὶν ἡμῖν, παντοδαπῶν ζώων ἑστία τε οὖσα, καὶ „ μήτηρ (1). Καὶ τὰ πρὸ ὀφθαλμῶν ἡμῖν, φωστήρων τε μεγέθη καὶ κάλλη, καὶ ἀστέρων συγχορεύουσαι ἀπαύστως συστάσεις· καὶ τὰ ἐν ποσὶ ταῦτα, ζώων εἴδη μυρία, καὶ φυτῶν, καὶ δένδρων, πελάγη τε καὶ ποταμοὶ, καὶ τὰ ἄλλα, ἃ δὴ πάντα συνδιαμένει, μέλη οἱονείτινα ὄντα, τὰ μὲν μείζω, τὰ δὲ ἐλάσσω, ἅμα ὑφεστῶτα, καὶ τὴν ὁλοσχέρειαν τῷ παντὶ χαριζόμενα. Τὸ δὲ Β'. πεῖρα πιστοῦται ἀμφιλαφὴς, ἡμέρας νύκτα διαδεχομένης, καὶ νυκτὸς ἡμέραν, καὶ τῶν γενέσεων καὶ φθορῶν ἀλληλοδιαδόχως τελουμένων, καὶ οὐδὲ τῶν καλλίστων ἐν οὐρανῷ σωμάτων ἀτρεμούντων ὅλως, ἐνδελεχὲς δὲ περιαγομένων. Ἀλλὰ καὶ τὸ Γ'. οὐχ ἥκιστα φανερὸν, τῶν αὐτῶν δὴ τούτων ποσῶτε ποιῶτε καὶ ταῖς ἄλλαις καταστάσεσιν ἑτεροιουμένων, καὶ μηδενὸς μηδαμῇ ἑστῶτος, ἀδιαλείπτως δὲ ῥοήν τινα καὶ ἀπόρροιαν ἄπαυστον ὑφισαμένων. Ἐφ' οἷς καὶ τὸ Δ'. μόλις γὰρ ἄν τι, μᾶλλον δὲ μηδὲν ἂν ἔχοις εὑρεῖν καθ' ἑαυτὸ, καὶ δι' αὑτὸ ὄν· ἐπισκοπήσας δὲ ἄλλ' ἐξ ἄλλων ὄψη τε, καὶ δι' ἄλλα, τῶν μὲν αἰτίων ὄντων, τῶν δὲ αἰτιατῶν. Καὶ οὐχ ἁπλῶς, διττῷ δὲ λόγῳ αἰτίας τὴν πρὸς ἄλληλα ἀναφορὰν παρεχομένων ἰδεῖν, καὶ σχέσιν· τῶν μὲν ποιητικῶς δηλονότι πρὸς ἄλλα ἀναφερομένων, τῶν δὲ τελικῶς· οἷον ποιητικῶς μὲν ἡλίῳ γῆ περιθάλπεται· τελικῶς δὲ, ἐφ' ᾧ ἐπίσης τοὺς φωτισμοὺς ἀναδέχεσθαι, καὶ τὰς περιθάλψεις τὰς ὑφ' ἡλίου, ἡ γῆ αὐτὴ συνεσφαίρωται. Καὶ ἀνώμαλος δὲ συνέστη τὴν ἐπιφάνειαν, πῇ μὲν εἰς κοιλάδας ταπεινωθεῖσα, πῇ δ' εἰς πεδία πλατυνθεῖσα, πῇ δ' εἰς ὄρη κορυ-

(1) Ἀριστ. Περὶ Κόσμου πρὸς Ἀλέξανδ. Κεφ. Β'.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κορυφωθεῖσα, πῆ δ' εἰς φάραγγας διερρωγεῖα, καὶ διασφάγας, καὶ ποικίλως οὕτω συνελόντι περιβραχυνθεῖσα, ὡς ἂν ἐν ὄγκῳ τοσούτῳ, πλείονα προΐσχοιτο τὴν κατ' ἐπιπολὴν εὐρύτητα καὶ διάστασιν, καὶ πλειόνων εἰς οἴκησίν τε καὶ κίνησιν, καὶ τὰς ἄλλας χρείας προσεπαρκέσειε. Τελευταῖον δὲ καὶ τὸ Ε. ἀσφαλῶς ὁ λόγος αὐτὸς πρεσβεύει· ἔξω γὰρ τῶν πάντων πῶς ἄντι ὑπολειφθείη, μὴ προφανοῦς ἑπομένης τῆς ἀντιφάσεως;

§. υπή. Ἐκ τούτων οὖν λαβεῖν ἔσαι τοῦ Κόσμου ἔννοιαν κατὰ γένος, ὁρισαμένους τοῦτον εἶναι σύςημα ὁλικὸν (διὰ τὸ Ε.) πολλῶν ἅμα συνυπαρχόντων, (τὸ Α'.) καὶ ἄλλων ἄλλα διαδεχομένων, (Β'.) διηνεκῶς μεταβαλλόντων, (Γ'.) ποιητικῶς τε, καὶ τελικῶς ἀλλήλοις συνηρμοσμένων. (διὰ τὸ Δ'.)

§. υπθ'. Καὶ δὴ ἐκ μὲν τῶν ὑφεςώτων δὴ τούτων τῶν τε συνυπαρχόντων ἀλλήλοις, καὶ τῶν ἄλληλα διαδεχομένων, τῶν οὕτω μὲν, οὐκ ἄλλως δὲ συνηρμοσμένων, ὅδε ὁ ὑφεςὼς, καὶ οὐκ ἄλλος, τῷ ἀριθμῷ εἷς, συνήρτυται κόσμος. Ἄλλος δ' ἂν συναρτύοιτο ἐξ ἄλλων ὄντων παρὰ ταῦτα αὐτὰ, ἤτοι σωζομένου τοῦ κατὰ τόνδε εἱρμοῦ καὶ τῆς τάξεως, ἢ μηδὲ τούτου. Ἢ γοῦν ἀλλοῖος καὶ ἐξ αὐτῶν τούτων, μόνῃ ῥοπῇ τῇ κατὰ τὸν ἐν τῷ νῦν ὑφεςῶτι εἱρμὸν, καὶ τῆς μεταξὺ τῶν αἰτίων καὶ τῶν αἰτιατῶν σχέσεως, μεταμειφθείσης, καὶ εἰς ἑτεροίαν τινὰ μεταςοιχειωθείσης· ταυτὸν εἰπεῖν τῶν ἐν τῷ παντὶ θεσμῶν τρεπομένων, καὶ παρὰ τοὺς κειμένους, ἄλλων ἀντικαθιςαμένων· ἐξ ὧν καὶ τὰς κατὰ περιόδους μακρῶν αἰώνων Παλιγγενεσίας τῶν ἐκ τῆς Στοᾶς, ὡς συςατικὰς ἄρα ἀεὶ ἄλλων καὶ ἄλλων διακόσμων, τῶν κατ' ἐκείνους, δεῖ παιδεύθῆναι. Καὶ ἣν ἐν ἀπορρήτοις μυούμεθα τοῦ παντὸς καινουργίαν, ἐκςησομένου τῶν κρατούντων ἐν αὐτῷ ἤδη θεσμῶν, ἤτοι πάντων, ἢ πάντως τινῶν, καί γε ἐξαλλοιωθησομένου, οὐχὶ Κόσμου ἄλλου πρεσβεύσομεν ἐσομένην ὑπόςασιν, τοῦ δέ τοι ὄντος, κατὰ τὸ δοκοῦν τῷ ὑποςήσαντι, παραλλαγήν τε καὶ ἐξαλλοίωσιν.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Θεώρημα Α'.

§. υή. „ Τῇ ὑπάρξει μιᾶς καὶ μόνης τῆς ἀριθμῷ οὐσίας „ ἁπλῆς, Κόσμος οὐδεὶς ἂν ὑποσταίη· συνθέτου δὲ δὴ καὶ „ μάλα.

Οὐ γὰρ ἂν οὐδὲ τὰ συνυπαρχόμενα, οὐδὲ τὰ διαδεχόμενα, οὐδὲ τὰ μεταβάλλοντα εἰς ἄλληλα, οὐδὲ τὰ κατ' αἰτίας λόγον ὁπωσοῦν ἀλληλουχούμενα, ἐπὶ τῆς τῷ ἀριθμῷ μιᾶς καὶ ἁπλῆς γένοιτο ἂν (ἐξ ὑποθ.) ἄρα (§. υπή. υπθ'.) οὐδὲ Κόσμος. Ἄρα τὸ Α'.

Ἐπὶ δὲ τῆς συνθέτου καὶ μιᾶς γένοιτ' ἂν ταῦτα. Καὶ κατ' αὐτὴν ἄρα ὑποσταίη καὶ Κόσμος. Ἄρα τὸ Β'.

## Θεώρημα Β'.

§. υγά. „ Οὐδὲ τὸ ἐκ πλειόνων καὶ συνυπαρχόντων, καὶ „ ἐπιδιαδεχομένων, καὶ μεταβαλλόντων, καὶ κατὰ τὸν τῆς αἰ„ τίας καὶ τοῦ αἰτιατοῦ λόγον ἀλλήλοις ἐπισυνημμένων ὄντων „ σύστημα Κόσμον ἂν φαίημεν, εἴγε ταῦτα αὐτὰ καὶ ὑφ' ἑ„ τέρων παρ' αὐτὰ εἴη πάσχοντα, ἢ πρὸς ἕτερα ἐνεργοῦντα.

Τὸ γὰρ ἐξ ἐκείνων, μετὰ τῶν παρ' αὐτὰ ἑτέρων, ὑφ' ἓν ὁλικῶς συμπαραληφθὲν σύστημα Κόσμος. (§. υπή. υπθ'.) Εἰ δὲ τὸ ἐξ ἐκείνων ἰδικῶς σύστημα τοῦ ὀνόματος ἀξιώσαις χωρὶς τῶν ἑτέρων πρὸς ἅπερ ἔχειν τὴν ἀναφορὰν ὑποτίθεται, εἴη ἂν καὶ τὸ ἐν μέρει σύστημα Κόσμος (σοῦ λέγοντος) καὶ οὐχὶ Κόσμος, μὴ ὁλικῶς συνεστάναι ὑποτιθέμενος, κατὰ τὸν λόγον (§. υπή.). Ἄρα κτ.

## Σχόλιον.

§. υγβ'. Οὕτως οὖν τὸ ὑφεστὸς σύνταγμα ὁλικῶς νοητέον, οἷόν τι σύστημα μέγα, ἐκ πλειόνων ἄλλων συνεστὼς συστημάτων ἁπλουστέρων, τῶν μὲν μειζόνων, τῶν δ' ἐλασσόνων, ἄχρι τῶν ἐλαχίστων τε καὶ ἁπλουστάτων οὐσιῶν, τὴν ἀνάλυ-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κάλυσιν ἐπιδεχομένων. Οὕτω φέρε τῶν ἰνῶν ἕκαστος τῶν λεπτοτάτων, ἐξ ὧν ἀνθρώπῳ τὸ σῶμα συνύφασαι, συστημάτιόν μοι νοήσεις οἷον ἐκ πλειόνων βραχυτάτων συγκεκροτημένον μορίων· ἐκ δὲ δὴ πολλῶν ἰνῶν, μῦς, καὶ ὑμὴν, καὶ ὀστοῦν, κτλ. Ἐκ δὲ τούτων ἅμα, μέλος ἓν οἷον ὁ βραχίων· ἐκ πλειόνων δὲ μελῶν διαφορὰν ἐχόντων, τὸ ὅλον σῶμα ὁλοσχερὲς συμμεμιγμένον· ἐκ δὲ σώματος καὶ ψυχῆς φύσει συναπτομένων ὁ ἄνθρωπος, ὁ μικρὸς Κόσμος· ταυτὸν εἰπεῖν, τὸ ἔτι μικρὸν συστημάτιον, μέγα δέτι ἐν τοῖς οὖσιν ὂν διὰ τιμιότητα φύσεως, καὶ περιουσίαν τῶν ἐν αὐτῷ δυνάμεων. Καὶ ἐκ πολλῶν ἀνθρώπων τὸ εἶδος· ἐκ δὲ πλειόνων καὶ ἄλλων εἰδῶν κτηνῶν τε λέγω, καὶ φυτῶν, καὶ παντοίων τὰς φύσεις ἐμψύχων τε καὶ ἀψύχων, τὸ τῆς ἡμῖν οἰκουμένης ὑδρογείου σφαίρας, μεῖζον σύστημα. Ἐκ μὲν οὖν πλειόνων οὕτω συστημάτων πολὺ ἀλλήλων διαφερόντων, οἷον τοῦ τῆς γῆς, τοῦ τῆς σελήνης, ἑρμοῦ, ἀφροδίτης, ἡλίου, καὶ τῶν ἄλλων, τὸ ἔτι μεῖζον, τὸ τῶν πλανητῶν φημὶ, ὅπερ ἐξ ἑπτακαίδεκα σωμάτων, ὧν τεταγμένα καὶ θέσις, καὶ μέγεθος, καὶ σχῆμα, καὶ κίνησις, καὶ ἀπόστασις ἡ ἀπ' ἀλλήλων. Ἤδη δὲ ἐπεὶ τῶν ἀπλανῶν ἕκαστος ἀστέρων, ἥλιός τις, ὡς ὁ πάνυ πόῤῥω τοῦ καθ' ἡμᾶς φωστῆρος τὴν φύσιν ἀπέχων, ὑποτίθεται εἶναι, οὐκ ἀλόγως ἐοίκασιν οἱ καθ' ἡμᾶς φιλοσοφοῦντες, καὶ περὶ ἕνα ἕκαστον τῶν στερεῶν, πλανητικὰς τινὰς συστάσεις ὑπονοεῖν· τάχα δὲ καὶ ἐκ πλειόνων παραπλησίων συστημάτων, καὶ ἄλλα ἐφεξῆς ἔτι μείζω τὰ συνιστάμενα, ἐκ δὲ ἁπαξαπάντων συλλήβδην τὸ πᾶν, καὶ ὁλοσχερὲς σύνταγμα, ὅπερ οὐδ' ὀφθαλμοῖς αὐτοῖς μικρόντι παρίσταται εἶναι περιλαθρεύμενον, παμμέγεθες δὲ ἡλίκον, καὶ μονονοὺ ἀπέραντον τῷ λόγῳ ἐστὶ περινοούμενον καὶ διερευνώμενον, (1) πολλαπλοῦν μὲν ὂν τῇ τῶν ἐν αὐτῷ φύσεων ποικιλίᾳ, ἁπλοῦν δὲ καὶ μοναδικὸν, καὶ ἑνιαῖον τῇ συναρμογῇ τε καὶ τάξει. Τοῦτο γοῦν καὶ Κόσμος ἀκούει κυρίως, καὶ σύστημα, καὶ τὸ πᾶν, καὶ ἡ φύσις·

---

(1) Βκ νέτ. Βιβλ. β'. Θεωρ. τῆς γῆς. Κεφ. ἐχάτ. Καὶ Γεννλώσ. Σχόλ. Προτ. μδ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

στις· τὰ δ' ἐν αὐτῷ, ἐξ ὧν αὐτὸ ἔχει λαβὸν τὴν ὁλοκληρίαν, ὡς ἄρα τοῖς λοιποῖς συνιόντα εἰς τὴν τοῦ ὅλου συμπλήρωσιν, συστήματα μὲν, ὡς εἴρηται, καὶ ταῦτα ἐν μέρει, Κόσμος δ' οὐχί. Ὡς εἴγε παρὰ τοῦτον, καὶ Κόσμος τὴν ὑφεστὼς ἕτερος, ἢ καὶ πλείους, οἷόν τι ἐθρύλουν τῶν πάλαι συχνοὶ ὀνειρώξαντες, ἔχων μὲν ἐκεῖνος πρὸς τοῦτον τὴν κατ' αἰτίασιν ἀναφορὰν, ἐξέπεσεν ἂν, καὶ συγκατῆξεν ἑαυτῷ ἐκπεσόντι καὶ τοῦτον, τῆς τοῦ Κόσμου ἐπωνυμίας καὶ τάξεως· μηδὲν δὲ κοινὸν πρὸς τοῦτον αὐτὸν, μηδὲ τὴν τυχοῦσαν διασώζων κατὰ λόγον αἰτίου τε καὶ αἰτιατοῦ σχέσιν τε καὶ ἀπόνδυσιν, τὴν ἂν οὕτως, ἤτοι τῷ ἀριθμῷ, ἢ καὶ τῷ εἴδει διακεκριμένος.

## Θεώρημα Γ'.

§. υμγ'. „ Ὁ Κόσμος τρεπτός.

Τὸ ἄτρεπτον καὶ ἀπλούστατον. ( §. σιθ'. ) Τρεπτὸν δὲ πᾶν ὅ,τι ἐκ τῶν ἐναντίων συνήρμοσται. Κόσμος δὲ ἁπλοῦς οὐκ ἂν εἴη. ( §. υγ'. ) Ἄρα κτ.

## Σχόλιον.

§. υμδ'. Ὅτι μὲν οὖν ὁ ὑφεστὼς οὗτος τοιοῦτος, καὶ ἡ αἴσθησις αὐτὴ μαρτυρεῖ· ὅτι δὲ καὶ κατ' ἀφαίρεσιν τὴν ἀπὸ τοῦ ὑφεστῶτος τοῦδε ὁ Κόσμος νοούμενος τροπῇ ὑπόκειται, καὶ ἐξ αὐτῆς τῆς ἐννοίας τοῦ ἐν φύσει θεωρουμένου Κόσμου, ( §. υπη'. υπθ'. ) καταδῆλον.

## Θεώρημα Δ'.

§. υμε'. „ Ὁ Κόσμος καθ' ὕπαρξιν ἐνδεχόμενος.

Τὸ γὰρ τρεπτὸν, καὶ καθ' ὕπαρξιν ἐνδεχόμενον ἐστί. ( §. σκα'. ) Τρεπτὸς δὲ ὁ Κόσμος. ( §. υμγ'. υμδ'. ) Ἄρα κτ.

Θεώ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Θεώρημα Ε'.

§. υγς'. „ Ὁ Κόσμος ἐκ ἂν εἴη αἰώνιος.
Οὐ γὰρ τὸ καθ' ὕπαρξιν ἐνδεχόμενον. ( §. σκ'. ) Τοιῦτον δὲ ὁ Κόσμος εἶναι ἐθέλει. ( §. υγέ. ) Ἄρα κτ.

## Σχόλιον.

§. υγζ'. Περὶ τῆς ἐκ τῦ μὴ ὄντος ὑπὸ τῦ Δημιεργῦ παραγωγῆς, καθ' ἣν ὁ ὑφεσὼς Κόσμος ὑπέςη, τὴν ἀποκάλυψιν ἐνταῦθα σιγῇ τιμήσας ( ἐδὲ γὰρ θεολογεῖν, ἐκ τῶν ὑπερφυῶς ἀποκεκαλυμμένων ἡμῖν ἤδη πρόκειται. ) ἔχοις ἂν καὶ παρὰ τῶν ἔξω σοφῶν λαβεῖν ἀφθόνως τὰς πίςεις. Εὑρήσεις γὰρ καὶ Ἑρμῆν τὸν τρισμέγισον ( ὃν ἐὰν τῆς τῶν Αἰγυπτίων καὶ τῶν Ἑλλήνων σοφίας πατέρα εἴπῃς, ἐκ ἂν ἁμάρτοις. ) ἀμφιλαφῶς τὸν ποιητὴν, ὡς ἀρχὴν εἰσάγοντα τῶν πάντων (1). Καὶ Λῖνον τὸν ἀρχαῖον (2). Καὶ Ὀρφέα τὸν Λίνε διακέσαντα (3). Καὶ Ὅμηρον, καὶ Ἡσίοδον (4), καὶ Θαλῆν (5), καὶ Ἀναξαγόραν (6), καὶ Πυθαγόραν αὐτὸν, καὶ τὲς ἐκ τῆς Στοᾶς ἅπαντας (7). Καὶ Πλάτωνα δὲ, (8) ( ἐ γὰρ τῦτον ὑποκειθῆναι τὸ δόγμα, ὡς Ἀριςοτέλει εἴρηται (9), ἐνδίδωσιν ὑποτοπῆσαι, ἡ ἐν Τιμαίῳ εἰσήγησις. Καὶ πάντας ἁπλῶς τὲς πρὸ τῦ Ἀριςοτέλες, αὐτῦ τῦτε

(1) Ἐν τοῖς δυσὶν αὐτῦ Βιβλ. ὧν τὸ μὲν ἐπιγέγραπται Ποίμανδρος, τὸ δὲ Ἀσκληπιός.
(2) Παρὰ Λαερτ. Βιβλ. ά., καὶ Ἀριςοβέλῳ ἐν Βιβλ. ιγ'. τῆς Εὐαγγ. Προπαρ. Εὐσεβ.
(3) Ἐν τοῖς φερομ. Ὀρφικοῖς.
(4) Παρὰ Εὐσεβ. ἔνθα ἀνωτ.
(5) Λαέρτ. ἐν βίῳ.
(6) Αὐτ.
(7) Πλετ. Βιβλ. β'. Περὶ Ἀρεσκ. Κεφ. δ'.
(8) Λαέρτ. ἐν βίῳ.
(9) Περὶ Οὐραν. Βιβλ. ά.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τούτου μαρτυροῦντος (1) εὕροις αὖ τὸ ἀφ' ἑαυτοῦ εἶναι τὸν Κόσμον, ὡς δόγμα ἀλογίας μέσον ἀποπτύσαντας. Τί δὲ δεῖ καθ' ἕνα πρὸς τοῦτο παρεισάγειν, ἐνὸν ὅλα ἔθνη παραστήσασθαι μάρτυρας, τὸ Χαλδαίων (2), τὸ Αἰθιόπων (3), τὸ Θηβαίων (4), τὸ τῶν Αἰγυπτίων (5), τὸ Περσῶν (6), καὶ Σινῶν, καὶ Ἰαπονίων, καὶ Ἀμερικανῶν, ὡς ἰδεῖν ἐστὶ παρὰ πολλοῖς τῶν Νεωτέρων, τοῖς τὰ ἐκείνων γραφῇ παραδοῦσι. Παρὰ μὲν γὰρ τοῖς Περουΐταις τὸ Παχαϊαχαχὶκ, τὸν δημιουργὸν τοῦ οὐρανοῦ καὶ τῆς γῆς ὑμνεῖ, παρὰ δὲ τοῖς Μεξικανοῖς τὸ Βιτζλιπουτζλὶ, ὡσαύτως τὸν ποιητὴν γεραίρει. Ἐφ' ᾧ δὲ τοὺς βαρβάρους παραλιπεῖν, τοιάδε δόξα καὶ παρ' Ἕλλησιν ἐκράτει ἀνέκαθεν, ὡς ἐστὶ μαθεῖν καὶ ἐξ αὐτοῦ τοῦ Πορφυρίου (7)· „ ὅρα γὰρ φησὶ τὴν τῶν Ἑλλήνων σοφίαν, οὐ-
„ τωσὶ διασκοπούμενος· τὸν γὰρ Δία, τὸν νοῦν τοῦ Κόσμου ὑ-
„ πολαμβάνοντες, ὃς τὰ ἐν αὐτῷ ἐδημιούργησεν ἔχων τὸν Κόσμον. Καὶ τὰ Ὀρφικὰ ἑξῆς ᾄδει.

„ Ζεὺς πρῶτος γένετο, Ζεὺς ὕστατος ἀργικέραυνος.
„ Ζεὺς Κεφαλὴ Ζεὺς μέσσα, Διὸς δ' ἐκ πάντα τέτυκται.
„ Ζεὺς ἄρσην γένετο, Ζεὺς ἄφθιτος ἔπλετο νύμφη.
„ Ζεὺς πυθμὴν γαίης τε, καὶ οὐρανοῦ ἀστερόεντος.
„ Ζεὺς βασιλεὺς, Ζεὺς αὐτὸς ἁπάντων ἀρχιγένεθλος.

Καὶ δέξαι ἄρα σὺν Ἀριστοτέλει, ἢ εἴτις ἄλλος ὁ τὸ πρὸς Ἀλέξανδρον περὶ Κόσμου ἐστὶ συνταξάμενος, (8) ὡς
„ ἀρχαῖος οὗτος λόγος ( εἰπεῖν ) καὶ πάτριος ἐστὶ πᾶσιν
„ ἀνθρώποις· ὡς ἐκ Θεοῦ τὰ πάντα, καὶ διὰ Θεοῦ ἡμῖν συ-
„ νέστηκεν. Οὐδεμία δὲ φύσις αὐτὴ καθ' ἑαυτὴν αὐτάρκης,
„ ἐρημωθεῖσα τῆς ἐκ τούτου σωτηρίας (9). Πρὸς μὲν οὖν τοσαύτας μαρτυρίας τίς ἀπιδὼν οὐκ ἐν βραχεῖ λόγῳ θήσεται,

---

(1) Περὶ Οὐρ. Βιβλ. α΄. (2) Διόδ. Βιβλ. γ΄.
(3) Αὐτ. Βιβλ. δ΄. (4) Αὐτ. Βιβλ. β΄.
(5) Διόδ. Βιβλ. α΄. Ὅρα καὶ Εὐσέβ. Βιβλ. γ΄. περὶ Εὐαγγ. Προπαρ. Ἀρθρ. ια΄.
(6) Παρὰ Θωμᾶ Ὕδη Κεφ. λγ΄.
(7) Παρ' Εὐσεβ. Βιβλ. γ΄. Εὐαγγ. Προπ. Ἀριθ. θ΄.
(8) Κεφ. Β΄. (9) Ὅρα Πλούτ. περὶ Ἰσιδ. καὶ Ὀσίρ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ται, τὴν Ξενοφάνους (1) καὶ Ἀριστοτέλους (2) δοξασίαν; ὅπου γε καὶ Ἀριστοτέλης αὐτὸς ἐν τοῖς Τοπικοῖς, ἐξ ἡμισείας οἷον τῷ ἀληθεῖ ὑπενδιδοὺς λόγῳ, (3) τοῖς διαλεκτικοῖς καὶ τοῦτο συγκαταλέγει τῶν προβλημάτων, ἃ ἀπορίαν ἔχει, φησί,
,, πότερον οὕτως ἔχει, ἢ οὐχ οὕτω, διὰ τὸ περὶ ἀμφοτέρων
,, εἶναι λόγους πιθανούς, καὶ περὶ ὧν λόγον μὴ ἔχομεν ὄν-
,, των μεγάλων, χαλεπὸν οἰόμενοι εἶναι τὸ διότι ἀποδοῦ-
,, ναι· οἷον πότερον ὁ Κόσμος ἀΐδιος, ἢ οὔ; καὶ γὰρ τὰ
,, τοιαῦτα ζητήσειεν ἄν τις. Παρά γε μὴν τὸ ἐκ τῶν ἐκτὸς πίστεων βάρος, ὅπερ οὐ μικρὸν δήπου, ἐν οὕτω κοινῇ τῇ συμφωνίᾳ, τῆς ἱερᾶς αὐτῆς φύσεως φθεγγομένης, πολλοὶ καὶ ἄλλοι λόγοι ἐπὶ τὸ δόγμα φέρουσιν, ὧν παρέργου ἂν εἴη καὶ ἡμᾶς ἐνταῦθα τινὰς γοῦν ὑποθέσθαι.

Α'. Οὖν εἰ τὸ πάντῃ πάντως ἀναγκαῖον αὐτὸ καὶ αἰώνιον, (σιέ.) ἔσται δὴ τὸ αὐτὸ καὶ καθ' ὕπαρξιν ἀναγκαῖον. (§. σβ'.) τοιοῦτο δὲ ἐστὶν ὅτῳ τῶν πρὸς οὐσίαν ἀναγκαίαν ἡ ὕπαρξις· (§. αὐτ.) ταὐτὸν εἰπεῖν, πάθημα οὐσιῶδες (§. σκζ'.) οὗ ἄνευ οὐδ' ἂν εἴη, οὐδ' ἂν νοηθείη. (§. σκή.) Ἀλλὰ γὰρ καὶ δίχα τῆς ὑπάρξεως, κατά γε τὸ τί ἦν εἶναι νοητὸν ὁ Κόσμος. Καὶ γὰρ καὶ τῶν ἐν αὐτῷ ἕκαστον, ὧν εἰσὶ καὶ αἱ ἐπιστῆμαι. Οὐκ ἄρα ὁ Κόσμος αἰώνιος.

Β'. Ἤτοι τὸ ἀϊδιάζειν προσήκει τῷ Κόσμῳ οὐσιωδῶς, ἢ ἐπουσιωδῶς. Ἀλλ' εἰ τὸ δεύτερον, ἔχοι ἂν αὐτοῦ καὶ ἀπογυμνοῦσθαι, ὥστε καὶ τοῦτον φθαρῆναι δυνατόν· τὸ δὲ τοιοῦτο οὐκ αἰώνιον, ἀλλὰ τὸ ἀγέννητον, καὶ ἄφθαρτον (4). Εἰ δὲ τὸ πρῶτον, πότερον καὶ τοῖς μέρεσιν αὐτοῦ σύμπασιν οἰκεῖον τοῦτο, ἢ τοῖς μὲν, τοῖς δ' οὔ; εἰ γὰρ ἐκεῖνο, οὐδὲν ἄρα ἐν χρόνῳ, καὶ οὐδὲ χρόνος· εἰ δὲ τοῦτο, καὶ τὸ ὑπὸ σελήνην μάλιστα τοῦ Κόσμου μέρος παθητόν ἐστι, καὶ Ἀριστοτέλει ὁμολογεῖται, ἐν ᾧ
,, καὶ τὰ περίγεια κηραίνεται. (5) ( ἐῶ γὰρ λέγειν ἤδη τὸ ὑπὸ πολλῶν ἀποδειχθὲν, ὡς οὐδὲ τὰ ὑπὲρ τὴν σελήνην πάν-

(1) Παρὰ Πλουτ. Ἀρεσκ. Βιβ. β'. Κεφ. δ'.
(2) Φυσ. Η. καὶ ἐν τοῖς περὶ Οὐραν.
(3) Τοπικ. Βιβλ. Γ'. Κεφ. Θ'.
(4) Α. Περὶ Οὐρανοῦ. (5) Πλουτ. β'. Ἀρεσκ. Κεφ. δ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

παύτη πάθους ἐκτός.) Ἄρα ἐπεὶ ἐ σύμπαντα τὰ μέρη αἰώνια, ἐδὲ τὸ ὅλον· ἐςὶ δὲ τὸ ὅλον ὁ Κόσμος. (§. υπή. υγά.) Ὁ ἄρα Κόσμος αἰώνιός τε ἅμα διὰ τὴν ὑπόθ. καὶ ἐκ αἰώνιος διὰ τὸ ἀκόλεθον.

Γ'. Καὶ εἰ ἀΐδιον τὸ πᾶν, καὶ ἀρχῆς ἐπέκεινα καὶ τέλες παντὸς, τῶν ἐν αὐτῷ λογικῶν ψυχῶν ἤτοι τὸ θνητὸν ἀποδεκτέον ἐξ ἀνάγκης, ἢ τὴν μετεμψύχωσιν, ὡς ἂν μὴ τὸ ἐνεργείᾳ ἄπειρον εἰσενεχθῇ, ὅπερ εἶναι τῶν ἀδυνάτων, καὶ Ἀριστοτέλης αὐτὸς (1) ἀπεφήνατο.

Δ'. Καὶ τὰ ἠθικὰ ἐκεῖνα καλέμενα ἐπιχειρήματα, πρὸς ἀνασκευὴν τῆς ἀτόπε δόξης, ἐ μικρὰν ἔχειν μοι δοκεῖ τὴν ῥοπήν· τί γὰρ δήποτε παρέλειψιν ξυγγραφῶν, φησὶν ὁ Διόδωρος (2), τὰ πρὸ τῶν Τρωϊκῶν ἐςὶν ἀγνοέμενα; τί δὲ ἐδεὶς Ὁμήρου, ὡς Ἰώσηπος λέγει (3) φέρεται συγγραφεὺς ἀρχαιότερος; τί δ' ὡς ὁ Ἀφρικανὸς (4), πρὸ τῆς κατὰ τὰς Ὀλυμπιάδας τῶν χρόνων καταμετρήσεως, ἐδὲν ὅλως ἱςόρηται πίςεως ἄξιον; Πῶς δὲ καὶ τὰ τῶν Ἑλλήνων, καὶ τὰ τῶν βαρβάρων, ὡς Ἰεςῖνος (5) κομιδῇ σεσίγηται, εἰ ὁ Κόσμος αἰώνιος;

Ε'. Ἀλλὰ μὴν καὶ τὸ νηπιῶδες ἔπως εἰπεῖν, καὶ ἀτελὲς, καὶ ἁπλοϊκὸν τῶν πάλαι, καὶ τὸ περὶ τὰς τροφὰς, καὶ περιβολὰς, καὶ οἰκήσεις αὐτοσχέδιόν τε καὶ ἀνεπιτήδευτον, καὶ τὸ ἀσύντακτον πρὸς ἄλληλα τῶν ἀφωρισμένων τε καὶ ἀπῳκισμένων ἐθνῶν, ναὶ μὴν, καὶ τῶν πολλαχῦ γῆς συνεςωσῶν ἀποικιῶν τὸ νεαρὸν ἔτι καὶ πρόσφατον, τί ποτε ἄλλο ἐλέγχει (6) ἢ τῷ Κόσμῳ, καὶ τῇ ἐν αὐτῷ ἀνθρωπείῳ φύσει ἀρχήν τινὰ ὑποςάσεως, καὶ ταύτην μηδὲ πάνυ πολὺ εἰς ἀρχαιότητα παρατείνεσαν;

ϛ'. Καὶ

(1) Βιβλ. γ'. Τῶν Φυσ. καὶ Α'. Περὶ Οὐρανῦ.
(2) Ἐν Προοιμ. τῦ Α'. Βιβλ.
(3) Κατὰ Ἀπίονος.
(4) Παρ' Εὐσεβ. Βιβλ. Α'. Εὐαγγ. Προπ.
(5) Παραιν. πρὸς Ἑλλ.
(6) Ὅρα Εὐσέβ. Βιβλ. α'. Περὶ Εὐαγγελ. Προπαρασ. Ἀριθ. θ'. Καὶ Κικέρ. Βιβλ. β'. Περὶ Φύσ. Θεῶν. Κεφ. κγ'. καὶ κδ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ς. Καὶ ἡ περὶ τὰς χειωδεστάτας δὲ, καὶ πρωργιαιτάτας ἀνθρώποις τέχνας ἐπίνοια τὸ αὐτὸ μαρτυρεῖ (1). Οὐ γὰρ ἀμέλει κατακλυσμοῖς παγκοσμίοις τισὶν, ἢ ἐμπρησμοῖς ἐπισκήψασιν ὑπολαβόντες ἐροῦσιν, ὅτι τὰ πρὶν εὑρημένα ἐξίτηλα γεγονότα, πάλιν ἀνευρεθῆναι συνέβη, τὴν δὲ ὅλου φθορὰν ἑαυτῆς ἥκιστα παραδεχομένης τῆς φύσεως, οὐδὲ τοῖς τοιούτοις περιπιπτούσης παθήμασι, πλὴν εἰ κατὰ Θείαν μῆνιν ποτὲ τοῦτο πάθοι, οἷον καὶ αἱ καθ᾽ ἡμᾶς ἱεραὶ Γραφαὶ διεξίασιν, αἱ καὶ τὴν τῶν ὅλων δημιουργίαν εἰς Θεὸν ἀναφέρουσαι. Εἰ γὰρ ἐν μέρει καὶ τοῦτο δοίημεν, ἔθνος ὅλον ἄρδην διαφθαρῆναι ποτὲ συγχωρήσαντες, τὰ γεμὴν ἄλλα τῶν ἐθνῶν τὰ τοσαῦτα, τὰς εὑρέσεις διέσωσεν ἂν, καὶ ὡς ἡμᾶς παρέπεμψε παρελθόντα, ὧν ἀναγκαιοτάτων ὄντων οὐ ῥᾴδιον, μᾶλλον δὲ οὐδὲ δυνατὸν ἦν ὅλως συμβῆναι τὴν ἀπομάθησιν.

## Θεώρημα ς΄.

§. υγη΄. „ Παραγωγῇ τῇ κατὰ φυσικὴν χρῆσιν ἐν χρόνῳ „ ὑποστῆναι τόδε τὸ Πᾶν, ἀδύνατον. Παραγωγῇ δὲ τῇ ἁ- „ πλῶς, παρὰ τὸ δυνατὸν εἶναι, καὶ ἀναγκαῖον.

Τὸ γάρ τοι φυσικῇ χρήσει τυγχάνον τοῦ εἶναι, τοῖς ἐν τῇ φύσει αἰτίοις, δευτέρως γοῦν, ὡς ἀρχαῖς ἀναθετέον. Καὶ ἐξ ὕλης προϋφεστώσης, καὶ διὰ προηγουμένης κινήσεως γίνεσθαι, ὁμολογητέον. (§. σξ΄.) Οὕτω δέ τοι ἐν χρόνῳ ὑποστῆναι τὸ Πᾶν, εἴ τις διατείνοιτο, δώσει δὴ πρὸ τοῦ παντὸς, ὅτε μηδὲν ἦν, αὐτὰ τὰ ἐξ ὧν τὸ Πᾶν τά,τε κατὰ φύσιν ποιοῦντα τῶν αἰτίων εἰσάγων, καὶ ὕλην ἐξ ἧς, καὶ δυνάμεις ἀφ᾽ ὧν, καὶ ἐνεργείας καθ᾽ ἃς, καὶ κίνησιν δι᾽ ἧς, πρὸ οὐτινοσοῦν ὅπερ ἂν ᾖ τὸ κινούμενον, ἢ τὸ ἁπλῶς ὂν, ὑποτιθέμενος·

---

(1) Ὅρα Κλήμ. Ἀλεξ. Βιβλ. α΄. τῶν Στρωμ. Καὶ Πολυδ. Οὐιργίλ. Περὶ Εὑρ. Τεχν. Καὶ Λουκρήτ. Βιβλ. Ε΄. Περὶ Φύσ. Ὄντων. Καὶ Γασσένδ. Τμ. α΄. Φυσ. Βιβλ. α΄. Κεφ. ς΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μένος· ταῦτα δὲ λαμπραῖς συνέχεται ταῖς ἀντιφάσεσιν. Ἄρα κτ. Ὃ τὸ Α΄.

Τὸ δὲ ἐπὶ τὸ ἁπλῶς εἶναι, ἐκ τοῦ ταύτῃ μὴ εἶναι κατὰ δημιουργίαν ἀνακαλύμμενον, οὐδὲν ἐκείνων εἰσάγει τὴν τὰς ἀντιφάσεις ἡμῖν ὠδινόντων, ὡς ἂν τύχοι ὑπάρξεως· μόνε δὲ τοῦ ποιητικοῦ χρήζει, τοῦ παρ᾽ αὐτὸ, καὶ ἐκτὸς αὐτῦ, αἰωνίως προόντος, καὶ ἄπειρον πλουτῦντος τὴν δύναμιν· (§. σξ΄. σξα΄. σξβ΄.) ὃ δὴ φθάσας ὁ λόγος (§. σιγ΄.) ἀναγκαίαν τὴν ὕπαρξιν ἐπισώσατο. Ἄρα κτ. Ὃ τὸ Β΄.

Ἀλλὰ γὰρ μεταξὺ τῆς κτ φύσιν γενέσεως, καὶ τῆς ἁπλῶς τῦ εἶναι παραγωγῆς μέσον οὐδέν· ἤτοι γὰρ ἐκ προϋποκειμένε, ἢ ἐκ μή. Καὶ κινήσεως μεσιτευέσης πάντως, ἢ αὐτῦ κινήσεως τὸ ὑφεςὼς ἂν ὑποςαίη· (§. λέ.) ὑφεςὼς δὲ ὁ Κόσμος. (ἐξ ὑποθ.) Καὶ δὴ καὶ ἐν χρόνῳ τὸ εἶναι λαβών. (§. υγς΄. υγζ΄.) Κατὰ φυσικὴν ἄρα γένεσιν ἀδυνάτον ὂν ὅτως αὐτὸν ὑποςῆναι, (διὰ τὸ Α΄.) ἐπανάγκες ὁμολογεῖν ὅτι ἁπλῶς παρήχθη (κτ τὸ Β΄.), τυτέςι κτ δημιυργίαν ἀναγκαίως ἐκ τῦ μηδενὸς ὑπέςη. Ἄρα καὶ τὸ Γ΄.

## Σχόλιον.

§. υγθ΄. Οὕτωτοι τὸν Κόσμον μὴ ἀπ᾽ αἰῶνος, (§. υγς΄. υγζ΄.) ἀλλ᾽ ἐν χρόνῳ, φυσικῇ μὲν γενέσει ὐδαμῶς, (υγή.) παραγωγῇ δὲ τῇ ἐκ τοῦ ἁπλῶς μὴ εἶναι, δεδημιυργῆσθαι ἀποδεδειχόσι, περιέργου ἂν εἴη, καὶ τοῖς τῶν ἀντιδοξύντων λόγοις ἀπαντῆσαι, οἷς προσερειδόμενοι ἄχρις ὐρανῦ πυργῶσαι τὴν πλινθίαν ἐτόλμησαν, τοῖς τῦ αἰῶνος πρεσβείοις τὴν κτιςὴν φύσιν ὑπερσεμνύναντες, καὶ τῆς αὐτῆς προεδρείας τῷ σοφῷ, καὶ δυνατῷ, καὶ παγκάλῳ δημιυργῷ, καὶ κτίςῃ τῶν ὅλων ἀξιώσαντες.

Α΄. Οὖν Ἀριςοτέλης (1) ἐξ αὐτῆς τῆς ὕλης ἐπιχειρῶν, ἀφ-

---

(1) Φυσ. Α. Ὑφ. 82.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἄφθαρτον αὐτὴν καὶ ἀγέννητον ἀνάγκη εἶναι φησίν. „ Εἴτε
„ γὰρ ἐγίγνετο, ὑποκεῖσθαι τι δεῖ πρῶτον, τὸ ἐξ οὗ ἐνυπάρ-
„ χοντος· τοῦτο δὲ ἐστὶν αὐτὴ ἡ φύσις, ὥστε ἔσαι πρὶν γε-
„ νέσθαι... εἴτε ἐφθείρετο, εἰς τοῦτο ἀφίξεται ἔσχατον, ὥστε
„ ἐφθαρμένη ἔσαι πρὶν φθαρῆναι.

Ἀλλ' εἴπερ ἐγίγνετο, γενέσει φυσικῇ, ἐγίγνετ' ἂν πάντως ἐκ τοῦ ἐνυπάρχοντος, καὶ ἐφθείρετ' ἂν ὁμοίως ἡ ὕλη, εἴς τι ἔσχατον, προσεπιϋπάρχον αὐτῇ φθειρομένη, ταὐτὸν εἰπεῖν, ἐξ ὕλης ἂν οὕτως ἔχεν ἡ ὕλη τὴν γένεσιν, καὶ τὴν φθορὰν εἰς ὕλην, ὡς εἶναι μὲν καὶ πρὶν γενέσθαι, περιεῖναι δὲ ταύτην, καὶ μετὰ τὸ φθαρῆναι, ὅπερ ἀδύνατον ὂν καὶ αὐτοὶ ἀπεφηνάμεθα. (§. υμή.) Εἰ δὲ τὴν μὲν γένεσιν εἰς τὴν παραγωγὴν ἐκ τοῦ ἁπλῶς μὴ εἶναι μεταλάβοι, τὴν δὲ φθορὰν εἰς τὴν ἁπλῶς τροπήν· οὐδεμία ὑπολειφθήσεται τῷ ἐπιχειρήματι ἰσχύς· οὐδὲ λόγος οὐδεὶς ὁ πείσων λέγειν τὴν ὕλην ἀγέννητον καὶ ἄφθαρτον. Ὅτι δὲ ἐκ τοῦ μηδενὸς τὴν ὕλην παραγαγεῖν, καὶ εἰς τὸ μὴ ὂν ὑφεςῶσαν τρέψαι, τῆς τοῦ ἀπείρου ἂν εἴη δυνάμεως, ἐν ἄλλοις δέδεικται. (§. σξ. σξά. σξβ΄.)

„ Β΄. Εἰ ἐγένετο φησίν (1) τῶν κινητῶν, καὶ κινητικῶν ἕ-
„ κασον, ἀναγκαῖον πρότερον τῆς ληφθείσης, ἄλλην γενέ-
„ σθαι μεταβολήν, καθ' ἣν ἐγένετο τὸ δυνατὸν κινηθῆναι,
„ ἢ κινῆσαι. Ἐκ τούτου γὰρ ἐπιφέρει, ὡς ἦν ἄρα τις προτέρα μεταβολὴ τῆς πρώτης.

Ὑποτίθησι δὴ κἀνταῦθα ὁ καὶ ἀνωτέρω, ὡς τὰ κινητὰ καὶ κινητικά, μόνῃ τῇ κατὰ φύσιν γενέσει, γεννητὰ ἂν εἴη, τῇ ἐκ ἄλλου κινήσεως. Εἰ δὲ προσέσχε τῇ ἐκ τοῦ μηδενὸς, νεύματι μόνον τοῦ πανσθενοῦς παραγωγῇ τῶν ὄντων, ἣν αὐτοὶ διατεινόμεθα, οὐκ ἂν εἰσέβαλε μεταβολὴν ἐντεῦθεν, τῆς πρώτης μεταβολῆς προτέραν. Αὐτὸς οὖν αὐτὸ τὸ ζητούμενον συναρπάζει, τὴν μὲν ἐκ τοῦ μηδενὸς παραγωγὴν σιγῇ παρατρέχων, τὰς δὲ φυσικὰς τῶν γενέσεων ὑποβάλλων, ἐξ ὧν τῆς διαφορᾶς πᾶσα ἡ τοῦ προκειμένου ἐπίλυσις ἤρτηται.

„ Γ΄.

(1) Φυσ. Η. Ὑφ. ς΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ Γ΄. Πρότερον, φησὶ (1) καὶ ὕστερον πῶς ἔσται χρόνου μὴ „ ὄντος; ἢ ὁ χρόνος μὴ οὔσης κινήσεως; εἰ δ' ἐστὶν ὁ χρόνος „ κινήσεως ἀριθμὸς, ἢ κίνησίς τις (ὅπερ ἐν Δ. Φυσ. ἐ- „ δείχθη.) εἴπερ ἀεὶ χρόνος ἐστὶν, ἀνάγκη καὶ κίνησιν ἀΐδιον εἶναι.

Ἀπαντητέον ὅτι τὸ πρότερον τοῦ χρόνου οὐκ ἔστι χρονικὸν, ἀλλ' ἀπουσίας χρόνου σημαντικόν. Οὕτωπι καὶ ἔξω τοῦ οὐρανοῦ φησὶν ὁ αὐτὸς (2) μὴ εἶναι τόπον.... „ Διόπερ οὔτε ἐν τό- „ πῳ τἀκεῖ πέφυκεν..... οὐδ' ἔστιν οὐδεμία μεταβολὴ τῶν „ ὑπὲρ τὴν ἐξωτάτω τεταγμένων φοράν. Ὥσπερ οὖν τὸ ἔξω, καὶ τὸ ἐκεῖ, καὶ τὸ ὑπὲρ, λέγεται ἀποφατικῶς τόπου μὴ ὄντος, παραπλησίως καὶ τὸ τοῦ χρόνου πρότερον, καὶ χρόνου μὴ ὄντος εἰρήσεται.

„ Δ΄. Εἰ ἀδύνατον ἐστὶ (3) καὶ εἶναι καὶ νοῆσαι χρόνον ἄ- „ νευ τοῦ νῦν, τὸ δὲ νῦν ἐστὶ μεσότης τις, καὶ ἀρχὴν καὶ τε- „ λευτὴν ἔχον ἅμα, ἀλλ' ἀρχὴν μὲν τοῦ ἐσομένου χρόνου, „ τελευτὴν δὲ τοῦ παρελθόντος, ἀνάγκη ἀεὶ εἶναι χρόνον... „ Ἀλλὰ μὴν εἴγε χρόνον, φανερὸν ὅτι ἀνάγκη εἶναι καὶ κίνη- „ σιν. Εἴπερ ὁ χρόνος πάθος τι κινήσεως.

Ἀπαντητέον, ὅτι τὸ μὲν συνδεσμικὸν νῦν μεσότης τις ἐστὶν, ἀρχὴν καὶ τελευτὴν ἔχον· τὸ δὲ πέρατος μόνον θέσιν ἔχον, ἤτοι ἀρχὴ μόνον ἢ τελευτὴ τοῦ περατουμένου χρόνου ἐστίν· ὥσπερ ἐπὶ τῶν γραμμῶν τὰ σημεῖα. Συνήρπασται τοίνυν κἀνταῦθα τὸ ζητούμενον, μηδὲν διαφέρον τοῦ τὰ πέρατα τοῦ χρόνου αἴρειν ἐκ μέσου, τὸ ὑποτιθέναι τὸν χρόνον ἀπέραντον.

„ Ε΄. (4) Οὐδέν γε ἄτακτον τῶν φύσει, καὶ κατὰ φύσιν. Ἡ „ γὰρ φύσις αἰτία πᾶσι τάξεως· τὸ δ' ἄπειρον, πρὸς τὸ μὴ „ ἄπειρον οὐδένα λόγον ἔχει· τάξις δὲ πᾶσα λόγος· τὸ δ' ἄ- „ πειρον χρόνον ἠρεμεῖν, εἶτα κινηθῆναι ποτέ· τούτου δὲ μη- „ δεμίαν εἶναι διαφορὰν, ὅτι νῦν μᾶλλον, ἢ πρότερον, μὴ „ δ' αὖτινα τάξιν ἔχειν, οὐκέτι φύσεως ἔργον. Ἡ γὰρ ἁπλῶς

„ ἔχειν

(1) Φυσ. Η. Ὑφ. ι. (2) Α. Περὶ Οὐραν. Ὑφ. ϟθ΄.
(3) Φυσ. Η. Ὑφ. ια΄. (4) Αὐτ. Ὑφ. ιε΄.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ ἔχειν δεῖ τὸ φύσει, καὶ οὐχ ὁτὲ μὲν οὕτως, ὁτὲ δὲ ἄλλως, „ οἷον τὸ πῦρ ἄνω φύσει φέρεται, καὶ οὐχ ὁτὲ μὲν, ὁτὲ δὲ „ οὔ· ἢ λόγον ἔχειν τὸ μὴ ἁπλοῦν.

Θαυμαστὸν οὐδὲν, εἰ λόγον ἀπαιτεῖ ὁ Ἀριστοτέλης τῆς ἀπὸ τοῦ ἠρεμεῖν ἐπὶ τὸ κινηθῆναι μεταβάσεως, ἐν ὑποθέσει τῇ κατὰ τὴν ἐν χρόνῳ τοῦ Κόσμου παραγωγὴν, ὡς ἀνάγκῃ φύσεως καὶ οὐχὶ παντελευθέρῳ τε καὶ αὐτεξουσίῳ βουλήματι τὸν δημιουργὸν, τὰ ἐκτὸς αὐτοῦ οὐσιοποιοῦντε, καὶ κτίζειν οἰόμενος. Ἀλλὰ γὰρ ἐπὶ μὲν τῶν ἀναγκαίων, τοῦ οὕτως ἢ ἄλλως ἔχειν τὸν λόγον ζητεῖν, εἰκὸς δήπου καὶ εὔλογον· τὸ δὲ αὐτοθελήτως ἀγαθοποιοῦν τὰ ὄντα τῇ παροχῇ τοῦ εἶναι, ἅτε καὶ ὅτε βούλεται λόγους ἀπαιτεῖν, καὶ τί ὅτι πυνθάνεσθαι τάδε μὲν, τάδε δ' οὔ; καὶ οὕτως, οὐκ ἄλλως; καὶ ἤδη, ἢ πρότερον; τίνα καταλείπει θρασύτητος καὶ παρανοίας ὑπερβολήν; Καίτοι καὶ τὸν λόγον ἀγνοοῦντας, ὅτι μὴ δημιουργεῖν ἐδόκει αὐτῷ ἐξ ἀπείρου τοῦ χρόνου, οὐ παρ' αὐτὸ τὸ ἀγένητον, καὶ ὑπεράχρονον τοῦ Κόσμου ὑπεραναστατεῖνεσθαι δίκαιον, οὐδ' ἀκόλουθον. Οὐ γὰρ διότι τότε εἰπεῖν οὐκ ἔχομεν, αὐτὸν εἶναι τὸν τὴν ἀφ' ἑαυτῆς ἀνυπόστατον ὑποστησαμένην φύσιν, λέγειν παραιτησόμεθα, ὅτε μάλιστα καὶ λόγοι ἰσχυροὶ ἡμᾶς εἰς τοῦτο καταναγκάζουσιν.

„ ϛ΄. (1) Εἴγε ἐστί τι ἀεὶ τοιοῦτον, τὸ κινοῦν μέντοι ἀκίνητον δὲ αὐτὸ, καὶ ἀΐδιον, ἀνάγκη καὶ τὸ πρῶτον ὑπὸ τούτου „ κινούμενον ἀΐδιον εἶναι· ὅτι (2) τὸ αὐτὸ, καὶ ὡσαύτως ἔ- „ χον ἀεὶ, τὸ αὐτὸ πέφυκε ποιεῖν.

Παραπλήσια σχεδὸν τοῖς ἀνωτέρω ἀπαντητέον· τὸ γὰρ ὡσαύτως ἔχον ἀεὶ, ἀνάγκῃ φύσεως ποιοῦν, τὸ αὐτὸ πέφυκε ποιεῖν πάντως, οὐ μέντοι, καὶ τὸ αὐθαιρέτῳ καὶ παντοδυνάμῳ αὐτεξουσιότητι, ὡς ἂν, καὶ ὅτε βούλοιτο τὰ ὄντα ποιοῦν καὶ μετασκευάζον. Ἀλλ' ἡ μὲν βούλησις τοῦ ἐν χρόνῳ κοσμοποιῆσαι ἦν αὐτῷ ἀπ' αἰῶνος, ἡ δὲ κοσμοποιΐα ἐν χρόνῳ, τοῖς μὲν τὸ εἶναι εἰληφόσι μεταβολὴν τὴν μεγίστην ἀπεργασαμένη,

(1) Φυσ. Η. Ὑφ. νγ΄.
(2) Αὐτόθ. Ὑφ. ιε΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μένη, τῇ δὲ δημιουργικῇ φύσει μεταβολὴν οὐδεμίαν μνηστεύσασα.

„ Ζ΄. Τῆς μὲν κινήσεως (1) τῆς ἐπ' εὐθείας, ὥρισται καὶ
„ ἀρχὴ, καὶ μέσον καὶ τέλος, καὶ πάντ' ἔχει ἐν ἑαυτῇ· ὥστ' ἔ-
„ στι καὶ ὅθεν ἄρξεται τὸ κινούμενον, καὶ οὗ τελευτήσει, πρὸς
„ γὰρ τοῖς πέρασιν ἠρεμεῖ πᾶν, ἢ ὅθεν ἢ οὗ· τῆς δὲ περι-
„ φεροῦς ἀόριστα· τί γὰρ μᾶλλον ὁποιονοῦν πέρας τῶν ἐπὶ τῆς
„ γραμμῆς; Ὁμοίως γὰρ ἕκαστον καὶ ἀρχὴ, καὶ μέσον, καὶ τέ-
„ λος· ὥστ' αἰεί τε τινὰ εἶναι ἐν ἀρχῇ τε, καὶ ἐν τέλει, καὶ
„ μηδέποτε. (2)

Ἐπὶ παντὸς σώματος κινουμένου θεωρητέον, ὅ,τε κινεῖται αὐτὸ, καὶ τόπον δι' οὗ, καὶ χρόνον καθ' ὄν. Ἐφ' ὧν δὴ ποσῶν ὄντων, καὶ ἀρχὴν, καὶ μέσον, καὶ τελευτήν. Καὶ τοῦ μὲν κινουμένου μέσον τὸ ἐπίσης τῶν ἄκρων ἀφεστὼς τῆς κατ' αὐτὸ ἐκτάσεως· οἷον εἰ μὲν τύχοι σφαῖρα τὸ κέντρον, εἰ δὲ μὴ, τὸ οἷον κεντρῶδες· ἀρχὴ δὲ ὁπότερον ἂν ληφθῇ τῶν ἐκ διαμέτρου ἀντικειμένων, τελευτὴ δὲ τὸ ἐκείνῳ ἀντίθετον· τοῦδε τῆς κινήσεως χρόνου, ἀρχὴ μὲν ἡ ἀπὸ τῆς ἀκινησίας πρώτη μεταβολὴ, τελευτὴ δὲ ἡ ἀπὸ τῆς κινήσεως πρώτη· μέσον δὲ τὸ μεταξύ· τοῦ δὲ τόπου ἀρχὴ μὲν ὅθεν μεθίσταται καὶ ὃν πρῶτον καταλείπει, τέλος δὲ οὗ μεθίσταται, καὶ ὃν ἔσχατον καταλαμβάνει. Ἀλλὰ καὶ ἡ κίνησις, ἤτοι ὁλικῶς, ἢ οὐκ ἄνευ γένοιτο τῆς τοῦ κέντρου αὐτοῦ μεταστάσεως, ἢ κατὰ μέρη, ὡς ἐπὶ τῆς κύκλῳ φορᾶς, ἐν ᾗ μένει μὲν τὸ κέντρον, κινεῖται δὲ τὰ παρ' αὐτὸ περὶ αὐτό· ὥσπερ οὖν ἐπὶ τῶν ἐπ' εὐθείας κινουμένων, ἕκαστον μὲν τῶν ἐν μέρει, τὸ μέρος, πάντα δὲ ἅμα σὺν αὐτῷ τῷ κέντρῳ, τὸ ὅλον, τοῦ ἐν ᾧ εἰσὶ τόπου καταλείποντα ταύτην καὶ ἀρχὴν οἶδε τοπικῶς, ἧς ἔχει κινήσεως, οὕτω τοι κἂν τῇ περιφορᾷ, τῶν μερῶν ἕκαστον, πλὴν

τοῦ

(1) Φυσ. Η. Ὑφ. ιγ΄.

(2) Τούτῳ δὴ πρὸ τοῦ Ἀριστοτέλους Ὄκελλος ὁ Λευκανὸς ἐχρῆτο τῷ λόγῳ εἰς κατασκευὴν τῆς τοῦ Κόσμου ἀϊδιότητος· λόγῳ δὴ, ὃν οἱ Ἄγγλοι ἐν τῷ ἐπεισοδίῳ τῆς κατ' αὐτοὺς παγκοσμίου ἱστορίας ἀπροσφυῆ τε εἶπον καὶ γελοιότατον. Ἤκμασε δὲ ὁ Λευκανὸς οὐ πολὺ πρότερον τοῦ Πλάτωνος γεγονώς.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦ κέντρου (αὕτη γὰρ ἡ κατὰ τὴν φορὰν ταύτην πρὸς τὴν ἐπ' εὐθείας διαφορὰν) ἀρχὴν ἔχει, τὴν πρωτίστην τοῦ ἐν ᾧ ἦν τόπου ἐγκατάλειψιν, τέλος δ' αὖ ἔχοι τὴν ἐσχάτην, τοῦ ὅπερ ἂν γένηται κατάληψιν. Ἐφ' οἷς καὶ τόδε σημειωτέον, ὅτι περὶ τῆς χρονικῆς κατὰ τὸ εἶναι ἀρχῆς προκειμένου τοῦ λόγου, αὐτὸς ἐπὶ τὴν τοπικὴν μεταβαίνει, λέγων μὴ εἶναι τῷ κύκλῳ φερομένῳ ὅθεν ἄρξεται, καὶ οὗ τελευτήσει. Καὶ ταῦτα μὲν ἡμεῖς. Ἄλλως δέ τις ἀπαντικῶς τοῦ λόγου τὴν ἀπορίαν ἀπήλεγξεν (1) ἐπιστήσας, ὅτι καὶ τῶν παρ' ἡμῖν ἀμεταστάτως περιδινουμένων σφαιρῶν, ἐπανάγκες ἣν τὰς φορὰς, παρ' ἔλλειψιν ἀρχῆς τε καὶ τελευτῆς καὶ μεσότητος, διηνεκεῖς εἶναι καὶ ἀϊδίους. Καί τις ἔτι τῶν καθ' ἡμᾶς (2) καὶ εἰς ἀνασκευὴν μάλιστα τείνειν τοῦ Ἀριστοτελείου δόγματος, τὸ ἐκ τῆς περιφορᾶς ἐπιχείρημα κατεφώρασεν. Α'. γὰρ, καὶ ἁπλουστάτη, καὶ στοιχειώδης οἷον κίνησις, ἡ ἐπ' εὐθείας. Αἱ δὲ κατὰ καμπύλην μικταὶ καὶ ἐξ ἐκείνης. Διὸ καὶ ὕστεραι, καὶ ἐπὶ τῶν οὐρανίων σωμάτων τὴν ἀρχὴν τοῦ κινηθῆναι αὐτὰ, σαφῶς ἐλέγχουσι.

„ Η'. Ἅπαν τὸ γινόμενον (3) ἐξ ἐναντίου τε καὶ ὑποκει-
„ μένου τινὸς γίνεσθαι πέφυκε, καὶ φθείρεσθαι ὡσαύτως ὑ-
„ ποκειμένου τέ τινος, καὶ ὑπ' ἐναντίου, καὶ εἰς ἐναντίον· τῶν
„ δ' ἐναντίων καὶ αἱ φοραὶ ἐναντίαι. Εἰ δὴ τούτῳ (τῷ οὐρανῷ)
„ μηδὲν ἐναντίον ἐνδέχεται εἶναι, διὰ τὸ καὶ τῇ φορᾷ τῇ
„ κύκλῳ μὴ εἶναι αὖ τινα ἐναντίαν κίνησιν, ὀρθῶς ἔοικεν
„ ἡ φύσις τὸ μέλλον ἔσεσθαι ἀγένητον, καὶ ἄφθαρτον ἐξε-
„ λέσθαι ἐκ τῶν ἐναντίων, ἐν τοῖς ἐναντίοις γὰρ ἡ γένεσις,
„ καὶ ἡ φθορά.

Κἀν τούτοις ὑποτίθησι τὴν διὰ φυσικῆς γενέσεως ἐν χρόνῳ τοῦ Κόσμου παραγωγήν, ἣν ἀδύνατον φθάσαντες (§. υγή.) ἐδείξαμεν. Προῖκα δὲ λαμβάνει, καὶ τῷ οὐρανῷ μηδὲν ἐναντίον ἐνδέχεσθαι εἶναι· τὸ γὰρ στεγανὸν καὶ τὸ ῥοῶδες, καὶ τὸ σκλη-

(1) Βενέδικτ. Περέειος Βιβλ. ιέ. Περὶ ἀρχ.
(2) Γενουένσ. Στοιχ. τῆς Μεταφ. μέρ. γ'.
(3) Ἀριστ. Α. Περὶ Οὐρανοῦ. Ὕφει κ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σκληρὸν καὶ ἀντίτυπον, ἢ ὑγρὸν, τό,τε ἀνταυγαστικὸν τοῦ φω-
τὸς, καὶ τὸ διαφανές· καὶ τὸ τραχὺ καὶ τὸ λεῖον, καὶ τὸ θερμὸν
καὶ ψυχρόν· καὶ παντοίας ἄλλας ἐναντιώσεις, τίς φερέγγυος
τοῦ μὴ κἀκείνοις ἐπιχωριάζειν τοῖς σώμασιν; Οὐκ ἀλόγως
δὲ οὐδ᾽ ἐκεῖνο τίθησιν ὅτι τῶν ἐναντίων καὶ αἱ κινήσεις ἐναν-
τίαι. Αἱ γὰρ ἀπὸ τῆς πυρώδους φύσεως, καὶ τῶν ἄλλων ἀ-
πόῤῥοιαι, αἱ ἀκτινηδὸν κατὰ πάντα κινήσεως διορισμὸν χω-
ροῦσαι, οὐ μὴν καὶ ἐναντίαι ἀλλήλαις εἰσὶ διὰ τοῦτο, ὁμοειδεῖς
τυγχάνουσαι· τὸ γὰρ φύσει τοῖς σώμασι προσκληροῦν τὰς ἀν-
τιθέτους τῶν κινήσεων, καὶ μὴ ὑφ᾽ ἑτέρου ἀεὶ κινεῖσθαι πᾶν
ὅ,τι σῶμα ἐστὶ, μάτην ὁροθετοῦντος ἐστὶ τὰ τῆς φύσεως, καὶ
τὸν καθόλου τῆς ἑτεροκινησίας θεσμὸν, τὸν ἐν ἅπασι κρα-
τοῦντα, ἐπιεικῶς ἀθετοῦντος. Τελευταῖον δὲ καὶ τὸ πᾶσαν με-
ταβολὴν ἀπὸ τῶν οὐρανίων σωμάτων πόῤῥω ποιεῖσθαι, καὶ
θαῤῥούντως διατείνεσθαι (1), ὅτι μηδὲν φαίνεται μεταβε-
,, βληκὸς, οὔτε καθ᾽ ὅλον τὸν ἔσχατον οὐρανὸν, οὔτε κατὰ μό-
,, ριον αὐτοῦ τῶν οἰκείων οὐδὲν, μόνου ἂν εἴη τοῦ μὴ μέ-
τρον τῶν ἐπιστημῶν (ἢ δέον ἐστὶ) ποιοῦντος τὰ πράγμα-
τα, μηδὲ τοὺς ἐν φιλοσοφίᾳ λόγους, συμφώνους τοῖς ἐν τῇ
φύσει συμβαίνουσι τιθέναι δεῖν οἰομένου, ἀνάπαλιν δὲ τοῖς
λόγοις καταβιαζομένου συνᾴδειν τὰ πράγματα. Τοσούτῳ γὰρ
ἀποδεῖ τοῦ κατὰ τὸ δοκοῦν αὐτῷ, τόν τε λόγον τοῖς φαινομέ-
,, νοις μαρτυρεῖν, καὶ τὰ φαινόμενα τῷ λόγῳ (2) ὅσῳ ἥ-
,, τε ἐπὶ τῶν ὄντων σωζομένη ἀναλογία (ἥ φησί τις τῶν
ὕστερον (3), καὶ δὴ καὶ ἡ πεῖρα, οὐδὲν ἄλλο τούτου ἀριδηλό-
τερον ἵστησιν, ἢ κἀκεῖνα, ὥσπερ δὴ καὶ τὰ περὶ τὴν γῆν,
ἐν μέρει κηραίνεσθαι, πλείστας ὅσας τὰς μεταβολὰς πά-
σχοντα, καὶ τόγε ἐπὶ τῇ ἑαυτῶν φύσει, εἰς φθορὰν ῥέπον-
τα, ὑπὸ δὲ τοῦ ἀγαθοῦ δημιουργοῦ διηνεκῶς συνεχόμενα.
Ἐφ᾽ ᾧ γὰρ ἐάσαι τοὺς νεοφανεῖς τῶν ἀστέρων, οἷον τόν τε ὑπὸ
Ἱππάρχου πάλαι παρατετηρημένον, καὶ τὸν κατὰ τὸ ͵αφοβ΄. ἐν
τῷ Κασσιοπείᾳ Ἀστερισμῷ, καὶ τὸν κατὰ τὸν τράχηλον τῆς φα-
λαί-

(1) Ἀριστ. α. Περὶ Οὐρανοῦ Ὑφ κβ΄. (2) Αὐτ.
(3) Γενουήνσ. Στοιχ. τῆς Μεταφ. Βιβλ. γ΄.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λαίνης ἔτει αφυς΄. ὁραθεῖντα, καὶ τὸν ἐν τῷ βραχίλῳ πάλιν τοῦ κύκνου ἔτ. αχ. καὶ τὸν ἐν τῷ ὀφιούχῳ αχν. καὶ τὸν κατὰ τὸ αχο΄. ἐφ᾽ ᾧ τούτους ἐάσαι, μόνα τὰ τῶν κομητῶν σώματα, τῶν κατὰ χρόνους προσηλίων καθισαμένων, τίποτε ἄλλο ἐλέγχει, ἢ τῶν οὐρανίων τὴν θρυλλουμένην μάτην ἀφθαρσίαν, καὶ τῆς κτιστῆς καὶ ἐπικήρου φύσεως τὴν ἀσθένειαν;

„ Οὐκ ὀρθῶς οὖν ἐστὶν εἰρημένον, (1) ὅτι ὀρθῶς ἔοικεν ἡ „ φύσις τὸ μέλλον ἔσεσθαι ἀγένητον καὶ ἄφθαρτον, ἐξελέ„ σθαι ἐκ τῶν ἐναντίων, ἐν οἷς ἡ γένεσις καὶ ἡ φθορά· εἰ „ μὴ κατὰ τοσοῦτον, ὅτι τὸ ἀγένητον τοῦτο, μέλλον ἔσεσθαι εἴρηται, ὃ κατασκευάζει ὅτι οὐκ ἔστιν ἀγένητον.

„ Θ΄. Πάντες τὸν ἀνωτάτω τῷ θείῳ τόπον ἀποδιδόασι (φη„ σὶν (2) καὶ βάρβαροι καὶ Ἕλληνες, ὅσοιπερ εἶναι νομίζουσι „ θεούς· δηλονότι ὡς τῷ ἀθανάτῳ τὸ ἀθάνατον συνηρτημέ„ νον.... Ἔοικε δὲ καὶ τοὔνομα παρὰ τῶν ἀρχαίων διαδεδό„ σθαι μέχρι καὶ τοῦ νῦν χρόνου... Αἰθέρα γὰρ προσωνόμα„ σαν τὸν ἀνωτάτω τόπον ἀπὸ τοῦ θεῖν αἰεὶ τὸν ἀΐδιον χρό„ νον, θέμενοι τὴν ἐπωνυμίαν αὐτῷ.

Ἀλλὰ τόπου δεῖσθαι τὴν ἀσώματον φύσιν, οὐδενός, ὡς ὑπὲρ τόπον οὖσαν, οἱ πάντες ὁμολογοῦσι. Καὶ αὐτὸς κατωτέρω μαρτυρῶν φαίνεται (3). „ Οὔτε γὰρ ἐν τόπῳ φησὶ (πε„ ρὶ τῶν θείων λέγων) τἀκεῖ πέφυκεν, οὔτε χρόνος αὐτὰ „ ποιεῖ γηράσκειν, οὐδ᾽ ἔστιν οὐδενὸς οὐδεμία μεταβολή, τῶν „ ὑπὲρ τὴν ἐξωτάτω τεταγμένων φοράν, ἀλλ᾽ ἀναλλοίωτα „ καὶ ἀπαθῆ τὴν ἀρίστην ἔχοντα ζωήν, καὶ τὴν αὐταρκεστά„ την διατελεῖ τὸν ἅπαντα αἰῶνα. Εἰ δὲ τὸν οὐρανὸν ἀφορῶσιν οἱ πάντες, ὡς Θεοῦ ἀνώτατον οἰκητήριον, οὐ μέντοι τὸν ἐν παντὶ τόπῳ, καὶ τόπου ἐπέκεινα, ἐν οὐρανῷ περιορισέον, ὡς δὲ κατ᾽ ἐξοχήν, ἐν τῇ παναρμονίῳ τε καὶ πανευρύθμῳ συστάσει, τῶν ἐξαισίων καὶ μεγέθει, καὶ πλήθει σωμάτων ἐκείνων, ἐνδεικνύμενον τὸ πανσθενὲς καὶ μεγαλουργὸν τῆς αὐτοῦ δυνάμεως, διαφερόντως ἐκεῖσε καὶ δοξαστέον. Πρὸς δὲ τό, „ παν-

(1) Ἀριστ. Α. Περὶ Οὐρανοῦ. Ὑφ. κ΄. (2) Αὐτ. ὑφ. κβ΄.
(3) Αὐτ. ὑφ. ρ΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ πάντας καὶ βαρβάρους καὶ Ἕλληνας, τῷ αἰωνίῳ δημιουργῷ συνδιαιωνίζειν τὸν οὐρανὸν ὑπειληφέναι, ὡς τῷ ἀθανάτῳ τὸ ἀθάνατον συνηρτημένον, αὐτῷ τῷ Ἀριστοτέλει ἐκ τῶν αὐτοῦ ἀπαντήσομεν. Ἐν γὰρ τῷ Η. τῶν Φυσικῶν, καὶ ἐν τέλει τοῦ Α΄. τῶν περὶ οὐρανοῦ, οὐκ ὀλιγαρίθμους, οὐδὲ τῶν ἀδόξων τινὰς κατέλεξε τοὺς τοὐναντίον ἡγησαμένους. Ἐν δὲ τῷ περὶ Κόσμου πρὸς Ἀλέξανδρον (1) „ ἀρχαῖον εἶναι γέγραπται τοῦτον τὸν λόγον καὶ πάτριον πᾶσιν ἀνθρώποις, ὡς „ ἐκ Θεοῦ τὰ πάντα, καὶ διὰ Θεοῦ ἡμῖν συνέστηκεν. Τελευταῖον δὲ καὶ αἰθέρα ὀνομάσαντες τὸν ἄνω τόπον, διὰ τοῦ ἀεὶ θεῖν, οὐχὶ τὸ ἄναρχον τῆς κινήσεως καὶ φορᾶς, τὸ δὲ ἐνδελεχές τε καὶ ἀδιάλειπτον ἡμῖν ὑπεσήμαναν.

„ Γ΄. Τὸ μὴ κινούμενον καὶ κινοῦν ἀΐδιον, ( φησὶ (2) καὶ „ οὐσία, καὶ ἐνέργεια οὖσα. Ἐκ τούτων δὲ εἰσβάλλουσιν ὡς ἄρα ἀπ᾽ αἰῶνος τὸν Κόσμον ἐδημιούργησεν, ἵνα μὴ δηλαδὴ ποτὲ τὸ δυνάμει ἐπὶ τῆς ἀκράτου γένηται ἐντελεχείας.

Ὁ Ἀριστοτέλης ἐνταῦθα ὑποτιθέμενος, ὡς ἤδη ἀναμφήριστον, ὅτι ἡ κίνησις αἰώνιος, ἐντεῦθεν κατασκευάζει, ὅτι ἄρα ἡ θεία φύσις ἐνέργεια οὖσα ἐστίν. „ Εἰ γὰρ ἐστὶ, φησὶ (3) κινητικὸν, ἢ ποιητικὸν μὴ ἐνεργοῦν δὲ τὶ, οὐκ ἔστι „ κίνησις, ἐνδέχεται γὰρ τὸ δύναμιν ἔχον μὴ ἐνεργεῖν. Καὶ περιδινεῖται οὕτω κυκλικῶς τὰ τῆς δείξεως ἡμῖν ἀπὸ τοῦ αὐτοῦ ὁρμωμένης, κἀπὶ τὸ αὐτὸ τελευτώσης. Ὡς εἴτις ἄλλοθεν ὑπολαβὼν ὑποκρίσηται ἀλλότριον εἶναι τὸ δυνάμει τῆς ὑπερουσίου φύσεως, ὡς ἀπουσίαν τῆς κατὰ τὸ ἐνεργεῖν τελειότητος, τῷ ὑπερτελεῖ προσάπτον, ἀπαντήσομεν ὅτι τῷ δημιουργῷ, δυνάμει τι εἶναι τῶν ἐν αὐτῷ, τῷ ὡσαύτως ἔχοντι ἀεὶ καὶ ἀναλλοιώτῳ, τοῦτο ἐστὶν, ὃ καὶ αὐτοὶ ἀδύνατον εἶναι φαμέν. Αὐτοῦ δὲ ἐνεργεία ἔχοντος, μᾶλλον δὲ ὄντος ἐνεργεία ὃ τίποτε ἐστὶν, ὃ ἡμεῖς περινοῆσαι οὐκ ἐξισχύομεν, τὸ δυνάμει ὡς ἐκ τῶν κτισμάτων, τῶν ἐπὶ τὸ εἶναι καλουμένων ὥστε, καὶ ὅτε δόξειεν αὐτῷ, οὐδὲν τῇ ἀπειροτελεῖ προσλυ-

(1) Κεφ. ϛ΄. (2) Ἀριστ. Λ. Μεταφ.
(3) Αὐτ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λυμαίνεται φύσει· τούτων δὲ ἀσθένειαν κατηγορεῖν, ἐκείνῳ δυνάμιν προσμαρτυρεῖ ἀπολύτου αὐτεξουσιότητος.

„ ΙΑ΄. Ὁρῶμεν παρὰ τὴν τοῦ παντὸς ( φησὶν (1) τὴν ἁπλῆν φορὰν, ἣν κινεῖν φαμὲν τὴν πρώτην οὐσίαν καὶ ἀκίνητον, ἄλλας φορὰς οὔσας, τὰς τῶν πλανήτων ἀϊδίους... „ Ἀνάγκη δὲ καὶ τούτων ἑκάστην τῶν φορῶν ὑπ' ἀκινήτου κινεῖσθαι καθ' αὑτὸ, καὶ ἀϊδίου οὐσίας.... Πᾶν γὰρ τὸ φέρον „ τοῦ φερομένου χάριν πέφυκεν. Ὥστε οὐκ ἂν εἶεν αἱ ἀΐδιοι ἐκεῖναι οὐσίαι, μὴ καὶ τῶν φερομένων ὄντων ἀπ' αἰῶνος.

Κἂν τούτοις κύκλος τις ἐμφαίνεται τοῖς ἀνωτέρω παραπλήσιος· ἐπειδὴ γὰρ τὰ φερόμενα, ἤτοι τὰ τῶν πλανήτων σώματα ἀΐδια ὄντα, ἐστὶ, καὶ τούτων ὡσαύτως αἱ κινήσεις ἀϊδιάζουσι, φανερὸν ὅτι, καὶ αἱ κινοῦσαι οὐσίαι ἀϊδίως εἰσίν· οὖσαι δὲ πῶς ἀργήσουσι; τὸ γὰρ φέρον χάριν τοῦ φερομένου πέφυκεν· κινοῦσιν ἄρα καὶ ἀπ' αἰῶνος, καὶ οὕτως ἀΐδια εἰσὶν ἡμῖν τὰ κινούμενα σώματα. Πόθεν; ἐξ αὐτοῦ τούτου δηλονότι, ὅτι ἀΐδια. Ἀλλ' αὐτοὶ καὶ τὸν κύκλον συγχωροῦντες οὕτω κυκλίεσθαι, οὐδ' οὐσίας ἐφιστᾶν ἀναγκαῖον ἡγούμεθα ταῖς οὐρανίαις σφαίραις, τούτων κινητικὰς, ἐνὸν ἄλλως αὐταῖς ἐνδιασώζεσθαι τὴν φορὰν ὑπὸ τοῦ δημιουργοῦ, τοῦ ἅπαξ ἐνθεμένου τὴν ὁρμὴν, καὶ ἀεὶ συνέχοντος, καὶ ἣν καὶ οὐσίας αὐταῖς ἐπιστήσωμεν τὰς κινητικὰς, οὐκ ἀϊδίους οὐδὲ τὰς τοιαύτας οὐσίας ἀποφανούμεθα, ἀλλ' ἐν χρόνῳ καὶ αὐτὰς τὸ εἶναι λαβούσας, χρονικῶς καὶ κινεῖν τὰς σφαίρας ἐροῦμεν· ἓν γὰρ τὸ αἰώνιον, ὁ Θεὸς καὶ Πατὴρ πάντων, ἐξ οὗ τὰ πάντα.

„ ΙΒ΄. Ἐν τοῖς φύσει δεῖ τὸ βέλτιον ἐὰν ἐνδέχηται ὑ„ πάρχειν μᾶλλον (2). Τὸ γὰρ βέλτιον ἀεὶ ὑπολαμβάνο„ μεν, φησὶν (3), ἐν τῇ φύσει ὑπάρχειν, ἐὰν ᾖ δυνατόν. Δυνατὸν δὲ τὸν Κόσμον ἀεὶ εἶναι, καὶ βέλτιον, ἢ μή. Ἄρα κτ.

Τὸ ἀπ' αἰῶνος εἶναι τὸν Κόσμον οὐκ ἔστι τῶν δυνατῶν, ὡς ὑποτίθεται· τοῦτο δὲ, οὐ παρ' ἔλλειψιν τῆς ἐν τῷ Θεῷ δυνά-

(1) Μεταφ. Λ. Κεφ. ή.
(2) Φυσ. Η. ὑφ. μή.
(3) Αὐτ. ὑφ. νς΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νάμεως, τῆς ἀεὶ κοσμοποιεῖν δυναμένης· περὶ δὲ τὴν ἑπομένην ὡς ἐκ τοῦ Κόσμου ἀντίφασιν. Ἤτοι γὰρ ὑποτεθεὶς μὴ ἐξηρτημένην ἔχειν ἐκ Θεοῦ τὴν ὕπαρξιν, ἀναγκαῖον παύτῃ πάντως ἂν εἴη, τὸ ἐνδεχόμενον καὶ ῥοπαῖς μυρίαις ὅσαις ὑποκείμενον, καὶ οὐδὲ τοῦ κινοῦντος δηλαδὴ ἂν οὕτως εἴη· πῶς γὰρ εἰ μηδὲ ὅλως τοῦ ὑποστήσοντος; Ἢ γοῦν ἐκ Θεοῦ δημιουργικῶς λαμβάνειν τὸ εἶναι λεγόμενος, εἴη ἂν ἅμα καὶ αἰώνιος διὰ τὴν ὑπόθεσιν, καὶ μὴ, ὡς πρότερον ἔχον τὸ ὑφ' οὗ· τοῦ γὰρ αἰωνίου πρότερον οὐδέν. Ἀλλὰ περὶ τούτου καὶ ἐφεξῆς. Ἤδη δὲ πρὸς τὸ μὴ δυνατὸν εἶναι τὸν Κόσμον αἰώνιον τυγχάνειν, ῥητέον ὡς οὐδὲ βέλτιον. Εἰ γὰρ ἀγαθὸν ἑκάστῳ τὸ αὐτοῦ τῇ φύσει προσῆκον· προσῆκον δὲ τῇ ῥοϊστῇ οὐσίᾳ ὁ χρόνος, βέλτιον ἄρα αὐτῇ τὸ ἐν χρόνῳ εἶναι, ἢ ἀπ' αἰῶνος· ὥσπερ δὴ καὶ τοῖς ἀνθρώποις νόας ἐνσωμάτους πεφυκέναι, ἢ παύτῃ ἀπηλλαγμένους τοῦ σώματος· πρὸς ὅ,τι γὰρ οὗτινοσοῦν ῥέπει ἡ φύσις, ἐκεῖνο βέλτιον. Καὶ τὸ τὴν ὑπεροχὴν δὲ τῆς δημιουργοῦ φύσεως, ὑπὲρ τὴν δημιουργηθεῖσαν ἐντεῦθεν μεγαλύνεσθαι, τό,τε ὕψος τῆς προνοίας, καὶ τὸ μέγεθος τῆς δυνάμεως ἀναδείκνυσθαι, καὶ τὸ ἐν ὑπερτελεῖ ἐξουσίᾳ, καὶ παντελευθέρῳ θελήσεως νεύματι, ἀγαθυνόν διὰ τῆς κοσμοποιΐας τὰ μηδαμῇ μηδαμῶς ὄντα ἀκαταβιάστως τε καὶ αὐτοκινήτως, ἀγαθὸν εἶναι καὶ λέγεσθαι, πάντα ταῦτα, καὶ τούτων ἔτι πλείω ἀλλ' ἅπερ αὖτις προσθείη τοῖς εἰρημένοις, ἄριστα ἐν χρόνῳ τὸν Κόσμον δεδημιουργῆσθαι κατασκευάζει, καὶ ὡς ἄλλως οὐκ ἐνεδέχετο ἄμεινον. Ἃ μὲν οὖν τις ἐκ τῶν Ἀριστοτέλους περὶ ἀϊδιότητος Κόσμου προβάλλοιτο ταῦτά ἐστιν. Ἡμῖν δὲ καὶ τὰ τοῦ Πλατωνικοῦ Πρόκλου προβλητέον ἐνταῦθα, καὶ ταῦτα ἐκ τῶν τοῦ Φιλοπόνου ὡς οἷόν τε συντόμως ἐπιλυτέον.

„ ΙΓ'. Εἰ ὁ Κόσμος γεννητὸς, διατί μὴ πρότερον ἐγένετο, „ ὑπὸ τοῦ ἀπειροδυνάμου Θεοῦ πολλῷ πρότερον γενέσθαι δυ-„ νάμενος; (1) Καὶ γὰρ ὁ Θεὸς ἀγαθός ἐστι· τὸ δὲ ἀγα-„ θὸν καὶ μεταδοτικὸν ἧσπερ ἂν ἔχοι ἀγαθότητος. Ἀεὶ δὲ,

οὐκ

(1) Πρόκλ. ά. Λόγ. Περὶ Ἀϊδιότ. Κόσμου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὐκ ἄρα νῦν μὲν, νῦν δ' οὔ. Καὶ παραγαγὼν ἄρα ἀπ' αἰῶ-
νος, ἀεὶ τοῦ εἶναι τοῖς ὑφεστῶσι μετέδωκεν. (1)

,, Τὸ ἄπειρον κατὰ μηδένα τρόπον δύνασθαι ἐνεργείᾳ ὑπο-
,, στῆναι, διὰ πλειόνων Ἀριστοτέλης (2) ἀποδέδειχεν.... τοῦ
,, δὲ ἀπείρου κατὰ μέγεθος, ἢ κατ' ἀριθμὸν ὑποστῆναι φύ-
,, σιν οὐκ ἔχοντος, γελοῖον ζητεῖν διατὶ μὴ πλείονα ὑπέ-
,, στη; Ὅσῳ γὰρ πλείονα τῶν ὄντων ὑποστῆναι τις ὑπόθοι-
,, το, τοῦ ἀπείρου κατ' ἐνέργειαν ἐκβῆναι μὴ δυναμένου, οὐ-
,, δὲν ἧττον ἡ αὐτὴ μένει ἀπορία, ταύτῃ οὖν ἀνάγκη πεπε-
ρασμένον εἶναι τὸν τῶν ὄντων ἀριθμόν. ( διὰ τὸν αὐτὸν δὲ
λόγον καὶ εἴτις τὶ μὴ κρείττονα τὰ ὄντα, πυνθάνοιτο, γε-
λοῖον τὶ αὖ εἴη πυνθανόμενος. ) ,, Εἰ οὖν τὸ μὴ πλείονα,
,, ἢ κρείττονα δεδημιουργῆσθαι παρὰ τὴν φύσιν τῶν γινομέ-
,, νων ἔχει τὸ αἴτιον, καὶ οὐδὲν τοῦτο μειοῖ, ἢ τὴν δύναμιν
,, τοῦ Θεοῦ, ἢ τὴν ἀγαθότητα. Ἀκολούθως ἄρα καὶ ἡμεῖς μὴ
,, εἶναι τὸν Κόσμον ἀγέννητον ὑποτιθέμενοι, οὔτε ἀσθένειαν
,, τοῦ δημιουργοῦ, οὔτε τὸ μὴ βούλεσθαι ἀεὶ αὐτὸν τὰ ἀγαθὰ
,, παράγειν κατηγοροῦμεν, ἀλλὰ τὴν τῶν γινομένων φύσιν
,, αἰτιώμεθα. (Ὅρα καὶ τὰ εἰρημένα ἐν τῇ ἐπιλύσει τοῦ Ε΄.)

,, Ἀλλ' εἰ καὶ ὁ Θεὸς ἀγαθὸς, ἀγαθῷ δὲ οὐδεὶς περὶ οὐ-
,, δενὸς ἐγγίνεται φθόνος, ὡς ὁ σοφὸς φησὶ Πλάτων, καὶ
,, διὰ τοῦτο εἰς τὸ εἶναι πάντα παρήγαγε, διατί μηδὲν τῶν
,, γεννητῶν ἑαυτοῦ, κατὰ πάντα ταυτὸν ὑπέστησεν, ὥστε τῆς αὐ-
,, τῆς αὐτοῦ κοινωνεῖν οὐσίας τε, καὶ δυνάμεως; Ἢ γὰρ δυ-
,, νάμενος οὐκ ἠθέλησεν, καὶ τὸ ἑπόμενον, διὰ τὸ βλάσφη-
,, μον σιωπῶ.... Ἢ πάντως διὰ τὸ μὴ δύνασθαι οὐδὲ ἠθέ-
,, λησεν. Ἀλλὰ τοῦτο ἀσθένειαν τοῦ Θεοῦ κατηγορήσει. Ἀμή-
,, χανον γὰρ ἦν τῶν γεννητῶν τι ταυτὸν εἶναι τῇ ἀγεννήτῳ
,, καὶ δημιουργικῇ αὐτοῦ αἰτίᾳ. Οὕτω γὰρ αὖ αὐτὸς αὐτὸν ὁ
,, Θεὸς ἐδημιούργει..... Εἰ οὖν τὸ μὴ δύνασθαί τι τῶν δη-
,, μιουργηθέντων ταυτὸν εἶναι τῷ δημιουργήσαντι, οὔτε τοῦ εἶ-
,, ναι τὸν Θεὸν ἀγαθὸν ἀφαιρεῖται...... οὔτε τινὰ ἀσθέ-
,, νειαν καὶ ἀδυναμίαν αὐτοῦ προστρίβεται. Καὶ ἡμεῖς ἄρα
,, μὴ

(1) Φυσ. Γ. Καὶ α. Περὶ Οὐρανοῦ. (2) Αὐτ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ μὴ εἶναι τὸν Κόσμον ἀΐδιον ὑποτιθέμενοι, ὅτε τὸ εἶναι „ τὸν Θεὸν ἀεὶ ἀγαθὸν ἀφαιρέμεθα, ὅτε ἀσθένειαν τῆς δημιεργικῆς αὐτῦ κατηγορῦμεν δυνάμεως, ἀλλὰ τὸ μὴ δύνασθαι ἀεὶ εἶναι τὸν Κόσμον δι' αὐτὴν τὴν τῦ γινομένε „ φύσιν ὑποτιθέμεθα. Ὅπερ ἐφεξῆς σαφέστατα δείξομεν. Τῷ δὲ ἐπιχειρήματι καὶ ἄλλως ἐστὶν ἀπαντῆσαι ἐκ περιουσίας, ὅτι καὶ δυνάμενον μὲν, μὴ βεληθέντα δὲ ἀπ' αἰῶνος, ἀλλ' ἐν χρόνῳ παραγαγεῖν, ἐ φθόνον τῇ ἀπαθεῖ φύσει ἐλέγχει ἄπαγε· τίνι γὰρ ἂν καὶ βασκήνειε; τῷ μηδαμῇ μηδαμῶς ὄντι; καὶ πῶς ἂν ἀγαθοποιήσειεν, ᾧ φθονήσειεν; ἀλλὰ τὸ παντελεύθερον μαρτυρεῖ τῷ δημιεργῷ, καὶ τὸ παντεξέσιον τῆς αὐτῦ δυνάμεως.

„ ΙΔ'. Εἰ ἐστὶ τὸ παράδειγμα τῦ Κόσμε αἰώνιον, καὶ τῦτο ἐστὶ τὸ τί ἦν εἶναι αὐτῷ, τὸ παραδείγματι εἶναι.... „ τὸ παραδείγματι εἶναι αὐτῷ αἰωνίως πάρεστιν. Εἰ δὲ „ τῦτο, εἴη ἂν ἐξ ἀνάγκης καὶ εἰκὼν ἀεί· πρὸς γὰρ εἰκόνα „ τὸ παράδειγμα. Ἄλλως, ἢ ἐδὲ τὸ παράδειγμα ἦν τῆς „ εἰκόνος μὴ ἔσης, ἢ μὴ εἰκόνος παράδειγμα. Τῶν γῦν „ πρὸς ἄλληλα λεγομένων, ἐδὲν θάτερον ἐστὶ θατέρε μὴ „ ὄντος. Εἰ ἄρα τὸ παράδειγμα αἰωνίως παράδειγμα, ἀεὶ „ ἐστὶν ὁ Κόσμος εἰκὼν, τῦ αἰωνίε ὄντος ὡς παραδείγματος. (1)

Οὐδεὶς ἂν τοῖς Ἀριστοτέλες δόγμασι στοιχῶν, τῷ λόγῳ τῷδε, ὑπὲρ τῆς τῦ Κόσμε ἀϊδιότητος χρήσαιτο, τῦ Σταγειρίτε πολλαχῦ τῶν αὐτῦ συγγραμμάτων, ὅποι καὶ τύχοι, τὴν περὶ ἰδεῶν τῦ Διδασκάλε κατὰ τὸ καρτερὸν ἀπελέγχοντος δόξαν. Καὶ πρὸς αὐτὸ τὸ ὄνομα τῦ παραδείγματος δυσχεραίνοντος, καὶ μεταφορικὸν αὐτὸ λέγοντος, καὶ πολλῷ μᾶλλον πρὸς αὐτὸ τὸ δόγμα μαχομένε· ὃ καὶ αὐτὸς ὁ Πρόκλος μαρτυρεῖ (2) „ κινδυνεύει φάσκων, μηδὲν ἕτως ὁ ἀνὴρ ἐκεῖνος ἀποποιήσασθαι τῶν Πλάτωνος ὡς τὴν τῶν ἰδεῶν ὑ„ πόθεσιν, ἐ μόνον ἐν λογικοῖς τερετίσματα τὰ εἴδη κα„ λῶν,

(1) Πρόκλ. Λόγ. β'.

(2) Πρόκλ. Περὶ ἐπισκέψ. τῶν πρὸς τὸν Πλάτωνος Τίμ. ὑπ' Ἀριστοτ. ἀντειρημ. Κεφ. α'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ λῶν, ἀλλὰ καὶ ἐν ἠθικοῖς πρὸς τὸ αὐτάγαθον διαμαχό-
„ μενος, καὶ ἐν φυσικοῖς οὐκ ἀξιῶν τὰς γενέσεις εἰς τὰς ἰδέας
„ ἀναφέρειν... Καὶ ἐν τῇ μετὰ τὰ φυσικὰ πολλῷ πλέον,
„ ἅτε περὶ τῶν ἀρχῶν πραγματευόμενος, καὶ κατατείνων
„ μακρὰς κατηγορίας τῶν ἰδεῶν, ἐν τοῖς πρώτοις, ἐν τοῖς
„ μέσοις, ἐν τοῖς τελευταίοις τῆς πραγματείας ἐκείνης, καὶ
„ ἐν τοῖς διαλόγοις σαφέστατα κεκραγὼς, μὴ δύνασθαι τῷ
„ δόγματι τούτῳ συμπαθεῖν, κἄντις αὐτὸν οἴηται διὰ φι-
„ λονεικίαν ἀντιλέγειν. Ἀλλ' εἴτις ἐκ τῶν ἰδεῶν, καὶ τὸν
Πλάτωνα αὐτὸν συγκαταπασπᾶσαι τῷ Ἀριστοτέλει ἐπὶ τὸ τῆς
ἀϊδιότητος τοῦ Κόσμου ἐθελήσειε δόγμα, ὅπερ ἔοικεν ὁ Πρό-
κλος ἐπιχωρῆσαι, πρὸς τοῦτον αὐτοὶ ψευδῆ τὴν ὑπόθεσιν
εἶναι φήσομεν ὡς ἐν τούτῳ τὸ εἶναι ταῖς ἰδέαις ἐν τῷ πα-
ραδείγμασιν εἶναι. Ἤτοι γὰρ οὐσίας ὁ Πλάτων αὐτὰς ἐτί-
θετο εἶναι αὐθυποστάτους, καὶ δῆλον ὡς οὐκ ἐν σχέσει τῇ
πρὸς ἄλλο τὸ εἶναι ἔξουσιν. „ Εἰ γὰρ αἱ αἰσθηταὶ οὐσίαι καὶ
„ εἰκόνες ἐκείνων, αὐταὶ καθ' αὑτὰς ὑφεστήκασιν, οὐκ ἐν
„ σχέσει τῇ πρὸς ἄλλο τὸ εἶναι ἔχουσαι, ἥκιστά γε αἱ πρῶ-
„ ται, καὶ ἀεὶ κατὰ ταυτὰ, καὶ ὡσαύτως ἔχουσαι ἐν τῇ πρὸς
„ ἄλλο σχέσει τὸ εἶναι ἔχοιεν.... Καὶ οὕτως εἰ μὴ ἐν τῷ
„ εἶναι παραδείγματα τὸ εἶναι καὶ τὴν ὑπόστασιν ἔχει τὰ
„ εἴδη, κατ' ἄλλο δὲ αὐτοῖς τὸ εἶναι, κατ' ἄλλο δὲ τὸ πα-
„ ραδείγματα εἶναι, οὐκ ἄρα ἀνάγκη τῆς ἰδέας πρὸς ἣν ὁ
„ Κόσμος γέγονεν αἰωνίου οὔσης, καὶ τὸν Κόσμον ἀεὶ εἶ-
„ ναι.... Ἐπεὶ καὶ τῆς εἰκόνος αὐτὸς ὁ Βασιλεὺς ἐστὶ πα-
„ ράδειγμα, ἀλλ' οὐκ ἀνάγκη ἅμα τῷ εἶναι τὸν Βασιλέα,
„ καὶ τὴν εἰκόνα αὐτοῦ εἶναι. Ἢ (ὅπερ ἦν θάτερον) οὐκ οὐ-
σίας τὰς ἰδέας ὁ Πλάτων τίθεται εἶναι, ἀλλά τινας δημιουρ-
„ γικοὺς λόγους καὶ νοήσεις, καθ' οὓς ὁ δημιουργὸς τὰ ὄντα συ-
„ νίστησι... Καὶ οὐδ' οὕτως οὐδεμία φαίνεται ἀνάγκη, τοῦ πάν-
„ τως ἅμα τοῖς δημιουργικοῖς λόγοις συνυπάρχειν, καὶ τὰ
„ γινόμενα ἀποτελέσματα. Ἀντιστρόφως γὰρ ἔχειν ἀναγ-
„ καῖον· τῶν γὰρ ἀποτελεσμάτων ὄντων ἀνάγκη πάντως, καὶ
„ τοὺς λόγους εἶναι, καθ' οὓς ταῦτα γέγονεν· οὐμὴν τοῖς λό-
„ γοις τὰ πράγματα πάντως ἕψεται, ἐπεὶ καὶ ναυπηγὸν καὶ
„ οἰκοδόμον ἐνδέχεται, νεώς τινος ἢ οἰκίας τοὺς λόγους ἔχον-
„ τα, μήπω δημιουργεῖν κατ' αὐτούς. Καὶ τοὐναντίον ἄρα ὁ
λό-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λόγος ἀναγκάζων τὰς ἰδέας πρὸ τῶν κατ' αὐτὰς ὁμολογεῖν, ταῖς μὲν τὸ ἀΐδιον, τοῖς δὲ τὸ ἐν χρόνῳ εἶναι ἀποκληροῖ.
,, Ἄλλως τε καὶ τὴν τῶν μελλόντων ἀκριβῆ πρόγνωσιν, πᾶς
,, τις ὁμολογήσειε, καὶ τῆς ἐκ Θεοῦ προνοίας ἀπολαύειν τὰ
,, ὄντα πάντα καὶ μηδὲ τὸ τυχὸν ἐν παροράματι γίνεσθαι,
,, κοινὴ πάντων ἐστὶν ἔννοια τῶν ὁπωσοῦν τήν τε τοῦ Θεοῦ ἀ-
,, γαθότητα, καὶ τὴν ἄρρητον ἐγνωκότων δύναμιν. Αὐτὰ δὲ
,, ταῦτα ἡμῖν καὶ ὁ Πρόκλος συνομολογεῖ (1) καὶ ὁ Πλωτῖ-
,, νος (2). Καὶ ἀνάγκη τοίνυν τῶν μελλόντων ἔσεσθαι προϋ-
,, πάρχειν τε, καὶ προεγνῶσθαι τοὺς λόγους. Εἰ δὲ τοῦτο, οὐκ
,, ἄρα τοῖς τῶν γινομένων δημιουργικοῦ λόγοις τε καὶ αἰτίαις
,, συνυπάρχει τὰ πράγματα· τοὐναντίον δέ. Ὥστε εἰ καὶ αἱ
,, ἰδέαι καὶ τὰ παραδείγματα, νοήσεις τινὲς εἰσὶ τοῦ δημιουρ-
,, γοῦ, καὶ λόγοι, καθ' οὓς τὸν Κόσμον παρήγαγεν, οὐκ ἀνάγ-
,, κη πάντως συνυπάρχειν ἐξ ἀϊδίου ἅμα τῇ γνώσει τοῦ
,, Θεοῦ, τῇ περὶ τοῦ Κόσμου, αὐτὸν τὸν Κόσμον.
,, ΙΕ'. Εἰ ὁ δημιουργὸς τινὸς ἐστὶ δημιουργὸς, ἤτοι κατ' ἐ-
,, νέργειαν ἔσται δημιουργὸς ἀεὶ, ἢ δυνάμει ποτὲ μὴ ἀεὶ
,, δημιουργῶν. (3) Ἀλλ' εἰ μὲν ἐκεῖνο, καὶ τὸ δημιουργούμενον
,, ἀεὶ κατ' ἐνέργειαν ἔσται δημιουργούμενον. Εἰ δὲ τοῦτο, ἐπεὶ
,, πᾶν τὸ δυνάμει ὂν, ἀπὸ τοῦ ἐνεργείᾳ ὄντος, ὅ ἐστιν, τοῦ-
,, το δυνάμει γίνεται κατ' ἐνέργειαν, ἔσται ἄρα καὶ ὁ δη-
,, μιουργὸς, δυνάμει πρότερον ὂν, ἀπὸ ἄλλου τινὸς ἐνεργείᾳ
,, δημιουργοῦ... καὶ εἰ μὲν ἐκεῖνος ἀεὶ ἐνεργείᾳ αἴτιος τοῦ εἶ-
,, ναι τοῦτον δημιουργὸν, ἀεὶ καὶ οὗτος δημιουργὸς, διὰ τὸ ἀξίω-
,, μα τὸ λέγον· ὅταν ᾖ κατ' ἐνέργειαν τὸ αἴτιον, καὶ τὸ αἰ-
,, τιατὸν εἶναι κατ' ἐνέργειαν· ὥστε τὸ δημιουργούμενον ἀεὶ
,, ἐστίν. Εἰ δὲ καὶ ἐκεῖνος δυνάμει ποτὲ αἴτιος τοῦ ποιεῖν
,, τὸν δημιουργὸν δημιουργεῖν, διὰ τὸ ἀξίωμα τὸ λέγον· τὸ
,, δυνάμει πᾶν δεῖσθαι τοῦ ἐνεργείᾳ, ἵνα γένηται κατ' ἐνέρ-
,, γειαν, καὶ πάλιν ὁ αὐτὸς ἐπὶ τούτου λόγος. Καὶ ἢ εἰς ἄ-
,, πει-

(1) Περὶ τῶν δέκα πρὸς τὴν πρόνοιαν ἀπορ.
(2) Ἐν τῷ περὶ τοῦ πῶς, ἢ ἀγαθοῦ.
(3) Πρόκλου λόγος γ'. περὶ ἀϊδιότ. Κόσμου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ πειρον ἀνιμὲν ἄλλο πρὸ ἄλλου ζητοῦντες αἴτιον τοῦ ἐνεργείᾳ
„ τῷ προκειμένῳ δυνάμει αἰτίῳ, ἢ ἥξομεν εἰς τὸ συγχω-
„ ρῆσαι ἀεί τι εἶναι κατ᾽ ἐνέργειαν αἴτιον· τούτου δὲ συγχω-
„ ρηθέντος ἕπεται καὶ τὰ αἰτιατὰ ἀεὶ εἶναι κατ᾽ ἐνέργειαν,
„ καὶ τὸν κόσμον ἀεὶ δημιουργούμενον.

Τοῦ δυνάμει τοῦ μὲν α. καὶ κατ᾽ ἐπιτηδειότητα (1) ὄντος, τοῦ δὲ β. καὶ καθ᾽ ἕξιν, ὁ ἐνεργείᾳ μὲν ἐστὶ πρὸς τὸ πρῶτον δυνάμει ἐκεῖνο, δυνάμει δὲ πρὸς αὐτὴν τὴν ἐνέργειαν τὴν τὸ β'. ἐνεργείᾳ τυγχάνουσαν, (2) τὸ λέγον ἀξίωμα, ὡς ὅταν τὸ αἴτιον κατ᾽ ἐνέργειαν, καὶ τὸ αἰτιατὸν, ἐπὶ τοῦ β. ἐνεργείᾳ ἀληθές ἐστιν οὐκ ἐπὶ τοῦ α., ὃ τὸ β'. δυνάμει ἐστίν. Καὶ τὸ ἕτερον ὁμοίως τῶν ἀξιωμάτων, ὅτι τὸ δυνάμει ὁπη-
„ νίκα εἰς ἐνέργειαν ἀνάγεται, ἀνάγκη πάντως ὑπό τινος
„ ἑτέρου ὄντος κατ᾽ ἐνέργειαν τοιούτου, οἷον αὐτὸ τὸ ὂν δυνά-
„ μει ἐστὶ, μεταβάλλειν, καὶ εἰς ἐνέργειαν ἄγεσθαι, ἐπὶ τοῦ
„ προτέρου μόνον δυνάμει χώραν ἔχει... οὐκέτι δὲ ἐπὶ τοῦ
„ β'. δυνάμει ἀληθὲς τοῦτο ὑπάρχει τὸ ἀξίωμα... Εἰ οὖν
„ ἡμεῖς ἀεὶ καθ᾽ ἕξιν ἐνεργείᾳ δημιουργὸν εἶναι τὸν Θεὸν ὑ-
„ ποτιθέμεθα, (ὅπερ ἐστὶ τὸ α. μὲν ἐνεργείᾳ, β. δὲ δυ-
„ νάμει.) ποία ἔτι ἀνάγκη οὕτως ὄντος ἀεὶ τοῦ Θεοῦ ἐνερ-
„ γείᾳ δημιουργοῦ, καὶ τὸν κόσμον ἀεὶ εἶναι; Ὁ τοίνυν παῖς

κατὰ τὸ α. δυνάμει δημιουργὸς λεγόμενος, οὐκ ἂν οἰκοδομήσειε, μὴ πρότερον εἰς τὸ τῆς οἰκοδομικῆς ἕξεως ἐγκρατὴς ὀφθῆναι μεταβαλὼν ὑπό του, ὃς ἂν ταύτηγε ᾖ κατ᾽ ἐνέργειαν· ὁ δ᾽ οὕτως ἐνεργείᾳ οἰκοδόμος ὢν, ἤτοι καθ᾽ ἕξιν, οὐδενὸς ἂν ἑτέρου πρὸς τὸ οἰκοδομῆσαι, προσδεὴς εἴη τοῦ ἐνεργείᾳ οἰκοδομήσοντος. „ Πάλιν τῆς οἰκίας μὴ οὔσης κα-
„ τ᾽ ἐνέργειαν, οὐδὲν κωλύει τὸν οἰκοδόμον εἶναι κατ᾽ ἐνέρ-
„ γειαν τὴν καθ᾽ ἕξιν· οἰκοδόμος γάρ ἐστιν ὁ τὴν ἕξιν ἔ-
„ χων, κἂν μὴ οἰκοδομῇ.... οἰκοδομοῦντος δὲ κατ᾽ ἐνέρ-
„ γειαν καὶ τὸ οἰκοδομούμενον ἔσται.... ὁ γοῦν Φιλόσοφος,
„ (ὁ Πρόκλος) σοφιστικῶς τὸ ἐπὶ τοῦ προτέρου δυνάμει λε-
„ γό-

---

(1) Ἐκ τῶν Φιλοπόνου πρὸς τὸν ἀνωτ. λόγον.
(2) Ὅρα Ἀριστ. Η. Φυσ. ὕφει λβ'. καὶ β. Περὶ ψυχ. ὕφ. ιδ'. καὶ νέ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ γόμενον ( λέγω δὴ τὸ δεῖσθαι τοῦ ἐνεργείᾳ τοιούτου, οἷον
„ αὐτὸ ἐστὶ τὸ δυνάμει, ἵνα εἰς ἐνέργειαν ἀχθῇ. ) αὐτὸς
„ ἁπλῶς καὶ ἀδιορίστως τῷ δυνάμει ἕπεσθαι φησίν. Εἶτα
„ λοιπὸν κατὰ τὸ ἀκόλουθον ἐπισυνάπτει λήρους μακροὺς, δη-
„ μιουργὸν δημιουργῷ συνείρων, καὶ τῇ α. ἀτόπῳ ὑποθέσει
„ τὰ ἀκόλουθα συμπεραινόμενος. Ἀλλ' ἐπεὶ οὐδεὶς καὶ τῶν
„ τυχόντων νοῦν ἔχων, κατὰ τὸ πρότερον δυνάμει φαίη ἂν εἶ-
„ ναι τὸν Θεὸν δημιουργὸν πρὶν δημιουργῆσαι, ταύτης τῆς ἀ-
„ τόπου ἀρχῆς ἀναιρεθείσης, οἴχεται πᾶν τὸ ἐξ ἀραχνίων
„ τοῦ Φιλοσόφου τῶν συλλογισμῶν ὕφασμα. Καθ' ἕξιν γὰρ
„ ὢν δημιουργὸς ὁ Θεὸς πρὶν δημιουργῆσαι, οὔτε ἑτέρου δεή-
„ σεται τοῦ εἰς ἐνέργειαν αὐτὸν ἄγοντος, οὔτε ἐπειδὴ οὕτως ἐ-
„ στὶν ἐνεργείᾳ δημιουργὸς, ἤδη διὰ τοῦτο καὶ τὸν κόσμον εἰσά-
„ γει ἐξ ἀϊδίου ἑαυτῷ συνυπάρχοντα. Κἀκείνῳ δὲ τῷ ἐν
τῷ λόγῳ τοῦ Πρόκλου, προσοχθίζει, ὡς εἰκὸς ὁ Φιλόπονος
μὴ πάντη μὴ δ' ἐπὶ πάντων ἀληθῶς λεγομένῳ, ὅτι τοιοῦτον
εἶναι δεῖ τὸ ἐνεργείᾳ, ὁποῖον δυνάμει ἐστὶ τὸ ὑπ' ἐκείνου ἀ-
„ γόμενον εἰς ἐνέργειαν. Τοῦτο γὰρ ἐπί τινων ἀληθές μέν
„ ἐστίν... ἐπίτινων δὲ οὐ πάντως τὸ ἐνεργείᾳ ἀνάγκη εἶναι
„ τοιοῦτον ἐνεργείᾳ, οἷον δυνάμει ἐστὶ τὸ ὑπ' αὐτοῦ ἀγόμενον
εἰς ἐνέργειαν· τὰ γὰρ ξύλα δυνάμει ναῦς ὄντα, ποιεῖ ἐνεργείᾳ
„ ναῦν, οὐχ ἡ κατ' ἐνέργειαν ναῦς, ἀλλ' ὁ κατ' ἐνέργειαν
„ ναυπηγός. Οὐδὲ γὰρ οἱ ἐν τῷ ναυπηγῷ δημιουργικοὶ τῆς
„ νεὼς λόγοι, ἤδη καὶ ναῦς εἰσὶ κατ' ἐνέργειαν.... Μήπο-
τε δὲ οὐδὲ τὸ δύναμιν ἔχον πάντως εἴς τι καὶ ἐπιτηδειότητα,
ἑτέρου δεήσεται ( ἀεί ποτε ) τοῦ δυνάμει αὐτὸ εἰς ἐνέργειαν
„ ἄγοντος. ἐνδέχεται γὰρ καὶ αὐτὸν ἑαυτῷ τινα αἴτιον εἶναι
„ τῆς ἐκ τοῦ προτέρου δυνάμει εἰς τὸ ἐνεργείᾳ μεταβολῆς.
„ δύω γὰρ ὁδοὶ τῷ ὄντι εἰς ἐπιστήμην κατὰ Πλάτωνα (1)
„ μάθησις καὶ εὕρεσις... οἷον ὁ α. διψῶν ξύλων πεῖσιν
„ πρὶν εὕροι, δυνάμει ὢν πεῖσις κατὰ τὸ πρότερον δυνάμει
„ ἐνεργείᾳ γέγονε πεῖσις... καὶ τὸ ἀρτιγενὲς σκυλάκιον,
„ δυνάμει ὁρατικὸν ὂν, ἢ ὑλακτικὸν ὑπὸ τῆς ἐν αὐτῷ φύ-
„ σεως

(1) Πλάτ. ἐν Ἀλκιβιάδῃ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ σεως τελειῦται. Εἰ μήτις ἐπὶ μὲν τῦ προτέρυ τὸν καθό-
„ λυ νῦν αἰτιᾶται, ἐπὶ δὲ τῦ β'. τὴν καθόλυ φύσιν. Ἀλ-
„ λ' εἰ καὶ ταῦτα συγχωρήσομεν, ὐκ ἂν εἴποιτις ὔτε τὸν
„ καθόλυ νῦν ἐνεργείᾳ πείσιν, ὔτε τὴν καθόλυ φύσιν
„ ἐνεργείᾳ ὁρατικήν. Ἀλλ' ὁ μὲν Φιλόπονος ταῦτα, τῶν τις
δὲ καθ' ἡμᾶς (1) ἐν ὐ πάνυ πολλῷ λόγῳ τὰ τοιαῦτα τι-
θεὶναι δοκῶν, ὡς τῆς ἀπὸ τοῦ περιπάτυ τερθρείας αὐτῷ
ἀπόζοντα, πάντα τὸν Πρόκλειον ἐκεῖνον λόγον, (ὃν κράτι-
στον εἶναι κρίνει, ἁπάντων ὅσυς ποτὲ οἱ τῆς ἀϊδιότητος τῦ
κόσμυ προςᾶται, προεχειρίσαντο,) εἰς τῦτο τείνειν φησί,
„ πότερον εἰσὶν αἴτια ἐν τοῖς ὖσιν αὐτοδιορίςως ἐπὶ τὸ
„ ἐνεργεῖν ἥκοντα; Εἰ δὲ καὶ εἰσὶ, πότερον λόγῳ ταῦτα τι-
„ νὶ διορίζεται, ἢ ἀλόγως; ἐπεὶ δ' ἀλόγως ὑπολαμβάνειν
„ ὐχ οἷόν τε, δυνατὸν τὴν ἐνέργειαν αὐτῶν ἐν χρόνῳ ἐκ-
„ βαίνειν, τῦ διορίζοντος αὐτὰ λόγυ ἀπ' αἰῶνος ὄντος; Τῦτο
τῦ ζητήματος, φησί, τὸ Κεφάλαιον. Τῶν δημιυργικῶν λόγων
„ προαιωνίων ὁμολογυμένων πῶς ὁ Κόσμος χρονικῆς ὑπο-
„ στάσεως ἔτυχεν. Ἀλλὰ τηλικῦτον ἔμοιγε τὸ ἀπόρημα τό-
δε, ἥκιςα δοκεῖ, ὡς τὰ πρῶτα φέρειν, τῶν ὑπὲρ τῆς τῦ
κόσμυ ἀϊδιότητος ἐπιχειρημάτων, οἷον ὁ Νεώτερος ὑπείλη-
φεν. Οἱ γὰρ Δημιυργικοὶ λόγοι, ὡς εἰκὸς, τὸν καὶ νῦν ἐ-
νεργῦντα Θεὸν ἔχειν τε, καὶ προέχειν τῶν δημιυργημάτων, ὐχ
ἁπλῶς, ὐδ' ὗτως εἰπεῖν ἀπεριςάτως τὰ κατ' αὐτὺς γινόμε-
να παριςῶσιν, ἀλλ' ἅττα τὴν φύσιν, καὶ τὸν ἀριθμὸν ὅ-
σα, καὶ τὺς τρόπυς οἷα, καὶ ἐν χρόνῳ καθ' ὄν, καὶ πάντα,
συνελόντι φάναι, τὰ αὐτοῖς ἤτι ὐσία προσόντα, ἢ καὶ ἄλ-
λως συμβαίνοντα, ἐπὶ λεπτῦ ἐξικνύμενοι, τοιαῦτα καὶ ὑφι-
ςῶσιν. Καὶ θαυμαςὸν ὐδὲν εἰ, οἱ μὲν πρὸ τῦ χρόνυ καὶ
ἀπ' αἰῶνος, τὰ δὲ ὑπὸ χρόνον· τὐναντίον δὲ θαυμαςὸν ἂν
εἴη καὶ ὐδὲ εὔλογον εἰ ἐν τοῖς δημιυργικοῖς λόγοις χρονικὰ
τὸ εἶναι διαγραφόμενα, ὐχ ὡμολόγει ταῦτα τοῖς ἀγαθοῖς
τῦ Θεῦ βυλήμασιν, ἀλλ' ἔξω τῶν ὅρων ἔβαινε τῶν ἐν ἐκεί-
νοις, ἤτοι ἄγνοιαν ἐλέγχοντα αὐτῦ, ὡς παρ' ὃ ἔμελλεν εἶ-
ναι

(1) Γενυΐνσ. Μεταφ. Μέρ. γ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ναι ἰδεωμένου, ἢ ἀσθένειαν κατηγοροῦντα, ὡς οἵα ἦν ἰδιώμενος ὑποστῆσαι μὴ δυνηθέντος. Τὸ δὲ τοὺς αἰωνίως προϋφεστῶτας ἐν τῷ δημιουργῷ λόγους, τῶν κατ᾽ ἐκείνους δημιουργημάτων κατάγε τὴν διαμονὴν τῷ παντὶ διαφέρειν, καὶ ἐκ τῆς ἐναργείας τοῦ λόγου ἀναγκαῖον ἂν δόξειε παντὶ τῷ προσέχοντι. Ἃς γὰρ περὶ τοῦ Θεοῦ ἐννοίας οἱ πάντες ἄνθρωποι φερόμεθα, αἰώνιον ὁμολογεῖν ἀναγκάζουσιν αὐτόν τε, καὶ τὰ ἐν αὐτῷ· ἃς δὲ περὶ τῆς ῥεπτῆς φύσεως, ἐπικαιρά τε τὰ ἐκτὸς ἐκείνου πάντα, καὶ ἐπίκηρα. Εἰ γοῦν τεθείη τοῖς δημιουργικοῖς λόγοις, καὶ ἀρχιτεκτονικοῖς ἐκείνοις, ( κατὰ τὸν Νεώτερον εἰπεῖν ) τὰ δημιουργήματα συνδιαμένοντα, δυοῖν θάτερον ἐπάναγκες ἦν, ἢ τούτοις τῷ χρόνῳ κἀκεῖνα συνυποτάττεσθαι, ὅπερ ἀναιρετικὸν ἐστὶ τῆς ἀκηράτου τε καὶ ἀναλλοιώτου φύσεως, ἢ ἐκείνοις καὶ ταῦτα χρόνου παντὸς ὑπεράλλεσθαι, ὅπερ ἀλλότριον τῆς κηραίνεσθαι πεφυκείας. Ἑκατέρου δὲ τῶν ἀδυνάτων καὶ τῷ φυσικῷ λόγῳ παρίσταται. Ἐπάναγκες ἄρα ἦν τοῦ ἀρχιτεκτονήσαντος λόγου ἀπ᾽ αἰῶνος προσόντος, καὶ ἀεὶ ὄντος, τὸν ἀρχιτεκτονηθέντα κόσμον ἐν χρόνῳ ὑποστῆναι.

„ (1) ιϛʹ. Πᾶν τὸ ἐξ ἀκινήτου γινόμενον αἰτίου κατὰ τὴν
„ ὕπαρξιν, ἀκίνητον ( ἴσ. ἀΐδιον ) ἐστίν. Εἰ γὰρ τὸ ποιοῦν
„ ἀκίνητον, ἀμετάβλητον ἐστίν. Εἰ δὲ ἀμετάβλητον, αὐτῷ
„ τῷ εἶναι ποιεῖ, μὴ μεταβαῖνον ἐκ τοῦ ποιεῖν, εἰς τὸ μὴ
„ ποιεῖν, μηδὲ ἐκ τοῦ μὴ ποιεῖν εἰς τὸ ποιεῖν· μεταβαῖνον
„ γὰρ ἕξει μεταβολήν, αὐτὴν τὴν ἐκ θατέρου μετάβασιν
„ εἰς θάτερον.... εἰ τοίνυν τὸ αἴτιον τοῦ παντὸς ἀκίνητον
„ ἐστίν, ἵνα μὴ κινούμενον ἀτελὲς ᾖ πρότερον, ὕστερον δὲ τέ-
„ λειον, πᾶσα γὰρ κίνησις ἐνέργεια ἐστὶν ἀτελής. Καὶ ἵ-
„ να μὴ κινούμενον, χρόνου δέηται χρόνον παράγον, ἀνάγκη
„ τὸ πᾶν ἀΐδιον εἶναι ἀπὸ αἰτίου ἀκινήτου γιγνόμενον. Ὥστε
„ εἴτις εὐσεβεῖν οἰόμενος εἰς τὸν αἴτιον τοῦ παντὸς, ἐκεῖνον
„ λέγοι μόνον ἀΐδιον, τὸν δὲ κόσμον οὐκ ἀΐδιον, οὐκ ἀΐδιον
„ οὐδὲ ἐκεῖνον ἀποφαίνει κινούμενον λέγων, οὐδὲ ἀεὶ τέλειον,
„ ἀλλὰ ποτὲ, καὶ ἀτελῆ... καὶ οὕτως ἀσεβεῖ διαφερόντως.

„ Τὸ

(1) Πρόκλ. Λόγ. δʹ. Περὶ Ἀϊδιότ. Κόσμ.

„ Τὸ ποιοῦν (1) ἐκ τοῦ δευτέρου δυνάμει, εἰς τὴν β΄. ἐ-
„ νέργειαν πρόεισιν... Ἡ γὰρ ἐκ τῆς προτέρας δυνάμεως
„ εἰς τὴν ἕξιν μετάβασις οὐ ποίησις ἐστὶ, πεῖσις δέ... ὥ-
„ στε εἰ τὸ πρότερον μὲν μὴ ποιοῦν, ὕστερον δὲ ποιοῦν, ἐκ
„ τοῦ δευτέρου δυνάμει εἰς τὴν δευτέραν ἐνέργειαν πρόεισιν,
„ τὴν δὲ τοιαύτην ἐκ τῆς ἕξεως πρόοδον κίνησιν φησὶν ὁ
„ Πρόκλος, σαφῶς ἄρα τὴν ἐκ τῆς ἕξεως εἰς τὴν ἐνέρ-
„ γειαν πρόοδον, κίνησιν εἶναι, καὶ μεταβολὴν ἀποφαίνεται.
„ Εἰ δὲ τὸ ἐκ τῆς ἕξεως τὴν ἐνέργειαν προχειριζόμενον κινεῖ-
„ ται, ἀνάγκη πᾶσα, ἤτοι τὴν πρὸ τοῦ ποιεῖν τε καὶ ἐνερ-
„ γεῖν διάθεσιν κίνησιν εἶναι, ἢ αὐτὴν τὴν ποίησιν καὶ
„ ἐνέργειαν, ἢ ἄλλην τινὰ διάθεσιν μεταξὺ τοῦ ποιεῖν τε,
„ καὶ μὴ ποιεῖν θεωρουμένην. Ἀλλ᾽ οὔτε τὴν πρὸ τοῦ ποιεῖν
„ διάθεσιν τοῦ ποιητικοῦ, δυνατὸν ἐστὶ κίνησιν λέγειν. Ἀ-
„ κινησίαν γὰρ εἶναι τὸ μὴ ποιεῖν, καὶ τῷ Πρόκλῳ δο-
„ κεῖ, λέγοντι, εἴτι ἀκίνητον ἢ οὐδέποτε ποιήσει, κτ.
„ ὡς τοῦ μὴ ποιεῖν δηλονότι ἀκινησίας οὔσης.... Οὐδὲ με-
„ ταξὺ τοῦ ποιεῖν καὶ μὴ ποιεῖν, δυνατὸν ἐστὶ κίνησίν τι-
„ να ἐννοεῖν. Ἄχρονος γὰρ ἡ ἐκ τῆς ἕξεως γίνεται τῆς
„ ἐνεργείας προχείρησις. ( πᾶσα δὲ κίνησις ἐν χρόνῳ )
„ Εἰ γάρ τις ἦν χρόνος μεταξὺ τοῦ μὴ ποιεῖν τε καὶ ποιεῖν,
„ ἐν τούτῳ οὔτε οὐ ποιήσει, πέπαυται γὰρ τοῦ μὴ ποιεῖν,
„ οὔτε ποιήσει· οὔπω γὰρ ποιεῖν ἤρξατο.... λείπεται τοί-
„ νυν αὐτὴν τὴν ποίησιν εἶναι κίνησιν. Εἰ δὲ τοῦτο, ἀεὶ
„ δὲ ποιεῖ κατ᾽ αὐτοὺς ὁ Θεὸς, ἀεὶ ἄρα καὶ κινεῖται. Εἴτι
„ γὰρ ἀκίνητον ἐστὶ φησὶν, ἢ οὐδέποτε ποιήσει, ἢ ἀεὶ ποιή-
„ σει... Καὶ ἀεὶ ἄρα κατ᾽ αὐτοὺς κινοῦν (ἴσ. κινούμενον) τὸ
„ θεῖον, ἀτελές τε ἐστὶν ( ὡς ὁ ἐκείνων λόγος) καὶ χρόνου δεό-
„ μενον. Εἰς αὐτοὺς ἄρα τὸ σοφὸν αὐτῶν περιῆλθε, τοιοῦτο
„ γὰρ τὸ ψεῦδος ὑφ᾽ ἑαυτοῦ φωρᾶται, καὶ περὶ αὐτὸ καταρ-
„ ρεῖ. Εἰ τοίνυν μήτε πρὸ τοῦ ποιεῖν, μήτε μεταξὺ τοῦ μὴ
„ ποιεῖν τε καὶ ποιεῖν κίνησίς τις θεωρεῖται, μήτε αὐτὴ ἡ
„ ποίησις τοῦ Θεοῦ κίνησις ἐστὶν, οὐδαμῆ ἄρα οὐδαμῶς ἐνδέ-

„ χε-

(1) Φιλόπον. πρὸς ταῦτα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

,, χεται κινεῖσθαι τὸν Θεὸν, ἐκ τῆς τοῦ ποιεῖν ἕξεως, τὴν
,, κατ' αὐτὴν ἐνέργειαν προχειριζόμενον.... Ὅτι δὲ οὐ θέ-
,, μις τὴν ποίησιν τοῦ Θεοῦ καὶ ὅλως τὴν ἐνέργειαν κίνησιν
,, ὑποτίθεσθαι, αὐτῷ μόνῳ τῷ θέλειν πάντα παράγουσαν,
,, καὶ χρόνου, ἢ διαστάσεως τινὸς εἰς οὐσίωσιν τῶν πραγμάτων
,, μὴ δεομένην, παντὶ δῆλον οἶμαι. Οὐδὲ γὰρ πᾶσα ἐνέρ-
,, γεια εὐθὺς καὶ κίνησις ἐστίν. Ἐπὶ πλέον γὰρ ἡ ἐνέργεια
,, τῆς κινήσεως ὡς Ἀριστοτέλει δοκεῖ. Τὴν μὲν ἀτελῆ ἐνέρ-
,, γειαν κίνησιν καλοῦντι, τὴν ἀπὸ τοῦ α. δυνάμει ἐπὶ τὴν
,, ἕξιν οὖσαν μεταβολὴν, τὴν δὲ τελείαν ἐνέργειαν ὀνομά-
,, ζοντι, τὴν ἀθρόαν ἀπὸ τῆς ἕξεως προβολήν.... ὅθεν
,, οὐδὲ ἡ τοῦ νοῦ ἐνέργεια κίνησις ἐστίν. ἀθρόως γὰρ καὶ ἄνευ
,, τινὸς διαστάσεως τοῦ νοητοῦ θιγγάνει... ὅπου γε καὶ ἐπὶ τῶν
,, χρόνου δεομένων ἐνεργειῶν, ἡ ἀλλοίωσις, καὶ ἡ κίνησις πε-
,, ρὶ τὸ πάσχον, οὐ περὶ τὸ ἐνεργοῦν γίνεται. (1) Οὐ χρὴ
δὲ ππεῖσθαι ἐπὶ Θεοῦ πρότερον μὲν μὴ ποιοῦντος, ὕστερον
δὲ ποιοῦντος, ἀλλοίωσίν τινα ἐπισυμβαίνουσαν ὅλως, ἢ μετα-
βολήν. ,, Ὁ γὰρ Θεὸς ἀεὶ τέλειος ὢν ἁπάντων δημιουργὸς
,, τῷ ἀεὶ τοὺς λόγους τῶν δημιουργημάτων ὡσαύτως ἔχειν, καὶ
,, μόνῳ τῷ θέλειν πάντα ποιεῖν, μηδενὸς ὀργάνου εἰς οὐ-
,, σίωσιν τῶν πραγμάτων δεόμενος, οὐδὲν ἀλλοιότερος αὐτὸς
,, ἑαυτοῦ ποιῶν τε, καὶ μὴ ποιῶν γενήσεται... ὅλως γὰρ οὐ-
,, δὲ διαφέρειν ἐπὶ Θεοῦ ἕξιν τε καὶ ἐνέργειαν λέγειν θεμιτόν.
,, Ἔστι γὰρ ταυτὸν ἄμφω· περὶ δὲ τὸ μετέχον ἡ διαφορὰ
,, γίνεται... οὐκ ἐπειδὴ δὲ τῇ νοήσει μόνῃ πάντα ὑφίστη-
,, σι, τὰς δὲ νοήσεις, καὶ τοὺς τῶν ὄντων λόγους πάντων ἀεὶ
,, κατὰ τὰ αὐτὰ, καὶ ὡσαύτως ἔχει, ἤδη διὰ τοῦτο συνυπάρ-
,, χειν ἐξ ἀϊδίου ταῖς νοήσεσι τοῦ Θεοῦ, τὰ πράγματα ἀ-
,, νάγκη.... οὐ γὰρ ἀβουλήτῳ φύσεως ἀνάγκῃ ἑκὼν καὶ ἄκων
,, εἰς τὸ εἶναι παράγει τὰ δημιουργούμενα· ὑπέρτερον γὰρ
,, ἀνάγκης ἁπάσης τὸ πάντων αἴτιον.... εἰδέναι γὰρ καὶ
,, τὰ μέλλοντα, καὶ τὰ μήπω ὄντα τὸν Θεὸν ὡμολόγηται...
,, ὥστε ἀεὶ μὲν τὸ ἐνεργὲς καὶ παντέλειον, οἱ ἐν τῷ Θεῷ
,, δη-

(1) Ἀριστ. Β. Περὶ ψυχ. ὑφ. νζ'. νη'.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ δημιουργικοὶ τῶν ὄντων ἔχουσι λόγοι, παράγει μὲν τοι καὶ
„ οὐσιοῖ ἕκαστον ὁ Θεὸς ὅταν θέλῃ· ἐθέλει δὲ, ὅταν ἀγα-
„ θὸν ᾖ τοῖς γινομένοις τὸ γίνεσθαι· ἀγαθὸν δὲ πάντως τὸ
„ κατὰ φύσιν. Κατὰ φύσιν δὲ τοῖς γινομένοις, τὸ μὴ συναΐ-
„ δίοις εἶναι τῷ παράγοντι. Εἰ μὴ καὶ τὸ ποτὲ μὲν ἐθέ-
„ λειν, ποτὲ δὲ μὴ θέλειν, ἀλλοίωσιν εἶναι φήσουσιν. Εἰ
„ δὲ τοῦτο ἀλλοίωσις, λήσουσιν ἑαυτοὺς ἀεὶ ἐν τῷ ἀλλοιοῦσθαι
„ τὸν Θεὸν ὑποτιθέμενοι. Καὶ γὰρ καὶ τῶν μερικῶν ἕκαστον,
„ οἷον Σωκράτην ποτὲ μὲν ὁ Θεὸς βούλεται εἶναι, ποτὲ δὲ
„ οὐ βούλεται. Ἀλλὰ γὰρ ἡ ἀλλοίωσις τῶν βουλητῶν ἐστίν· ἡ
„ δὲ τοῦ δημιουργοῦ θέλησις ἀεὶ καὶ ὡσαύτως ἔχουσα ἡ αὐτὴ,
„ ὡς ἡ ἑκάστου ἐπιδέχεται φύσις ἅπαντα ἀγαθύνουσα.

„ Εἰ δὲ φαίης ὅτι εἰ μὴ ἦν ἀεὶ ὁ Κόσμος, πρὶν γενέ-
„ σθαι δυνάμει ἦν δημιουργὸς ὁ Θεὸς, καὶ διὰ τοῦτο ἀτελής·
„ πῶς ἔσται δυνάμει, τὸ μηδεμίαν ἀλλοίωσιν ὑπομένον,
„ εἴτε δημιουργοῦν, εἴτε μή; ἢ σύγε καὶ τὸν ἥλιον (εἴτις ὑ-
„ ποθοῖτο τὸ μηδὲν εἶναι, τῶν τῆς φωτοειδοῦς αὐτοῦ δυνά-
„ μεως μετεχόντων) ἀτελῆ εἴποις; Ἀλλ᾽ οὐκ οἶμαι· οὐ γὰρ
„ ἐν τῇ πρὸς τὰ ἔξω σχέσει αἱ συμπληρωτικαὶ τῶν οὐσιῶν
„ δυνάμεις, τὸ εἶναι ἔχουσι. Λήσομεν γὰρ οὕτω τὸν Ἀνα-
„ ξαγόρου λόγον εἰσάγοντες, ὅς οὐδενὸς εἶναι φύσιν ὡρισ-
„ μένην ἔλεγεν, ἀλλὰ πάντα ἐν σχέσει τῇ πρὸς ἄλληλα τὸ
„ εἶναι ἔχειν. Ἐλήλεγκται δὲ κατὰ τὸ καρτερὸν ὑπότε Πλά-
„ τωνος καὶ Ἀριστοτέλους ἡ τοιαύτη δόξα.... Εἰ δὲ ἐπὶ σω-
„ μάτων ταῦτα πῶς οὐ τῷ ὄντι βλάσφημος καὶ διαφερόντως
„ ἀσεβὴς, ὁ μηδὲ τοσοῦτον ὑπάρχειν τῇ δημιουργικῇ τῶν ὄν-
„ των συγχωρῶν αἰτίᾳ; μηδὲ ἀσχέτως αὐτῆς τὰς οὐσιώδεις
„ δυνάμεις εἶναι βουλόμενος;

„ Πότερον γὰρ αὔταρκες τὸ θεῖον, καὶ αὐτὸ τῆς ἑαυτοῦ δυ-
„ νάμεώςτε καὶ οὐσίας συμπληρωτικόν ἐστίν; ἢ οὔ; εἰ μὲν οὐκ
„ αὔταρκες, εἰς κεφαλὰς αὐτῶν ἡ βλασφημία... Εἰ γὰρ
„ ἑτέρωθεν ποθὲν αὐτῷ τὰ τῆς τελειότητος ἐπιχορηγεῖται,
„ τουτέστιν ὑπὸ τῶν κτισμάτων, τελειωτικὰ ἄρα ἔσονται αὐ-
„ τοῦ τοῦ ποιήσαντος τὰ ποιήματα. Ἐπεὶ δὲ αὐτὸς ἀτελὴς
„ εἰμὴ ἀεὶ συνυπάρχει αὐτῷ τὰ ὑπ᾽ αὐτοῦ παρηγμένα, μέ-
„ ρος ἄρα τῆς θείας οὐσίας τὰ ὄντα· τὰ γὰρ τῶν οὐσιῶν
„ συμπληρωτικὰ μέρη τῶν οὐσιῶν.. καὶ σῶμα ἄρα ὁ Θεὸς,

„ καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ καὶ ὅσα τοῖς σώμασι πρόσεςι πήσεται. Καὶ ἄλλως· εἰ „ ἐκ ἂν ὑπάρξοι Θεῷ ἡ τελειότης, μὴ ἐξ αἰδίε τῶν ὄντων „ αὐτῷ συνυπαρχόντων, πλέον ἢ δίδωσιν αὐτοῖς, παρ' αὐ- „ τῶν ἀντιλήψεται· διδὲς γὰρ αὐτοῖς τὸ εἶναι, ἀντιλαμβά- „ νει παρ' αὐτῶν τὸ τέλειος εἶναι· ὥςε δημιεργήσει, ὅπως „ αὐτὸς ἀλύπως τε καὶ ἀνενδεῶς διάγοιτο .... Εἰ δ' ἐποίει „ μηδαμῶς μὲν τὰ ὄντα συντελεῖν εἰς τελειότητα τε Θεοῦ, „ τὴν δὲ ἐνέργειαν τὴν τέτων δημιεργικὴν· ἐπεὶ μὴ ὄντων „ τῶν γεγονότων ἀτελὴς ἡ ἐνέργεια, ἀτελὲς δὲ ἔσης τῆς ἐ- „ νεργείας ἐ τέλειος ὁ Θεὸς, τὸ ἄρα τέλειον αὐτῷ καὶ ἔπω „ ἐκ τῶν δημιουργημάτων ἐφήκει, διὰ μέσης τῆς ἐνεργείας. „ Ἀλλ' ἐχ ἔτως· ἐ γὰρ αἱ ἐν σχέσει τῇ πρὸς τὰ ἔξωθεν „ ἐνέργειαι τελειωτικαὶ τῶν ἐνεργέντων εἰσὶν, ὡς καὶ Ἀρι- „ ςοτέλης φησί· καὶ ἐδὲ τὸ δημιεργεῖν ἄρα συμπληρωτικὸν „ ἔςαι τῆς τε δημιεργε ἐσίας. Καὶ ἐδὲ πρὶν γενέσθαι τὸν „ Κόσμον ἀτελὴς ὁ Θεός.

Ἔτι ἁπάντων αἴτιος ὁ Θεὸς ἀπὸ τῶν πρώτων μέχρι τῶν ἐχάτων· τοιετο γὰρ τὸ πρῶτον κινεν καὶ Ἀριςοτέλει πεφιλοσόφηται (1), καὶ τῷ Πλάτωνι (2), καὶ τῷ Πρόκλῳ (3), τὴν δημιεργικὴν καὶ προνοητικὴν τε Θεε δύναμιν ἄχρι καὶ τῶν λεπτοτάτων διήκειν ἀποφαινομένοις. „ Τῶν δὲ δὴ ἀτό- „ μων, ὧν τὰ μὲν ἔφθαρται, τὰ δὲ ὑφέςηκε, τὰ δὲ μέλ- „ λει, εἰ ἀεὶ ἐςὶν ἐνεργείᾳ δημιεργὸς ὁ Θεὸς, πῶς ἐ πά- „ ρεςι τὰ μέλλοντα; εἰ δὲ τέτων δυνάμει, καὶ ἀεὶ τινῶν „ πάντως δυνάμει, πῶς οὐκ ἀτελὴς ἀεὶ ὁ Θεὸς αὐτοῖς; „ Ἀλλὰ γὰρ κατὰ τὸν Φιλόσοφον Πλωτῖνον τὸ ὕςερον ἐ- „ σόμενον ἤδη πάρεςι τῷ Θεῷ, καὶ ἀεὶ πάρεςι. Καὶ ἔπω „ πάρεςιν ὡς προνενοημένον εἰς τὸ ὕςερον. Καὶ διὰ τετο ἑ- „ κάςῃ τε Θεε ἐνέργεια τελεία ἐςὶν, ὡς τῇ προγνώσει εἰ- „ ληφεῖα τὰ ὕςερον ἔσεσθαι μέλλοντα, ὡς μηδὲν ἐλλείπειν, „ μηδὲ δεῖσθαι μηδενὸς τότε τὴν τε Θεε ἐνέργειαν, ὁπόταν „ τὸ πρὶν μέλλον, ὕςερον ἤδη παράγει. Τέτων ἐν ἔτω καὶ

„ παρ'

(1) Φυσ. Η. (2) Ἐν Τιμαίῳ.
(3) Ἐν τοῖς περὶ τῶν δέκα πρὸς τὴν Πρόν. ἀπορημ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

παρ᾽ αὐτοῖς κατὰ τὰς κοινὰς περὶ Θεοῦ ἐννοίας ὡμολογημένων, πῶς οὐ λίαν εἰσὶν ἀναιδεῖς, καὶ παρὰ τὰ σφίσι καλὰ δόξαντα φάσκοντες, ὡς εἰ μὴ ἀΐδιος εἴη ὁ Κόσμος, πρὶν γενέσθαι αὐτὸν, ἀτελὴς ἔσται ὁ τούτου δημιουργός; καὶ ὁπηνίκα δημιουργοίη χρόνου τε δεήσεται, καὶ ἀλλοιώσεως οὐκ ἄμοιρος ἔσται. Αὐτὸς οὖν ἑαυτοῦ κατὰ πάντα πλήρωμα ὢν ὁ Θεὸς, οὐδὲν τῆς πρὸς τὰ ἔξω σχέσεως προσλήψεται εἰς τελείωσιν.

(1) „ ΙΖ'. Εἰ ἅμα οὐρανῷ χρόνος ἐστὶ, χρόνος δὲ οὐκ ἦν ὅτε οὐκ ἦν, οὐδ᾽ ἔσται ὅτε οὐκ ἔσται. (εἰ γὰρ ἦν ὅτε οὐκ ἦν χρόνος, ὡς ἔοικεν ὅτε οὐκ ἦν χρόνος, ἦν χρόνος)...... Ἀεὶ ἄρα ἐστὶ χρόνος. Ἅμα δὲ ὁ οὐρανὸς χρόνῳ, καὶ οὐρανῷ χρόνος· μέτρον γὰρ ἐστὶ τῆς τοῦ οὐρανοῦ κινήσεως, ὡς ὁ αἰὼν τῆς τοῦ αὐτοζώου ζωῆς. Ὃ καὶ αὐτὸ δείκνυσιν ἀεὶ τὸν χρόνον ὄντα, ἵνα μὴ ὁ αἰὼν ᾖ μηδενὸς ᾖ παράδειγμα, χρόνου μὴ ὄντος, αἰὼν ὑπάρχων, ἢ μηδὲ αὐτὸς ἔχῃ τὸ ἀεὶ μένειν ὅ ἐστίν.... Καὶ ὁ οὐρανὸς ἄρα ἐστὶν ὡς ὁ χρόνος, ὁμόγονος ὢν τῷ χρόνῳ.

(2) „ Ὥσπερ ἐπὶ τοῦ μερικοῦ χρόνου, οἷον τῆς αὔριον ποτὲ ἐσομένης, καὶ οὐκ ἀεὶ, οὐ χρόνον σημαίνει τὸ ποτέ· (εἴη γὰρ ἂν καὶ τοῦ χρόνου χρόνος.) οὕτως οὐδ᾽ ἐπὶ τοῦ ὅλου χρόνου ποτὲ εἶναι, ἢ μὴ εἶναι λεγομένου, καὶ μὴ ἀεὶ, χρόνον σημαίνει τὸ ποτέ. Ἀλλὰ καθ᾽ ἑκάτερον οὐδὲν ἕτερον σημαίνεται, ἢ τὸ μὴ ἀεὶ εἶναι τὸν χρόνον οὗ κατηγορεῖται τὸ ποτέ. Οὐ γὰρ πάντως ἅμα τῷ χρήσασθαι χρονικῷ τινὶ προσρήματι, εὐθὺς καὶ χρόνος συνεπινοεῖται. Εἰ γάρ τις οὕτως εἴποι ὅτε τὸ κινούμενον παύσεται τοῦ κινεῖσθαι, τότε καὶ τοῦ ἠρεμεῖν ἄρξεται, ἆρ᾽ εὐθὺς διὰ τοῦ τότε χρόνον ἐδήλωσεν; ἀλλ᾽ ἀδύνατον. Οὐδὲ γὰρ τὸ τῆς κινήσεως τέλος, οὐδ᾽ ἡ ἀρχὴ τοῦ ἠρεμίας ἐν χρόνῳ ἐστίν· ἐν γὰρ τῷ χρόνῳ ἢ ἠρεμεῖν ἀνάγκη, ἢ κινεῖσθαι τὸ πεφυκός... Τί οὖν κωλύει καὶ ἐπὶ τοῦ προκειμένου εἴπερ λέγοιτο, ὡς ἔσται „ πο-

---

(1) Πρόκλ. Λόγ. Ε'. Περὶ Ἀϊδιότ.
(2) Φιλόπ. πρὸς ταῦτα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ ποτὲ ὅτε ἐκ ἔσαι χρόνος, τὸ ποτὲ μὴ χρόνον νοεῖν, ἀλλὰ
„ τῦ χρόνε πέρας, καθ᾽ ὃ τῦ εἶναι παύσεται ὁ χρόνος; Καὶ
„ εἰ λέγοιτο ποτὲ γεγονέναι ὁ χρόνος, οὐκ ἐξ ἀϊδίε εἶναι
„ τότε πάλιν νοεῖν, τὴν τῦ χρόνε ἀρχὴν, καὶ τὸ πρῶτον
„ ἤτοι τὸ νῦν, καθ᾽ ὃ τῦ εἶναι ἤρξατο; Παραπλησίως καὶ τὸ
„ ἦν καὶ ἔσαι, ἐφ᾽ ὅ,τε ἂν λεχθῇ ὑπάρξεως μὲν, ἐμὴν δὲ
„ καὶ χρόνε δηλωτικὰ γίνεται.... Ἄλλως τῦ Πλάτωνος πε-
„ ρὶ τῦ Θεῦ εἰρηκότος, ὡς ἀγαθὸς ἦν, ἀγαθῷ δὲ ὐδεὶς
„ περὶ ὐδενὸς ὐδέποτε ἐγγίνεται φθόνος, τὸν Θεὸν δήπε
„ καὶ τὸν σοφὸν Πρόκλον ἐν χρόνῳ εἴποιμεν, καὶ χρόνῳ πα-
„ ρεληλυθότι. (Ὅρα καὶ τὰ ἐν Ἀριθ. Γ'.)

Πρὸς δὲ τὸ δεῖν ἀεὶ εἶναι τὸν χρόνον, καὶ τὸν αἰῶνα, τὸν τῦ χρόνε ὄντα παράδειγμα, (ὅρα τὰ ἐν Ἀριθ. ΙΔ'.) ὥσπερ γὰρ τὸ αὐτοζῶον παράδειγμα ἐν τῷ Κόσμε, ὐκ ἐν τέτῳ τὸ εἶναι ἔχει, τῷ παράδειγμα εἶναι τῦ Κόσμε, ὕτως ὐδ᾽ ὁ τῆς τῦ αὐτοζώε ζωῆς αἰὼν, ἐν τέτῳ ἕξει τὸ εἶναι, ἐν τῷ εἶναι τῦ χρόνε παράδειγμα.

(1) ΙΗ'. Εἰ ὁ δημιεργὸς μόνος ἂν λύσοι τὸν Κόσμον,
„ (καὶ γὰρ πανταχῦ τῦ τὸν δεσμὸν εἰδότος ἐστὶν εἰδέναι καὶ
„ τὴν λύσιν ὗ συνέδησεν.) ὁ δὲ δημιεργὸς ὐκ ἂν λύσοι
„ τὸν Κόσμον... ἀδύνατον λυθῆναι τὸν Κόσμον.... Ἤτοι
„ γὰρ ὐ καλῶς ἥρμοσε, καὶ ὐκ ἔστιν ἄριστος δημιεργός· ἢ
„ καλῶς ἥρμοσε, καὶ ὐ λύσει μὴ κακωθείς· (τὸ γὰρ κα-
„ λῶς ἁρμοσθὲν καὶ ἔχον εὖ, λύειν ἐθέλειν κακῦ.) Ἀδύ-
„ νατον δέ· ὥστε ἄλυτον τὸ πᾶν· ὥστε ἄφθαρτον· ὥστε ἀ-
„ γένητον· ὥστε ἀΐδιον.

(2) Ἀλλὰ τὰ ἡμέτερα σώματα, καὶ πάντων τῶν ζώων τε,
„ καὶ φυτῶν, καλῶς ἥρμοσαι. Ταῦτα δὲ, ἤτοι βύλεται ὁ
„ δημιεργὸς λύεσθαι, ἢ ὔ. Ἀλλ᾽ εἰ μὴ, ἔμεινεν ἂν ἀδιάλυ-
„ τα· ἐπεὶ δὲ φθαρτὰ, βύλεται ἄρα τὰ καλῶς ἁρμοσθέντα
„ πάλιν λύεσθαι· ὐκῦν, ὡς τοῖς σοφοῖς δοκεῖ, ἢ ὐ καλῶς
„ ἥρμοσαι, ὅπερ ἄτοπον, ἢ ὐ καλῶς λύεται. Καὶ ἀναδρα-
„ μεῖ-

(1) Πρόκλ. Περὶ Ἀϊδιότ. Κόσμ. Λόγ. ς'.
(2) Φιλόπ. πρὸς τὸ ς'.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ μεῖται ἑκατέρωθεν ἡ κακία ἐπ' αὐτὸ τὸ αὐτάγαθον· οὐ-
„ δὲν δὲ ἧττον, ἡ αὐτὴ ἀπορία δεικνύοιτ' ἂν, καὶ εἰ μὴ ἐ-
„ πὶ τοῦ πρώτου δημιουργοῦ (κατὰ τοὺς Πλατωνικοὺς) ἀλλ' ἐπὶ
„ τῶν κατ' οὐρανὸν Θεῶν, (ἢ γοῦν ἐπὶ τῶν φυσικῶν αἰτίων)
„ γυμνάζοι τις τὸν λόγον. Ἀνάγκη γὰρ πᾶσα κἀκείνους, τὴν
„ γένεσιν καὶ τὴν φθορὰν ἐργαζομένους, ἢ μὴ καλῶς ἁρμό-
„ ζειν, ἢ κακύνεσθαι τὰ καλῶς ἁρμοσθέντα λύοντας· οὐ γὰρ
„ τὸ ὑφειμένως καλὸν, κακόν ἐστιν, οὕτω γὰρ ἂν οὐδὲ ὁ Κό-
„ σμος ὁ αἰσθητὸς καλὸς ἂν εἴη τοῦ νοητοῦ κατὰ πολὺ ὑφειμέ-
„ νος. Ὅτι δὲ εἰ καὶ διὰ μέσων αἰτίων, τῶν οὐρανίων τυ-
„ χὸν, ἢ ἑτέρων τινῶν, ἡ τῶν θνητῶν ζώων γένεσις καὶ φθο-
„ ρὰ γίνεται, ἀλλ' οὖν ὁ πρῶτος δημιουργὸς μᾶλλον ἐστὶν αὐ-
„ τῶν αἴτιος, ἤπερ τὰ προσεχῆ ποιητικὰ αἴτια· αὐτὸς γὰρ
„ ἐστὶν ὁ καὶ τοῖς ἐφεξῆς αἰτίοις τὴν δύναμιν τοῦ εἶναι αἴ-
„ τια παρασχών.... Ὡς οὖν καὶ καλῶς ἥρμοσται τὰ μερικὰ
„ πάντα, καὶ ἐθέλει ταῦτα ὁ Θεὸς λύεσθαι, καὶ τὸν ἀγαθὸν
„ κακωθῆναι ἀμήχανον, κατὰ τὸν αὐτὸν δήπου λόγον, εἰ καὶ
„ τὸν σύμπαντα Κόσμον, καλῶς ἁρμοσθέντα λύειν ὁ Θεὸς
„ ἐθελήσειεν, οὐχὶ διὰ τοῦτο, καὶ κακύνεσθαι τὸν ἀγαθὸν
„ ἀνάγκη. Δι' ἣν γὰρ ἀγαθότητα τὴν ἀρχὴν τὸ πᾶν συ-
„ νήρμοσε, διὰ τὴν αὐτὴν δήπου καὶ λύσει πάντως αὐτὸ, εἰ
„ βούλοιτο;.... Κἂν ἡμῖν ὁ λόγος ἀγνοῆται τῆς λύσεως·
„ οὐδὲ γὰρ ὢν τὰς αἰτίας ἀγνοοῦμεν (πολλῶν γὰρ, τάχα
„ δὲ πάντων ἡμᾶς οἱ λόγοι διαπεφεύγασι) ταῦτα πάντα
„ οἰητέον, ἢ μάτην, ἢ ἐπὶ κακῷ γίνεσθαι.

„ Ἄλλως ἢ Πλάτωνι δοκεῖ καὶ Πρόκλῳ, μόνος ὁ δημιουρ-
„ γὸς, λύσαι δύναται τὸν Κόσμον, οὐ λύσει δέ. Ἀεὶ ἄρα
„ τὸ δύνασθαι λύειν, ἐν αὐτῷ μόνῳ τῷ δύνασθαι ἕξει, καὶ
„ οὐ κατ' ἐνέργειαν, ὥστε καὶ ἀτελής· εἴγε πᾶν τὸ δυνάμει,
„ ὡς δοκεῖ τοῖς σοφοῖς, ἀτελές. Προσθείην δ' ἂν ὅτι καὶ μά-
„ την ἕξει τοῦ λύειν τὴν δύναμιν· εἴπερ ἔχει μὲν αὐτὴν
„ ὥς φασι τὸν ἄπειρον χρόνον, οὐδέποτε δὲ αὐτὴν εἰς ἐνέρ-
„ γειαν ἄξει. Καίτοι οὐδὲν ἐστὶν ἐν τοῖς ἀϊδίοις (ἢ φησὶν
„ Ἀριστοτέλης (1) μόνως δυνάμει. Ὥστε ἤτοι λύσαι οὐ δύνα-
„ ται,

(1) Μεταφ. Ι. Ὑφ. ιζ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ ται, καὶ ὲδὲ τὸν δεσμὸν οἶδεν, ὲδὲ συνέδησεν, ἡ δυνά-
„ μθμος, μόνως ἔςαι δυνάμει; κὴ κατὰ τῦτο ἀτελὴς ἔςαι, κὴ
„ μάτlω μόνlω ἔχων τῦ λύειν τὴν δύναμιν. Ἡ εἴπερ ταῦ-
„ τα κατὰ τὰς αὐτῶν μεθόδες ἄτοπα, δύναται δὲ λῦσαι τὸν
„ Κόσμον ὁ Θεὸς, κὴ λύσει πάντως.

„ Ἴθι δέγε εἰ βύλει κὴ ἐπὶ τὸν Κολοφῶνα τῆς ἀπιστίας·
„ εἰς ὃν ἡμᾶς, ὁ σεμνὸς ὗτος ἐμβιβάζει λόγος τὸ καλῶς
„ ἁρμοσθὲν λύειν ἐθέλειν κακῦ λέγων· εἰ γὰρ δύναται μὲν
„ τὸν Κόσμον ὁ δημιεργὸς λῦσαι, ὐκ ἂν δὲ λύσῃ μὴ κα-
„ κωθεὶς, κακὸν ἄρα τὸ λῦσαι τὸν Κόσμον. Εἰ δὲ δύνα-
„ μιν ἔχει τῦ λῦσαι τὸν Κόσμον ὁ Θεὸς, ἔχει ἄρα τῦ κα-
„ κώεσθαι δύναμιν ὁ Θεός.

(1) „ ΙΘ'. Εἰ ἡ ψυχὴ τῦ παντὸς ἀγθύνητος ἐςὶ κὴ ἄφθαρ-
„ τος, κὴ ὁ Κόσμος ἀγθύνητος ἐςὶ κὴ ἄφθαρτος. Λόγος γὰρ
„ αὐτῆς, ὡς κὴ πάσης ψυχῆς, τὸ αὐτοκινῦν... ὥςε εἰ ἀΐ-
„ διος αὐτὴ, δεῖ τὸ πᾶν ἀεὶ εἶναι κινέμθμον ὑπ' αὐτῆς· καὶ
„ διὰ τὸ ἀκόλυθον ἀγθύνητον ἔςαι κὴ αὐτὸ κὴ ἄφθαρτον. Ἐκ
„ δὴ τύτυ φανερὸν ὅτι κὴ πᾶσα ψυχὴ σώματι πρῶτον ἐπι-
„ βέβηκεν ἀϊδίῳ, κὴ τῦτ' ἀεὶ κινεῖ. Κἂν φθαρτοῖς ἐνῇ σώ-
„ μασιν, ἐκεῖνα κινεῖ, διὰ τῶν ἀεὶ ὑπ' αὐτῆς κινεμθμων.

„ (2) Α'. Ἐκ Πλατωνικῆς ὑποθέσεως ἀναποδείκτυ τε, κὴ
„ τοῖς ἄλλοις ἀναποδέκτυ τῆς περὶ τῆς τῦ παντὸς ψυχῆς,
„ συνέςηκε τὐπιχείρημα.

„ Β'. Ψδδῶς ἐλήφθη κὴ τὸ ψυχῆς ὐσίαν εἶναι τὸ αὐτοκι-
„ νῦν. Εἴη γὰρ ἂν εἴπερ, τῦ κινεμθμε σώματος ἀχώειςος
„ πάντῃ, κὴ ὐσίᾳ, καὶ ἐνεργείᾳ, νυῦ δὲ κὴ ἐν σώματι ὔ-
„ σης, χωειςὰς εἶναι παντὸς σώματος αὐτῆς τὰς κατὰ νῦν
„ ἐνεργείας, καὶ κατὰ τὸ ἀκόλυθον ἄχετον εἶναι τῦ σώματος
„ κὴ αὐτῆς τlὼ ὐσίαν, κὴ Πλάτωνι, κὴ τοῖς ἀρίςοις ἅπασι
„ τῶν Φιλοσόφων ἔδοξεν. Ἐντεῦθεν γὰρ αὐτῆς καὶ τlὼ ἀ-
„ θανασίαν ὁ Πλωτῖνος συνελογίσατο, δείξας ἐκ τῶν χω-
„ ειςῶν αὐτῆς ἐνεργειῶν, ὡς κὴ τὴν ὐσίαν αὐτῆς εἶναι χω-

„ ει-

---

(1) Πρόκλ. Περὶ Ἀϊδιότ. Κόσμ. Λόγ. ζ'.

(2) Φιλόπ. πρὸς ταῦτα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ εἰσὶν ἐπανάγκες, καὶ διὰ τοῦτο ἀθάνατον. Εἰ δὲ χωριστὴ
„ καὶ ἄσχετος παντὸς σώματος ἡ τῆς ψυχῆς ἐστὶν οὐσία, οὐδ᾽ ἄ-
„ ρα ἐν τούτῳ οὐσίωται ἐν τῷ ἀρχὴν εἶναι κινήσεως... Τῷ
„ ὄντι δὲ ἄτοπον ἂν εἴη, τὸ μὲν σῶμα, ᾗ σῶμα ἐστὶν, ἐν
„ μηδεμιᾷ σχέσει τῇ πρὸς τὴν ψυχὴν τὸ εἶναι ἔχειν, ὥστε
„ καὶ τοῖς ἐμψύχοις σώμασι κατ᾽ ἄλλο μὲν ἐστὶ τὸ εἶναι
„ σώμασι, κατ᾽ ἄλλο δὲ τὸ ἐμψύχοις εἶναι, καὶ οὐδὲν εἰς
„ τὸ εἶναι σώματα τῆς πρὸς τὴν ψυχὴν δέονται σχέσεως,
„ τὴν δὲ ἀσώματον ψυχὴν, καὶ νοερὰν καὶ ἀθάνατον, μὴ
„ δύνασθαι χωρὶς σώματος ὑφίστασθαι λέγειν, εἴπερ ἐν τῷ
„ εἶναι ἀρχὴν κινήσεως τὴν ὕπαρξιν ἔχει· τοῦτο γὰρ οὐδὲν
„ ἄλλο ἐστὶν, ἢ καὶ σωμάτων χείρονα τὴν νοερὰν τῆς ψυ-
„ χῆς οὐσίαν ποιεῖν. Δειχθείη δ᾽ ἂν καὶ ἐξ αὐτῶν τῶν τοῦ
„ Πρόκλου ὅτι τὸ ζωοποιεῖν καὶ κινεῖν τὰ ἔμψυχα σώμα-
„ τα, ἐνέργεια ψυχῆς ἐστὶν, ἡ δὲ αὐτοκινησία ( καθ᾽ ἣν
„ αὐτὴ ἑαυτὴν πέφυκε διεγείρειν εἰς κίνησιν ) οὐσία. Ἐπεὶ
„ τοίνυν αἱ τῆς ψυχῆς ἐνέργειαι, αἱ περὶ τὰ σώματα, οὐκ
„ εἰσὶν ἀΐδιοι ( πῶς γάρ; εἰ οὐδ᾽ αἱ ἐπιστρεπτικαὶ πρὸς ἑαυ-
„ τὴν καὶ πρὸς Θεὸν ἀναγωγοὶ ἀϊδίως αὐτῇ εἰσὶν, ἅτε δὴ
„ μεταβάλλουσαι; ) οὐδὲ σῶμα ἄρα ἀΐδιον ἐξῆφθαι τῆς ψυ-
„ χῆς ἐνδέχεται.

„ Ἔτι οὐδεμία τῶν ἐν ἡμῖν κινήσεων ἀΐδιος οὖσα ἐστὶ, πα-
„ σῶν δὲ ἀρχή τε καὶ τελευτή. Καὶ μὴν ὁ Πλάτων περὶ τῶν
„ ἡμετέρων ψυχῶν τὸν λόγον (1) ποιούμενος, καὶ τὴν
„ ἀθανασίαν ἀποδεῖξαι βουλόμενος, ὡρίσατο ψυχῆς οὐσίαν
„ εἶναι τὸ αὐτοκίνητον. Οὐκ ἄρα ἀνάγκη οὐδὲ κατὰ Πλάτωνα
„ αὐτοκινήτου τῆς τοῦ παντὸς ψυχῆς ὑποτιθεμένης, ἀΐδιον εἶ-
„ ναι τὴν τοῦ παντὸς κίνησιν, καὶ σὺν αὐτῇ τὸ κινούμενον.

„ Ἐπὶ τούτοις καὶ τὸ τὴν ψυχὴν ἀγέννητον εἶναι, καὶ ἐξ
„ ἀϊδίου εἴτις συγχωρήσειεν, οὐ μόνον τὴν λογικὴν, ἀλλὰ
„ καὶ τὰς τῶν ἀλόγων, ( ἐπεὶ καὶ αὐταὶ κατὰ Πλάτωνα αὐτο-
„ κίνητοι οὖσαι εἰσὶν ) οὐδεμία ὅμως ἀνάγκη φαίνεται, ἅμα
„ τῇ ἀρχῇ, καὶ τὰ ὧν ἐστὶν ἀρχὴ εἶναι· ἐπεὶ μὴ ἐν τούτῳ

„ ἡ

(1) Ἐν Φαίδρῳ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ ἡ ψυχὴ ἐν τῷ εἶναι κινήσεως ἀρχὴ ὡς δέδεικται... Καὶ
„ γὰρ καὶ ὁ Θεὸς πρωτίστη ἀρχὴ καὶ αἰτία πάντων τῶν ὄν-
„ των καὶ ἐσομένων, ἀλλ᾽ οὐχ ἅμα τῷ Θεῷ τὰ πάντα συνυ-
„ φέστηκεν· εἴπερ ἐστὶν ἐν τῷ παντὶ καὶ γεννητὰ καὶ φθαρ-
„ τά. Καὶ τὸ δὴ μεῖζον ἀνάγκη που πάντως, καὶ αὐτῆς τῆς
„ τῶν γεννητῶν καὶ φθαρτῶν σωμάτων κινήσεως ἀρχὴν εἶναι
„ τὴν ψυχὴν καὶ αἰτίαν· ἀπὸ ψυχῆς γὰρ ἡ τῶν ζώων γί-
„ νεται κίνησις. Εἰ τοίνυν καὶ τῆς τοῦ γεννητοῦ καὶ φθαρτοῦ
„ σώματος κινήσεως ἀρχὴ ἐστὶν ἡ ψυχή, ἀγέννητος δὲ ἡ ψυ-
„ χὴ κατὰ Πλάτωνα, τὸ δὲ σῶμα τοῦτο οὐκ ἀγέννητον, οὐκ
„ ἄρα ἐξ ἀνάγκης ἅμα τῷ εἶναι τὴν ἀρχὴν καὶ αἰτίαν τῆς
„ τοῦ σώματος κινήσεως, καὶ τὸ κινούμενον σῶμα εἶναι ἀνάγ-
„ κη· οὐδὲν γὰρ δηλονότι ὀνίνησι τὸ εἶναι τοῦ ἀϊδίου μέσου,
„ ὥς φησιν ὁ Πρόκλος, τὴν τοῦ σώματος τελεῖσθαι κίνησιν,
„ ἕψεται γὰρ καὶ οὕτως ἡμῖν κίνησις μὴ ἀΐδιος ἐξ ἀρχῆς
„ ἀϊδίου.
Ἄλλως τε καὶ τὸ μέσον ἐκεῖνο πῶς κινεῖ; ἀκίνητον, τῇ ἐν
„ αὐτῷ οὐσιώδει δυνάμει, ὡς ἡ μαγνῆτις τὸν σίδηρον, καὶ
„ τὸ ἤλεκτρον τὰ κάρφη; ἀλλ᾽ ἀεὶ κινήσει, ἕως ἂν παρῇ,
„ καὶ οὐδὲ τῆς ψυχῆς δεήσεται πρὸς τὸ κινῆσαι, αὐτὸ κινεῖν
„ πεφυκὸς ἐξ ἰδίας δυνάμεως. Καὶ οὐδ᾽ ἡ ψυχὴ τὸ αὐτοκι-
„ νοῦν ἔσται. Ἀλλὰ κινούμενον; ἀλλὰ ποτέρας τῶν κινήσεων;
„ τὴν κυκλικήν; ἀλλ᾽ οὕτω καὶ τὰ φθαρτὰ κινηθήσεται, καὶ
„ οὐ κατὰ μετάβασιν· καὶ οὐδὲ λόγος ἔσται δι᾽ ὃν τόπον νῦν τὸ
„ μέρος κινεῖται, νῦν δὲ τὸ ὅλον, τοῦ κυκλικῶς φερομένου
„ ὁλικῶς φερομένου. τὴν κατ᾽ εὐθυφορίαν δέ; ἀλλὰ καὶ αὐτὸ
„ φθαρτὸν ἔσται. Πᾶσι γὰρ τοῖς εὐθὺ φερομένοις φύσει προ-
„ σῆκον τὸ φθείρεσθαι· οἷς πρόσθες ὅτι καὶ εἰ κινούμενον κι-
„ νεῖ, ἀεὶ δὲ κινούμενον ἐστὶν ὑπὸ τῆς ψυχῆς τῆς ἀεὶ κινού-
„ σης, ἀεὶ καὶ αὐτὸ κινήσει. Ἀλλ᾽ ἐκ τῶν πολλῶν οἷς τὸ μυ-
θῶδες τοῦτο σῶμα ἀνασκευάζεται, ἐπὶ τοῦ παρόντος ἱκανὰ
καὶ ταῦτα.

(1) Κ'. Εἰ πᾶν τὸ φθειρόμενον ὑπό τινος ἀλλοτρίου προσ-
„ βαλ-

(1) Πρόκλ. Λόγ. ί. Περὶ Ἀϊδιότ. Κόσμου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ βάλλοντος φθείρεται, καὶ εἴστι ἀλλότριον, μηδενὸς δὲ ἔξω
„ τοῦ παντὸς ὄντος μηδὲ ἀλλότριον, ἀλλὰ πάντα περιείληφεν
„ ὅλον ἐξ ὅλων, καὶ τέλειον ἐκ τελείων γινόμενον, οὔτ᾽ ἂν
„ ἀλλοτριοῦντι εἴη τοῦ παντός, οὔτ᾽ ἂν φθείροιτο εἰς ἀλλό-
„ τριον, ἢ ὑπὸ ἀλλοτρίου γινόμενον· ὥστε ἄφθαρτον ἐστί, διὰ
„ δὲ τὸ αὐτὸ τοῦτο καὶ ἀγέννητον. Πᾶν γὰρ τὸ γενητὸν ἔκτι-
„ νος γίνεται, πρότερον ἀλλοτρίου ὄντος.... Εἰ γοῦν τις εἴ-
ποι ὡς ἐξ ἀτάκτου γέγονε τὸ τεταγμένον, ἤτοι ἐναντία ταῦ-
τα, καὶ ἐπεὶ τὰ ἐναντία φύσιν ἔχει ἐπίσης τρέπεσθαι εἰς
ἄλληλα· „ μεταβάλλει ἄρα καὶ τὸ πᾶν εἰς τὸ ἐναντίον ἐξ
„ οὗ γέγονεν. Εἰδὲ τὸ μὲν ἕξις τὸ τεταγμένον, τὸ δὲ στέρη-
σις τὸ ἄτακτον, μετέβαλε δὲ ἀπὸ στερήσεως εἰς τὴν ἕξιν,
„ πολλῷ μᾶλλον μεταβάλλει καὶ ἀπὸ τῆς ἕξεως εἰς τὴν στέ-
„ ρησιν. Ἀδυνατώτερον γὰρ ἐκεῖνο καὶ ἔσται καὶ κατὰ τὴν φύσιν
„ τοῦτο, καὶ κατὰ τὴν τοῦ Θεοῦ βούλησιν. Ἀλλὰ μὴν ἄφθαρτον
„ δέδεικται τὸ Πᾶν· οὐκ ἄρα μεταβάλλει κτ.

Παρὰ τὴν ὑπόθεσιν ὁ Συλλογισμὸς οὗτος φθέγγεται, γε-
νέσεις τὰς ἐκ τῶν ἀλλοτρίων εἰσωθούμενος, καὶ μεταβολὰς τὰς
ἐπὶ τὴν ἕξιν ἀπὸ τῆς στερήσεως, καὶ ἀνάπαλιν, τοῖς τὴν ὑ-
πόστασιν τοῦ παντός, ἁπλῶς ἐκ τοῦ μηδενός, μόνῳ τῷ παν-
τοδυνάμῳ νεύματι τοῦ δημιουργοῦ ἀνατιθεμένοις, ὁμοίως καὶ
τὴν τοῦ αὐτοῦ εἰς τὸ ἁπλῶς μὴ εἶναι λύσιν.

Ὁ δὲ Φιλόπονος (1) καὶ ἐκ τῶν αὐτοῦ (2) παρεισάγει τὸν
Πρόκλον ἀνασκευάζοντα ἑαυτόν. „ Ἦν γὰρ δηλαδὴ τοῦ Πρό-
„ κλου εἰσήγησις, διὰ τὸ μὴ μετέχειν τὸν Κόσμον ἀπείρου
„ δυνάμεως, σῶμα ὄντα, τὴν δὲ πεπερασμένην δύναμιν
„ ἅπασαν φθαρτὴν εἶναι, τοῦ φθείρεσθαι αὐτὴν δι᾽ ἀσθένειαν
„ ἐπιγινομένου.... Διὰ τοῦτο τὸν Κόσμον ἀνάγκη ἀπολλύμε-
„ νον καὶ φθαρτὸν εἶναι, καὶ μὴ ἀεὶ ὑπάρχειν. Καὶ τοῦτο αὐ-
„ τῷ ἀπὸ τῆς ἰδίας αὐτοῦ φύσεως προσεῖναι, τὸ δὲ ἀεὶ εἶ-
„ ναι ἐκ τῆς τοῦ ὄντος μεθέξεως αὐτῷ ἐπιγίγνεσθαι, ἐπικτή-

„ του

(1) Πρὸς τὸν Κ. Λόγον τοῦ Πρόκλου.

(2) Ἐκ τοῦ Λόγου, ὃς ἐπιγέγρ. Ἐπίσκεψις τῶν εἰς τὸν Πλάτ. Τίμ. ὑπὸ Ἀεις. ἀντειρημ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„τι τῆς ἀθανασίας αὐτῷ γινομένης. Τοῦτο δὲ ὅτι τῷ ἀνωτέρῳ λόγῳ ἐστὶ μαχόμενον, παντί που δῆλον. „Τούτου γὰρ ἀληθοῦς ὄντος, οὐκέτι ἂν ἀληθεύοι κἀκεῖνο, ὅτι τὸ πᾶν φθειρόμενον, ἔκ τινος ἔξωθεν ἀλλοτρίου προσβάλλοντος φθείρεται. Εἰ γὰρ καὶ μηδὲν εἴη τὸ προσβάλλον, καὶ φθεῖρον τὸν Κόσμον, αὐτὸ τὸ τῆς δυνάμεως πεπερασμένον ἐξασθενοῦν διὰ τὸ πεπεράνθαι, φθορᾶς αἴτιον τῷ παντὶ γίνεται. Εἰ γὰρ μὴ φθείρεται ὁ Κόσμος, καὶ τοῦτο τὶς αὐτοῖς συγχωρήσειεν, οὐ διὰ τὸ μηδὲν ἔξωθεν ἀλλότριον αὐτοῦ εἶναι οὐ φθείρεται· ἀλλὰ διὰ τὸ τὴν ἀθανασίαν αὐτῷ ἐκ τοῦ ἀεὶ ὄντος ἐπιγίγνεσθαι. Νοούμενος οὖν ὁ Κόσμος καθ᾿ ἑαυτὸν, καὶ χωρὶς τῆς ἐκ τοῦ ἀεὶ ὄντος συνοχῆς, πότερον φθαρήσεται διὰ τὴν ἀσθένειαν τῆς οἰκείας δυνάμεως, πεπερασμένης οὔσης, ἢ οὐ φθαρήσεται, διὰ τὸ μηδὲν εἶναι αὐτοῦ ἀλλότριον ἔξωθεν; Εἰ μὲν οὖν τὸ Β΄. οὐκ ἄρα τὸ ἀεὶ εἶναι αὐτῷ παρὰ τοῦ ἀεὶ ὄντος· καὶ οὐδ᾿ ἡ πεπερασμένη φύσις φθαρτή. Εἰ δὲ τὸ Α΄. οὐκ ἄρα ἄφθαρτος, διὰ τὸ μηδὲν ἔξωθεν αὐτοῦ εἶναι ἀλλότριον, ὑφ᾿ οὗ ἂν προσβαλόντος φθαρείη.

Ὃ δὲ προστίθησιν ἔσχατον ὁ Πρόκλος περὶ τῆς ἀπὸ τῆς ἕξεως ἐπὶ τὴν στέρησιν μεταβολῆς, ὅσον ἐπὶ τῇ τῶν πραγμάτων φύσει, „καὶ Πλάτωνι αὐτῷ δοκεῖ, δύνασθαι τὸ τεταγμένον μεταβάλλειν εἰς τὸ ἄτακτον· τὸ γὰρ δεθὲν ἅπαν λυτὸν εἶναι βούλεται. Καὶ ἐπείπερ ἐγένεσθε φησὶν (1) ἄλυτοι μὲν οὐκ ἐστὲ, οὐδ᾿ ἀθάνατοι τὸ πάμπαν· τὸ δὲ καὶ τὴν τοῦ Θεοῦ βούλησιν εἶναι τὸ γενόμενον πάντως καὶ φθείρεσθαι, οὐκέτι δοκοῦντα ὁ Πρόκλος λέγει τῷ Πλάτωνι· τοὐναντίον γὰρ ὁ παρὰ Πλάτωνι δημιουργὸς πρὸς τὰ οὐράνια ἀπεφήνατο.... Οὐ γὰρ λυθήσεσθε φησὶν, οὐδὲ τεύξεσθε θανάτου μοίρας, τῆς ἐμῆς βουλήσεως, μείζονος ἔτι δεσμοῦ, καὶ κυριωτέρου λαχόντες ἐκείνων, οἷς ὅτ᾿ ἐγένεσθε ξυνεδεῖσθε. Ὥστε καὶ ὁ Πλάτων τῇ μὲν γενέσει τὴν λύσιν αὐτῶν, κατὰ τὸ τῆς φύσεως ἀκόλουθον ἕπεσθαι ὡμολόγηκεν. Εἰδὼς

„δὲ

(1) Ἐν Τιμαίῳ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ δὲ τὴν τοῦ Θεοῦ βούλησιν παντὸς φυσικοῦ δεσμοῦ ἰσχυροτέ-
„ ραν ὑπάρχουσαν, ἐκ ταύτης τὴν τοῦ Κόσμου ἀθανασίαν
„ συνέδησεν· ὅθεν ἐπίκτητον αὐτῷ τὸ εἶναι, καὶ ἐπισκία-
„ στὴν τὴν ἀθανασίαν φησίν. Τί οὖν ἀντιφθέγγεται Πλά-
„ τωνι, ὁ τοῦ Πλάτωνος ἐξηγητής τε καὶ διάδοχος; λέγων τε μὴ
„ γεγονέναι ἐκ τοῦ ἀτάκτου τὸ τεταγμένον, Πλάτωνος ῥητῶς
„ τοῦτο βοῶντος καὶ ἐπιφέρων, ὅτι εἴπερ γέγονε βουλήσεται
„ πάλιν ὁ Θεὸς τὸ τεταγμένον ἀντιμεταβάλλειν εἰς τὸ ἄτα-
„ κτον, ἐκείνου πάλιν ἐπὶ λέξεως, μὴ βούλεσθαι τοῦτο τὸν
„ Θεὸν λέγοντος; Ὥστε ἡμεῖς καὶ γεγονέναι τὸν Κόσμον, καὶ
„ πάλιν φθείρεσθαι ὁμολογοῦντες, ὅτι μὲν γέγονε σύμψη-
„ φον ἔχομεν μετὰ τῆς ἀληθείας καὶ Πλάτωνα, ὅτι δὲ γενό-
„ μενος πάντως φθαρήσεται, καὶ οὐχ ὡς Πλάτωνι δοκεῖ, ἄ-
„ λυτος ἔσται, ἐπικτήτου τῆς ἀθανασίας αὐτῷ παρὰ τῆς τοῦ
„ Θεοῦ θελήσεως προσγενομένης, αὐτὸν ἔχομεν ἐν τούτοις τὸν
„ Πρόκλον μάρτυρα, καὶ κατὰ φύσιν εἶναι πιστὸν λέγοντα, καὶ
„ κατὰ θείαν βούλησιν.

(1) ΚΑʹ. Πᾶν τὸ φθειρόμενον φθείρεται ὑπὸ τῆς ἑαυτοῦ
„ κακίας. Τῷ δὲ παντὶ μηδὲν κακόν· ὅτι καὶ αὐτὸ Θεός
„ ἐστιν· οὐκ ἄρα φθαρήσεται τὸ πᾶν, ᾧ μηδὲν κακόν ἐστιν.
„ Εἰ δὲ ἄφθαρτον τὸ πᾶν, διότι μηδὲ ἔχει φθαρτικόν, οὐδὲ
„ γεννητόν ἐστιν· τί γὰρ ἂν ἄλλο εἴη φθαρτικὸν αὐτῷ κα-
„ κόν, ἢ ἡ ἀκοσμία καὶ ἀταξία; Ἀλλ' οὐδὲν αὐτῷ τοιοῦτον
„ τεταγμένῳ ὄντι καὶ κεκοσμημένῳ· ἄρ' οὐδὲ γέγονεν ἐξ ἀ-
„ κοσμίας τινὸς καὶ ἀταξίας· μὴ ἔχον δὲ ἐξ οὗ ἂν γένοιτο,
„ φανερὸν ὡς οὐδὲ ἐγένετο· ἐκ γὰρ μηδενὸς μηδὲν γίνεται.

Μυθολογοῦντι τῷ Πλάτωνι, καὶ διὰ τοῦ τὸν Κόσμον ἀπο-θεοῦν, τὸν δῆμον θεραπεύοντι τῶν Ἀθηναίων, οὐδεὶς σωφρονῶν ὁμολογήσει. Ἀλλ' οἶμαι καὶ φρίκη συσχεθήσεται, πᾶς ᾧ ἂν καὶ βραχὺς ἐνήφθη τῇ ψυχῇ θεογνωσίας σπινθήρ, τοῦ ἀναιδῶς οὕτως ἐξυβρίζειν εἰς τὸ ἄρρητον ὄνομα, καὶ τὸν μυρίαις μεταβολαῖς τε καὶ ἀλλοιώσεσι διαφερόμενον Κόσμον, Θεὸν ὀνομάζειν.

„ (1) Ἀλ-

(1) Πρόκλ. Λόγ. θʹ. περὶ τῆς Ἀϊδιότ. τοῦ Κόσμου.

„ (1) Ἀλλὰ γὰρ πᾶν αἰσθητὸν καὶ ὁ Πλάτων γινόμενον
„ εἶναι φησὶ, καὶ ἀπολλύμενον, ὄντως δὲ μηδέποτε ὄν, καὶ
„ διὰ τοῦτο καὶ τὸν οὐρανὸν καὶ τὸν Κόσμον αἰσθητὸν ὄντα ἀπε-
„ φήνατο· μόνοις γὰρ τοῖς θειοτάτοις τῶν ὄντων προσήκειν,
„ τὸ κατὰ τὰ αὐτὰ, καὶ ὡσαύτως ἔχειν· τὴν δὲ τῶν σωμά-
„ των φύσιν μὴ ταύτης εἶναι τῆς τάξεως, ἀλλ' ἐν μεταβολῇ
„ πάντως ἐξετάζεσθαι. Καὶ αὐτὸς δὲ ὁ Πρόκλος ταύτῃ τῇ
„ δόξῃ τοῦ Πλάτωνος παριστάμενος, πεπερασμένην εἶναι τὴν
„ τοῦ Κόσμου δύναμιν ἔφησε, διότι μηδὲν σῶμα ἀπείρου με-
„ τέχει δυνάμεως· τὴν δὲ πεπερασμένην δύναμιν φθαρ-
„ τὴν εἶναι· καὶ τοῦτο ἀπ' αὐτῆς τῆς ἰδίας φύσεως τῷ Κό-
„ σμῳ προσεῖναι. Πότερον οὖν εὐλογώτερον ἐκ τοῦ λέγεσθαι
„ Θεὸν εἶναι τὸν Κόσμον, τὸ μηδὲ μεταβλητὸν αὐτὸν εἶναι
„ καὶ διὰ τοῦτο μηδὲ γεγονέναι, συλλογίζεσθαι, καὶ ἑαυτῷ καὶ
„ Πλάτωνι, καὶ τῇ ἀληθείᾳ μάχεσθαι, ἢ ἐκ τοῦ μεταβλητὸν
„ εἶναι, καὶ διὰ τοῦτο φύσει φθαρτὸν, τῷ μὴ ἀπείρου μετέ-
„ χειν δυνάμεως, τὸ Θεὸν αὐτὸν εἶναι ὡς ψευδὲς ἀποκρούε-
„ σθαι; Ἀλλ' οἶμαι πᾶς αὖτις τὸ δεύτερον ἀναγκαῖον εἶναι
„ ὁμολογήσειεν· τὸ δὲ πρότερον ψεῦδος· λέγω δὲ τὸ μετα-
„ βολῆς ἄδεκτον εἶναι. Εἰ γὰρ τὸ πᾶν Θεός ἐστι, τί ἐστι
„ λοιπὸν τῶν ὄντων ὃ μὴ ἐστι Θεός; ἐν γὰρ τῷ παντὶ τὰ
„ μέρη συμπεριέχεται. Εἰ δέ τις εἴποι, ὡς εἰ καὶ τὰ τοῦ
„ Κόσμου μέρη μεταβάλλει, ἀλλ' οὖν τὸ ὅλον, ὡς ὅλον ἀμε-
„ τάβλητόν ἐστι, τί ἄλλο εἰσβάλλειν ἐντεῦθεν παρέχεται,
„ ἢ ἀπαξάπαντα, ἕως ἂν παρῇ εἶναι ἀμετάβλητα; Οὐδὲν
„ γὰρ τῶν ζώων, ἕως ἂν ᾖ ζῷον, καθ' ὅλον αὐτὸ μεταβάλ-
„ λει, ἀλλὰ κἄν τε αὐξάνῃ, κἄν τε φθίνῃ, κἄν τε θερμαί-
„ νηται, κἂν ἐκ τόπου τόπον ἀμείβῃ τοῦ εἶναι ζῷον οὐκ ἐξί-
„ σταται. Καὶ γὰρ καὶ τοῦ ὅλου σωζομένου μόριά τινα γίνεταί
„ τε καὶ φθείρεται· οὕτω δὴ καὶ ὁ Κόσμος, ἕως ἂν ᾖ Κό-
„ σμος, καθ' ὅλον αὐτὸν ἐστὶν ἀμετάβλητος, κατὰ δὲ τὰ μέρη
„ μεταβάλλει, καὶ μάλιστα.

Τί γάρ; ἢ τὸ οὐράνιον εἶναι φήσουσι μεταβολῆς οἱασοῦν ὑ-
πέρ-

(1) Φιλόπ. πρὸς ταῦτα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πέρτερον; (τὸ γὰρ τὰ ὑπὸ σελήνην πάντα κηραίνεσθαι, καὶ τυφλοῖς δῆλον.) Ἀλλὰ καὶ ἐν πλανήταις, καὶ ἐν ἀπλανέσι, καὶ ἐν κομήταις, καὶ ἐν ἡλίῳ αὐτῷ πλεῖσται ὅσαι μεταβολαί, τοῖς ἀστροθεάμοσι παρατηροῦνται ἐπισυμβαίνουσαι. Καὶ πολλῷ δὲ πλείους καὶ ὀφθαλμοῖς ἂν ὑπέπιπτον, εἰ μὴ κώλυμα ἦν τὸ ὑπερβάλλον τῆς ἀποστάσεως. Καὶ γὰρ καὶ ὀφθαλμὸς ἐπὶ τῆς σελήνης τεθεὶς, ἀεὶ τὸ ὅλον τῆς οἰκουμένης γῆς ἔδοξεν ἂν ἀμετάβλητον ὁρᾶν, ἀεὶ ὡσαύτως διασωζόμενον. Παρεῖχε δ' ἂν οὕτω τῇ ἀσθενείᾳ τῆς ἀντιλήψεως, ἐπισφαλῶς φέρεσθαι περὶ τὴν κρίσιν, τὴν ἀξεψίαν τῇ γῇ πρυτανεύουσαν. Ἀλλὰ γὰρ τὸ πάθος τῆς ῥευστῆς φύσεως οὐδεμιᾶς ὕλης, οὔκουν οὐδὲ τῆς τῶν οὐρανίων ἐκείνων σωμάτων ἄπεστιν, ὡς οὐδ' ἀπὸ τῶν ὑπ' ἐκεῖνα. Αὕτη γὰρ ἐστὶν ἡ ἑκάστου κακία τῶν δημιουργημάτων, ἡ ἐπὶ τὸ παρὰ φύσιν ἑκάστου παρεκτροπή· καθ' ἣν διὰ τὸ πεπερασμένης εἶναι δυνάμεως ἅπαντα, ἐξασθενεῖ τῷ χρόνῳ εἰς φθορὰν ἐξολισθαίνοντα· τὴν δὲ ἀσθένειαν ταύτην, ἣν ἀκοσμίαν καὶ ἀταξίαν εἶναι τινὰ ἐν τῷ Κόσμῳ εἴποις, οὐδὲν ἂν ἁμάρτοις. Ἐν αὐτῇ γὰρ φύσει τὸ ἀσθενὲς τοῦ πεπερασμένου Κόσμου συνουσίωται, καθ' ἑαυτὸν ἀκόσμῳ τυγχάνοντι· ἡ δὲ τοῦ ἀπειροσθενοῦς δύναμις εἰς κόσμον ἄγει τὴν ἀκοσμίαν, εἰς ἣν ἔθετο τάξιν συνέχουσα, καὶ εἰς ἀκοσμίαν αὖθις μεταποιεῖ αὐτὸν κατά γε τὸ αὐτῷ βουλητὸν, εἰς ἀσθένειαν τὴν αὐτοῦ καταλείψασα.

Τελευταῖον δὲ τοῖς ἐκ τοῦ μηδενὸς τῇ παντουργικῇ δυνάμει ὑποστῆναι τὸν Κόσμον διατεινομένοις, τὸ μηδὲν ἐκ μηδενὸς, ὃ ἐπὶ μόνων τῶν κατὰ φύσιν γενέσεων κρατεῖ, ὑποτιθέναι, παίζοντος ἂν εἴη περὶ τὰς δείξεις, καὶ αὐτὸ αἰτούμενον ἐν ἀρχῇ τοῦ ζητουμένου τὸ κυριώτατον. Ἀλλὰ τέχνη μὲν τὰ κατὰ συμβεβηκὸς εἴδη ἐκ μὴ πρότερον ὄντων γίνεται, φύσει δὲ τὰ καλούμενα οὐσιώδη, τί οὖν θαυμαστὸν εἰ ἡ ἀπείρως καὶ τὴν τέχνην καὶ τὴν φύσιν αὐτὴν ὑπερπαίουσα τοῦ δημιουργοῦ δύναμις, αὐτὰ ἐκ τοῦ μηδενὸς τὰ ὄντα ὑφίστησιν; οὐ γὰρ τὸ αὐτὸ δηλονότι δημιουργία καὶ γένεσις. Ἀλλ' ἡ μὲν ἐκ προϋποκειμένης ὕλης, ἡ δὲ δημιουργία ἐκ τοῦ μὴ ὄντος ἁπλῶς· καὶ ἡ μὲν διὰ κινήσεως, ἡ δὲ μόνῳ τοῦ δημιουργοῦντος τῷ παντοδυνάμῳ νεύματι. Ἀλλ' ὁ Πρόκλος κέκραγεν, ἀδύ-

νατον

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νατον ἐκ τοῦ μηδενός τι γίνεσθαι ἀποφαινόμενος. Δειξάτω δὴ τὴν ἐντεῦθεν ἑπομένην ἀντίφασιν. Ἀλλ' οὐκ ἂν ἔχοι· μᾶλλον γὰρ ἀντιφάσεσιν αὐτὸς, ἀδύνατον τοῦτο διατεινόμενος, λαμπραῖς περιπίπτει· τῇ μὲν πέρας τοῦ ἀπειροδυνάμου ἐπιτιθέμενος, τῇ δὲ ἄπειρον τὸν πεπερασμένον Κόσμον εἰσηγούμενος, καὶ ἀγέννητον καὶ ἄφθαρτον εἶναι λέγων τὸν μυρίαις ὅσαις ταῖς μεταβολαῖς φύσει ὑποκείμενον.

„ ΚΒ'. (1) Ἕκαστον τῶν τοῦ Κόσμου στοιχείων ἢ μένει, ἢ „ κύκλῳ κινεῖται. Εἴτε δὲ μένει ἐν τῷ κατὰ φύσιν τόπῳ, „ ἔχει τὸ κατὰ φύσιν. Εἴτε κύκλῳ κινεῖται, οὔτε ἀρχὴν, οὔτε „ τελευτὴν ἔχει τοῦ κινεῖσθαι· δῆλον ὅτι καὶ τὸ πᾶν ἀμετάβλητον ἐστί· τῶν μὲν τοὺς κατὰ φύσιν τόπους ἐχόντων, τῶν δὲ „ ἀνάρχως καὶ ἀτελευτήτως κινουμένων.

(2) Α'. Ὑποτίθησιν ὅτι οὐδὲν μεταβάλλει ἐν τῷ κατὰ φύσιν ὑπάρχον τόπῳ, τὸ δὲ ψεῦδες ἑκατέρωθεν ἐλέγχεται, εἴτε τῆς μεταβολῆς τοπικῶς νοουμένης, ἐξίσταται γὰρ τῶν στοιχείων τὰ μέρη, καὶ ἐκ τόπου μεταβαίνει εἰς τόπον. Καίτοι τὸν κατὰ φύσιν ἐπέχοντα τόπον, ἐν τῇ οἰκείᾳ ὁλότητι· εἰ γὰρ φύσει τοῦ ὅλου ὅλος ἐστὶν ὁ τόπος, ἔσαι δήπου, καὶ τοῦ μέρους τὸ μέρος. Εἴτε καὶ τῆς μεταβολῆς κατὰ ἀλλοίωσιν, καὶ γένεσιν καὶ φθορὰν λαμβανομένης· ταῦτα γὰρ πάσχειν καὶ τὰ στοιχεῖα, Ἀριστοτέλης ἐδίδαξεν. Καὶ οὕτω μὲν διὰ πολλῶν ἀπαντᾷ ὁ Φιλόπονος, τὸ ψεῦδες τῆς ὑποθέσεως ἀπελέγχων. Ἐμοὶ δὲ δοκεῖ, ὡς ἔξω κομιδῇ τοῦ ζητουμένου τὼ Φιλοσόφω φέρεσθον, ὅ,τε προτείνων καὶ ὁ ἀπαντῶν· τί γὰρ ἐστὶν ὃ ζητεῖται; εἰ ὁ Κόσμος ἀΐδιος, ἢ ἐν χρόνῳ τὸ εἶναι λαβών· τὸ Β'. αἱρούμεθα. Ὁ δὲ Πρόκλος οὐκ ἐν χρόνῳ φησὶν, οὐδὲ γὰρ μεταβλητός· ὡς εἴπερ ἡμεῖς διὰ μεταβολῆς τὴν ἐν χρόνῳ τοῦ Κόσμου δημιουργίαν διετεινόμεθα. Ἡδὺς οὖν ἀτεχνῶς ὁ Πρόκλος ἐκ τοῦ φύσει ἀμεταβλήτου, τὸ ἀΐδιον τοῦ Κόσμου κατασκευάζειν ἐπιχειρῶν τοῖς μεταβολῆς αὐτοῦ, ἐν ἀναιρεῖ ἐκ τοῦ μηδενὸς τὴν κτιστὴν φύσιν ὑπὸ τοῦ δημιουργοῦ ὑποστῆναι πρεσβεύουσιν.

Εἰ-

(1) Πρόκλου Λόγ. δ'. Περὶ Ἀϊδιότ. Κόσμου.
(2) Φιλοπόνου πρὸς ταῦτα.

Εἶτα ἐδὲ τὰ κύκλω φερόμενα ἐν τοῖς αὐτῶν τόποις, μεταβλητὰ, φησὶν, ἐστίν. Ἔστω καὶ ταῦτα φύσει μὴ μεταβλητά. Ἀλλὰ μὴ ἐκ τούτου, καὶ τῆς ἐκ τοῦ μηδενὸς παραγωγῆς κρείττω δείκνυται, πεπερασμένα τε ὄντα, καὶ ἀφ' ἑαυτῶν εἶναι μὴ ἔχοντα; Πῶς δὲ καὶ μεταβλητὰ οὐκ ἐστι; ἢ τίς ὁ λόγος; ὅτι φησὶν ἄναρχον ἔχει τὴν κίνησιν, καὶ ἀτελεύτητον. Πῶς οὖν ἄναρχον καὶ ἀτελεύτητον; κατὰ τὴν διαμονὴν οὕτω φάναι, ὡς ἀχρόνως καὶ αἰδίως κινούμενα; Ἀλλ' αἰτεῖται τὸ ἐν ἀρχῇ, περὶ τούτου γὰρ ἡ πᾶσα ζήτησις· τῷ σχήματι δὲ, ὅτι σφαῖραι ἐκεῖνα τὰ σώματα; καὶ τῇ περιφορᾷ ὅτι κατὰ κύκλον; ψυχρὸν καὶ τοῦτο, οὔτε γὰρ τὸ σχῆμα τοῦ κινουμένου ποτὲ, οὔτε τὸ τῆς κινήσεως εἶδος, εἰς ὕπαρξιν, ἢ ἀνυπαρξίαν τι συνετέλεσεν. (Ἀλλ' ὅρα τὰ ἐν Ἀριθμ. Ζ'.)

(1) ΚΓ'. Ἀφ' οὗ ὕλη κόσμου, καὶ κόσμος ἐστίν. Ἀφ' οὗ δὲ „ ἐστὶν, ἔχει τὰ εἴδη, ὧν ὕλη ἐστίν. Ἀγέννητος δὲ ἐστὶ καὶ „ ἄφθαρτος, ἵνα μὴ ὕλης ἄλλης δέηται. Ἔστιν ἄρα καὶ τὰ „ εἴδη ἐν αὐτῇ ἐξ αἰδίου, καὶ ὁ Κόσμος.

Ὁμολογήσαντες ὅτι ἀφ' οὗ ὕλη καὶ Κόσμος, καὶ ἀφ' οὗ ἐστὶν, ἔχει καὶ τὰ εἴδη ὧν ὕλη ἐστὶν, ἀγέννητον αὐτὴν εἶναι καὶ ἄφθαρτον κατὰ μὲν φυσικὴν γένεσιν καὶ φθορὰν τὴν ἐξ ὕλης, καὶ εἰς ὕλην συγχωρήσομεν, ἀγέννητον δὲ κατὰ παραγωγὴν ἐκ τοῦ μὴ προϋφεστῶτος, καὶ ἄφθαρτον κατὰ παντελῆ τροπὴν, εἰς τὸ μηκέτι μηδαμῇ μηδαμῶς εἶναι, τοῦτο ἐστὶν, ὃ πάντῃ ἀπαναινόμεθα· περὶ οὗ καὶ ὁ λόγος. Αὐτὸς δὲ αὐτὸ κἀνταῦθα τὸ ζητούμενον συναρπάζει, καὶ τὴν ὕλην ἐξ αἰδίου ὑποτίθησιν ὑφεστῶσαν, πρὸς τοὺς ἐξ αἰδίου ἀδύνατον αὐτὴν εἶναι ὑπειληφότας διαλεγόμενος.

(2) Ἀλλ' ἀναγκαῖον φησὶ καὶ τὴν ὕλην εἴπερ γένοιτο, δεῖ„ σθαι ἑτέρας ὕλης. οὐχ ὁρῶ πόθεν τὴν ἀνάγκην τοῦ λόγου „ κατασκευάζει. Εἰ μὲν γὰρ πᾶν τὸ γινόμενον ἄλλου τινὸς „ ἐδεῖτο τοιούτου οἷον αὐτὸ ἐστὶν ἵνα γένηται, ἀκόλουθον ἦν „ καὶ τὴν ὕλην εἴπερ γίνοιτο, δεῖσθαι ὕλης ἑτέρας· νῦν δὲ

„ τοῦ-

(1) Πρόκλ. Λόγ. ἐνδέκ. Περὶ Ἀϊδιότ. Κόσμου.

(2) Φιλοπ. Πρὸς τὸν ιά. Λόγ. τοῦ Πρόκλου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ τοῦτο καὶ ψεῦδος ἐστὶ, καὶ ἀδύνατον. Τῶν γὰρ γινομένων
„ πάντων συνθέτων ὄντων ἐξ ὕλης καὶ εἴδους, ἀνάγκη πᾶσα,
„ ἢ τὸ εἶδος εἶναι τὸ γινόμενον, ἢ τὴν ὕλην, ἢ τὸ ἐξ ἀμ-
„ φοῖν συγκείμενον. Εἰ οὖν πᾶν τὸ γινόμενον ἑτέρου δεῖται
„ τοιούτου, οἷον αὐτὸ ἐστὶν ἵνα γένηται, εἴτε τὸ εἶδος εἴη τὸ
„ γινόμενον, ἄλλου δεήσεται τοιούτου εἴδους ἵνα γένηται, καὶ τοῦτο
„ πάλιν εἰ γίνοιτο ἑτέρου· εἴτε τὸ σύνθετον, ἄλλου συνθέτου
„ δεήσεται, οἷον αὐτὸ ἐστὶν ἵνα γένηται, κἀκεῖνο πάλιν εἰ
„ γίγνοιτο ἄλλου. Καὶ ταύτῃ ἐπ᾽ ἄπειρον ἀνιέναι ἀνάγκη,
„ ἀδύνατον δὲ δι᾽ ἀπείρων χωρῆσαι τὴν γένεσιν, ὡς καὶ
„ ἐν τῷ περὶ Γενέσ. Ἀριστοτέλει δέδεικται. Καὶ πρὸς τῷ
„ ἀτόπῳ, καὶ παρ᾽ αὐτὴν τὴν τῶν πραγμάτων ἐστὶν ἐνάρ-
„ γειαν· τοὐναντίον γὰρ πᾶν τὸ γινόμενον ἐξ οὐ τοιοῦδε γί-
„ γνεται.... οὐδὲ ἡ ὕλη ἄρα ἡ πρώτη, καὶ τὸ πρῶτον ὑπο-
„ κείμενον, εἴπερ γίγνοιτο ἄλλης δεήσεται ὕλης, καὶ ὑπο-
„ κειμένου ἵνα γένηται. Οὐδὲ γὰρ ἐπειδὴ τὰ εἴδη δεῖται
„ ὕλης ἵνα γένηται εἴδη, διατοῦτο καὶ ἡ ὕλη, εἴπερ γίγνοιτο
„ ὕλης δεήσεται. Τὰ μὲν γὰρ εἴδη, ἅτε δὴ καθ᾽ αὑτὰ ὑ-
„ ποστῆναι μὴ δυνάμενα, δεῖται τῆς ὑποδεξομένης αὐτὰ ὕ-
„ λης, ἐν ᾗ λαμβάνει τὴν ὕπαρξιν· ἡ δὲ ὕλη ὑποδοχὴ
„ πάντων οὖσα, καὶ τὸ πρῶτον ἁπάντων ὑποκείμενον, οὐ δεῖ-
„ ται ἑτέρου τοῦ ὑποδεξομένου πρὸς ὕπαρξιν.

ΚΔ΄. (1) Πᾶν τὸ γεννητὸν ὕλης δεῖται, καὶ ποιοῦντος· ὥστε
„ εἰ τὸ γεννητὸν μὴ ἀεὶ ἐστὶν ἀλλὰ ποτὲ, ἢ διὰ τὴν ὕλην
„ ἀνεπιτήδειον οὖσαν, οὐκ ἔστιν, ἢ διὰ τὸ ποιοῦν ἐλλεῖπον εἰς
„ τὸ ποιεῖν... Ἀλλὰ τὸ μὲν ποιοῦν τὸν κόσμον ἀναλλοίω-
„ τον, ἡ δὲ ὕλη ἀμετάβλητος... τὸν ἀεὶ ἄρα χρόνον καὶ τὸ
„ δημιουργοῦν ποιεῖ, καὶ ἡ ὕλη κοσμεῖται, καὶ ὁ Κόσμος ἐ-
„ στίν.

Α΄. δὴ ψεῦδος ἐστὶν ὅτι πᾶν τὸ γινόμενον ὕλης δεῖται· μόνον γὰρ τὸ ἐνυφεστὼς τῇ ὕλῃ, ὡς ταύτης αὐτὸ εἶναι μὴ φύσιν ἔχον. Εἶτα δὲ ὁ κόσμος ποτὲ γινόμενος οὐκ ἀεὶ ἐστὶν, οὔτε διὰ τὸ ἀνεπιτήδειον τῆς ὕλης, ( συμπαράγεται γὰρ
ἡ ὕ-

(1) Πρόκλου Λόγ. ιβ΄. Περὶ Ἀϊδιότ. Κόσμου.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἡ ὕλη τῷ κόσμῳ, ἐπεὶ καὶ ἡ ὕλη κοσμηθεῖσα κόσμος ἐ-
στίν.) οὔτε παρ᾽ ἔλλειψιν τοῦ ποιοῦντος, ἀλλὰ διὰ τὸ μὴ πε-
φυκέναι τὰ γινόμενα ἀεὶ εἶναι· οὐδὲν γὰρ τῶν γινομένων ἅ-
μα τῷ ἑαυτοῦ ποιητικῷ αἰτίῳ συνυποσταίη, παντὸς δὲ τοῦ ποιοῦν-
τος αὐτὸ ὑπάρχει ὕστερον. Ἐπὶ τούτοις δὲ ἐπὶ τῶν ἐλευθέ-
ρως καὶ ἐκ θελήσεως ποιούντων, καὶ τῆς ὕλης ἐπιτηδείας οὔσης,
καὶ τοῦ αἰτίου αὐτάρκους ὄντος εἰς τὸ ποιεῖν, οὐ γίνεται τὸ γι-
νόμενον, διὰ τὸ μὴ δοκεῖν τῷ ποιοῦντι ποιῆσαι. Τί γὰρ
κωλύει καὶ τῶν λίθων ἐξεσμένων ὄντων, καὶ τῆς ἄλλης ὕλης
δεξιῶς ἐχούσης εἰς οἰκίας γένεσιν, καὶ δὴ καὶ τοῦ οἰκοδόμου πα-
ρόντος τε καὶ αὐτάρκους ὄντος, ὅμως τὴν οἰκίαν μήτε γεγονέ-
ναι πω, μήτε γίνεσθαι; „ Τί οὖν ἐκώλυεν ὅσον ἐπὶ τοῖς νῦν
„ εἰρημένοις, καὶ τῆς ὕλης ἀεὶ ἐπιτηδείας οὔσης εἰς γένεσιν
„ κόσμου, εἰ καὶ ἀΐδιον εἶναί τις αὐτὴν συγχωρήσειεν (ὃ
πολλοί φασιν ὑπειληφέναι τὸν Πλάτωνα (1) πολλῶν ἄλλως
περὶ αὐτοῦ ἀποφαινομένων, (2) καὶ τοῦ δημιουργοῦ αὐτάρκως ἔ-
„ χοντος εἰς τὸ κοσμοποιεῖν, δι᾽ ἄλλην τινὰ αἰτίαν μὴ ἀεὶ
„ εἶναι τὸν κόσμον· εἰ συνοῖδε τυχὸν ὁ δημιουργὸς ἀγαθὸν
„ εἶναι τοῖς γινομένοις, τὸ ποτὲ γενέσθαι. Τοῦτο δὲ εἶπον,
„ οὐκ οἰόμενος ποτὲ τὴν ὕλην αὐτὴν καθ᾽ αὑτὴν χωρὶς
„ τῶν εἰδῶν ὑποστῆναι, οὐ γὰρ χωρὶς μὲν τὴν ὕλην τοῦ
„ κόσμου, χωρὶς δὲ τὸ εἶδος ὁ δημιουργὸς παρήγαγεν, ἀλ-
„ λ᾽ ἅμα καὶ ἀχρόνως τὸ συναμφότερον δημιουργεῖ, ὡς καὶ ἐν
„ τοῖς ἔμπροσθεν πολλάκις εἴπομεν. Ἀλλὰ δεῖξαι βουλόμε-
„ νος, ὅτι εἰ καί τις ἀΐδιον εἶναι τὴν ὕλην συγχωρήσειε,
„ καὶ τοῦ κόσμου προϋπάρχειν, οὐδὲν ἀναγκαστικὸν ἔχει, αὐ-
„ τὸς καθ᾽ αὑτὸν ὁ νῦν εἰρημένος τοῦ Πρόκλου λόγος, ὥστε
„ καὶ τὸν κόσμον δεῖξαι ἀΐδιον.

ΚΕʹ. (3) Τὴν Κίνησιν φησὶν ὁ Πλάτων, τὴν κατὰ κυκλο-
„ φορίαν, φύσει οἰκείαν εἶναι τῷ οὐρανῷ· ἔνθεν τοι καὶ τοῦ-
„ τον

---

(1) Πλούταρχ. Ἀλκίνοος, Χαλκίδιος, Λαέρτιος, καὶ οἱ Ἀλεξανδρεῖς Πλατωνικοὶ σχεδὸν ἅπαντες, τὸν νοῦν, καὶ τὴν ὕλην, καὶ τὰς ἰδέας συνδιαιωνίζειν φάσκοντες· καὶ πολλοὶ τῶν ὕστερον.

(2) Κλήμης ὁ Ἀλεξαν. Στρωμ. Κεφ. ιδʹ. Ἱεροκλῆς, Φιλόπονος ἐνταῦθα, καὶ ἄλλοι, καὶ πολλοὶ τῶν ὕστερον.

(3) Λόγος ιγʹ. Πρόκλου περὶ Ἀϊδιότητος Κόσμου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ τον ἐξηρῆσθαι τῶν ἀθυπορυμένων σωμάτων· καὶ μήτε πῦρ „ εἶναι, μήτε γῆν, μητέ τι τῶν μέσων, ἄλλο δέ τι παρὰ „ ταῦτα. Εἰ οὖν αἱ γενέσεις καὶ φθοραὶ τῶν ἐναντίων, ἐναν- „ τία δὲ τὰ ἐναντίας ἔχοντα κατὰ φύσιν κινήσεις, καὶ ἐν ἔ- „ νι ἐναντίον. Καὶ διὰ τοῦτο ( φησὶ ) Πλατωνικὸν ἐν Πρω- „ ταγόρᾳ ῥηθέν· τὸ οὐράνιον ἀγένητον ἂν εἴη καὶ ἄφθαρ- „ τον. Εἰ δὲ καὶ ταῦτα τοῖς μὲν μέρεσι γίγνεται, καὶ φθεί- „ ρεται, τὰ δὲ ὅλα ἀεὶ κατὰ φύσιν ἔχει, μένοντα ἐν τοῖς „ ἑαυτῶν τόποις· ἐκ δὲ τούτων ὁ Κόσμος, ἔκτε οὐρανοῦ, καὶ „ τῶν τεσσάρων· εἴη ἂν καὶ αὐτὸς ἀγένητος καὶ ἄφθαρτος. „ Τὰ γοῦν ὁπωσοῦν γινόμενα, καὶ φθειρόμενα, ἀποτελέσμα- „ τα εἰσὶ τοῦ Κόσμου, καὶ οὐ μέρη.

Διὰ πλειόνων καὶ πρὸς ταῦτα ὁ Φιλόπονος ἀπαντᾷ, καὶ ἑαυτὸν δεικνὺς, καὶ τῷ Πλάτωνι τὸν Πρόκλον ἀντιφθεγγόμενον, τοῦ Πλατωνικοῦ δόγματος, οὐκοῦν ἑτέρας τινὸς οὐσίας, ἐκ δὲ τῶν τεσσάρων στοιχείων, καὶ μάλιστα τοῦ πυρὸς, τὸν οὐρανὸν εἶναι ἐθέλοντος, ὅπερ ἐκ πολλῶν χρήσεων Ταύρου τοῦ Πλατωνικοῦ, καὶ Πορφυρίου, καὶ αὐτοῦ Πρόκλου, καὶ Πλωτίνου, κατασκευάζει. Εἶτα καὶ τὸ κύκλῳ φέρεσθαι, οὐ κατὰ φύσιν προσήκουσαν εἶναι τοῖς οὐρανίοις κίνησιν φησὶν, ἐκ δὲ τῆς ψυχῆς, ἣ ἐκεῖνα ὁ Πλάτων ἐμόρφωσεν. Εἴτε δὲ φύσει, εἴτε καὶ ἐκ τῆς ψυχῆς, οὐδεμία ἀνάγκη δι' αὐτὸ μόνον τὸ κύκλῳ φέρεσθαι, ἕτερον εἶναι τῆς τῶν στοιχείων φύσεως τὸ οὐράνιον σῶμα. Ἐπὶ τούτοις δὲ καὶ ἐξ ὧν ὁ Πλάτων, καὶ ἐξ ὧν ὁ Πρόκλος δίδωσι, γενητὸν εἶναι καὶ φθαρτὸν φύσει τὸ οὐράνιον ἀνάγκη σῶμα· τελευταῖον δὲ καὶ ψευδὲς ἀποδείξας, τὸ μὴ εἶναι τοῦ κόσμου μέρη τὰ γινόμενα καὶ φθειρόμενα, εἴγε τὸ τοῦ μέρους μέρος ἀνάγκη καὶ τοῦ ὅλου μέρος εἶναι, καὶ εἰς ἀντίφασιν πανταχόθεν περιπίπτοντα ἐλέγξας, τὸ μὴ μέρη, ἀποτελέσματα δὲ, λέγειν τὰ ὁπωσοῦν γινόμενα καὶ φθειρόμενα, καὶ δὴ καὶ Πλάτωνα τούτου παρακτησάμενος μάρτυρα, τὰ τῶν στοιχείων μέρη γεννητὰ ὄντα καὶ φθαρτὰ ἀποφαινόμενον, καὶ τοῦ ὅλου κόσμου μόρια εἶναι φάσκοντα, πέρας ἐπιφέρει, ὅτι εἰ τὰ μέρη γεννητὰ ἐστὶ, καὶ φθαρτὰ, καὶ τὸ ὅλον γεννητὸν εἶναι καὶ φθαρτὸν ἀνάγκη· καὶ διὰ τοῦτο καὶ τὰς τῶν στοιχείων ὁλότητας, καὶ τὸν ὅλον κόσμον, γεννητὸν εἶναι καὶ φθαρτὸν ἀνάγκη.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κϛ΄. Τριῶν τινων παρὰ Θεοῦ τὸ εἶναι ἔχειν, κατὰ τὴν δι-
δασκαλίαν τοῦ Πλάτωνος ὑποτιθεμένων, τῆς τε ὕλης, καὶ τῶν
ἰχνῶν, ἅπερ ἀμυδρὰ οἷόν τινα εἰσήγετο, καὶ πρόδρομα τῶν
τελείων εἰδῶν σκιαγραφήματα, καὶ αὐτῶν τῶν εἰδῶν, οὐ θέμις
λέγειν ἀλλήλων ταῦτα διακρίνεσθαι, ὡς πρῶτον μὲν τὴν ἀ-
νείδεον ὕλην ὑφίςασθαι, εἶτα ἐφεξῆς αὐτῇ τὰ ἴχνη τῶν εἰ-
δῶν ἐντίθεσθαι, καὶ τρίτον τὸ ἄτακτον κοσμεῖσθαι, καὶ τάττε-
σθαι. Εἰ οὖν (1) ἀγέννητος ἐςὶ, καὶ ἄφθαρτος ἀεὶ οὖσα ἡ
„ ὕλη, ἀεὶ εἶχε τὰ ἴχνη τῶν εἰδῶν. Ἀλλ. ἅμα τούτοις καὶ
„ ἡ τάξις. (ὕλην γὰρ ὑποςήσας διεργὸν ἐποίησεν εἰς ὑ-
„ ποδοχὴν τῶν εἰδῶν.) Ἡ τάξις ἄρα ἀγέννητος ἐςὶ καὶ ἄφ-
„ θαρτος. Καὶ τῶν τριῶν οὐδὲν πρῶτον, οὐδὲ δεύτερον, οὐδὲ
„ τρίτον· πλὴν εἰ τῇ ἐπινοίᾳ μόνον. Ὡς ἀρθείσης τῆς ἐ-
„ πινοίας ἅμα πάντα ἐςὶν, ἡ ὕλη, τὰ ἴχνη, ἡ τάξις. ἀ-
„ φ᾽ οὗ δὲ τάξις ἐςὶ, καὶ κόσμος ἐςίν· ὥς ἀγέννητος ἂν εἴη
„ καὶ ἄφθαρτος.

Κρηπίζεται δὴ τὸ τοῦ Πρόκλου ἐπιχείρημα τῇ τῆς ὕλης
ἀϊδιότητι, καὶ ἣν ἔχει ἰσχὺν, κατὰ τῶν Πλατωνικῶν ἔχει,
τῶν τὴν μὲν ὕλην ἀπ᾽ αἰῶνος ὁμολογούντων, τὴν δὲ κοσμο-
ποιΐαν ἐν χρόνῳ γενέσθαι ὑποτιθεμένων.

„ (2) ΚΖ΄. Τὸ πρὸς παράδειγμα γεγονὸς ὅμοιον ὤφειλεν
„ εἶναι τῷ παραδείγματι. Τὸ δὲ πρὸς τὸ παράδειγμα γε-
„ γονὸς ἐςὶν ὁ κόσμος· ἵνα γοῦν ᾖ, κατὰ πάντα ὅμοιος τῷ
„ παραδείγματι (καθάπερ ὁ Πλάτων φησὶν) αἰωνίῳ ὄν-
„ τι, οὔτε, ἀγέννητος ὢν, ἔχοι αὔτινα φθορὰν, οὔτε γένεσιν
„ ἔχων, ἄφθαρτος ἐςίν.

Τί δαί; εἰ αὐτοὶ ἀπαντήσομεν, ὡς αὐτὸ τὸ παράδειγμα
προαιωνίως παρέςη, ἐν χρόνῳ τὸν κόσμον ἐσόμενον; ἀμέ-
λειτοι ἐπάναγκες ἂν εἴη τὸν κόσμον γεννητόν τε, καὶ φθαρτὸν
εἶναι, ἵν᾽ ᾖ τῷ οὐσιοποιήσαντι αὐτὸν παραδείγματι σύμ-
φωνον, ὅπερ οὐ πέφυκε ψεύδεσθαι. Εἶναι δὲ συναιωνίζοντα
τὸν κόσμον, τῷ αἰωνίως προϋφεςῶτι αὐτοῦ παραδείγματι,
οὐδ᾽

---

(1) Πρόκλου Λόγ. ιδ΄. Περὶ Κόσμ. Ἀϊδιότ.
(2) Τοῦ αὐτοῦ ιε. Ὑπὲρ τῆς τοῦ Κόσμ. Ἀϊδιότ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὐδ' ὁ Πλάτων αὐτὸς (1) ἀξιοῖ. „ Τὸ μὲν γὰρ παράδειγμα „ πάντα αἰῶνα ἐςὶ, φησὶν, ὁ δ' αὖ κόσμος, διὰ τέλες τὸν „ ἅπαντα χρόνον γεγονώς τε, καὶ ὢν, καὶ ἐσόμενος. Ἀλλ' εἴπερ ἀκριβῆ καὶ τελείαν ἐν τῇ εἰκόνι ἐναπαιτεῖσθαι τὴν πρὸς τὸ ἀρχέτυπον ἐμφέρειαν ὁ Πρόκλος ὑπείληφεν, ἔσω δὴ ὁ Κόσμος κατὰ τὸ παράδειγμα τὸ ἑαυτῦ, καὶ τῆς κατὰ τὸ πρότερον καὶ ὕςερον διαδοχῆς ἀνεπίδικτος, καὶ γενέσεως καὶ φθορᾶς, καὶ παντοίας ἀλλοιώσεως καὶ κινήσεως τῶν ἐν αὐτῷ ἐλεύθερος, καὶ τῷ ἀεὶ εἶναι καὶ μή ποτε, ὡσαύτως ἀεὶ, καὶ κατὰ τὰ αὐτὰ ὤν. Ἀλλ' ὐκ ἔςι ταῦτα, ὐδὲ Πλάτωνι τῷ Καθηγεμόνι δοκεῖ, τῆς γὰρ εἰκόνος μεταξὺ καὶ τῦ παραδείγματος, „ ὡς ἐνδέχεται τὴν ὁμοιότητα σώζεσθαι, αὐτὸς ἀπεφήνατο. „ Καὶ γὰρ, χρόνος μετ' ὐρανῦ γέγονεν, ἵν' ἅμα γεννηθέντες, ἅμα καὶ λυθῶσιν, ἄν ποτε λύσις τις αὐτῶν γένηται, „ καὶ κατὰ τὸ παράδειγμα τῆς διαιωνίας φύσεως, ἵν' ὡς ὁμοιότατος αὐτῷ κατὰ δύναμιν, ᾖ. (2)

(3) ΚΗ'. Εἰ δύω βυλήσεις εἰσὶν ἐν τῷ Δημιυργῷ, μία „ μὲν, μὴ εἶναι τὸ πλημμελῶς, καὶ ἀτάκτως κινέμενον, ὡς „ αὐτὸς λέγει· βυληθεὶς γὰρ μηδὲν εἶναι κακὸν εἰς τάξιν αὐτὸ ἤγαγεν, ἐκ τῆς ἀταξίας. Ἑτέρα δὲ δεδέσθαι τὸ πᾶν· „ τῆς γὰρ ἐμῆς βυλήσεως, φησὶ, δεσμῦ τυχόντες μείζονος „ ἐκείνων, οἷς ὅτε ἐγένεσθε, συνεδεῖσθε... ἀνάγκη ἢ ἀεὶ „ εἶναι τὰς βυλήσεις, ἐν αὐτῷ ταύτας, ἢ ποτὲ ἑκατέραν, „ ἢ τὴν μὲν ἀεὶ, τὴν δὲ, ποτέ. Ἀλλὰ τὸ ποτὲ ψεῦδος. „ Τὸ γὰρ ποτὲ μὲν βύλεσθαι, ποτὲ δὲ μὴ, δῆλον ὡς ὐκ „ ἀεὶ ἐςίν... Ἔςαι γὰρ ἐν ταῖς βυλήσεσι καὶ ἀβυλησίαις „ ταύταις, τὸ πρότερον καὶ τὸ ὕςερον, καὶ τὸ ἦν καὶ ἔςαι. „ ταῦτα δὲ εἴδη χρόνυ· χρόνος δὲ ὐκ ἐν αὐτῷ, ἀλλ' ἀπ' αὐτῦ, καὶ μετ' αὐτόν... τῆς ὖν βυλήσεως αὐτῷ τῷ εἶναι „ ποιύσης ὃ βύλεται, ἀεὶ ἄρα καὶ τὸ ἄτακτον ἀφανίζεται, „ διὰ τὴν ἀεὶ τῦ μὴ εἶναι αὐτὸ βύλησιν, καὶ τὸ τεταγμένον σώζεται, διὰ τὴν τῦ εἶναι αὐτὸ βύλησιν, ἀεὶ ἑκα- „ τέ-

(1) Πλάτ. Ἐν Τιμαίῳ. (2) Αὐτόθ.
(3) Πρόκλ. Λόγ. ις'. Περὶ Ἀϊδιότ. Κόσμυ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ τέραν ἦσαν. Εἰ δὲ ἀεὶ ἑκάτερον γίνεται, οὐκ ἔσται πρότε-
„ ρον ἄτακτον, εἶτα τεταγμένον, ὡς οὐδὲ πρότερον τεταγμέ-
„ νον, εἶτα ἄτακτον. Καὶ εἰ μὴ ἐστὶ τὸ τεταγμένον πρὸ τοῦ
„ ἀτάκτου, οὐχ ἕξει τελευτὴν πρὸ τοῦ ἀτάκτου. Εἰ δὲ μήτε
„ ἤρξατο μετὰ τὸ ἄτακτον, μήτε τελευτήσει πρὸ τοῦ ἀτάκτου,
„ ἄναρχος ἐστὶ καὶ ἀτελεύτητος ἡ τάξις· καὶ αὐτὴ ἀγέννητος
„ ἐστὶ καὶ ἄφθαρτος. Ἀλλ. οὐδὲν ἄλλο ἐστὶ κόσμος, ἢ τάξις.
„ Ἄρα κτ.

Ὁμολογοῦμεν (1) ἀεὶ βούλεσθαι τὸν Θεὸν μὴ εἶναι τὸ
„ πλημμελῶς καὶ ἀτάκτως κινούμενον, ἀεί τε βούλεσθαι εἶναι
„ τὸ τεταγμένον, οὐμὴν οὐχ ἅμα τῷ εἶναι αὐτὸν, καὶ τὸ
„ τεταγμένον εἶναι βούλεται, ὡς εἶναι αὐτῷ συναΐδιον...
„ εἰ γὰρ καὶ μόνῳ τῷ βούλεσθαι ὑφίστησιν ὁ Θεὸς ἅπαντα,
„ ἀλλ᾽ ὅτε καὶ εἶναι αὐτὰ βούλεται· βούλεται δὲ, ὅτε ἀγα-
„ θὸν ἑκάστῳ τὸ εἶναι· ἀγαθὸν δὲ τὸ ὡς δύναται, καὶ πέ-
„ φυκεν ἕκαστον εἶναι· ἐπεὶ καὶ ἀεὶ βούλεται ὁ Θεὸς τὰς
„ λογικὰς οὐσίας τοῦ ἀγαθοῦ ἔχεσθαι, καὶ μηδέποτε ἀποκλί-
„ νειν ἐπὶ τὰ χείρονα... Ἀλλὰ δὴ καὶ εἶναι πάντα τὰ ἀ-
„ γαθὰ βούλεται, φλαῦρον δὲ μηδὲν κατὰ δύναμιν... Καὶ
„ μὴν ἐστὶ τὰ κακὰ, οὐκ ἄρα πᾶν ὃ βούλεται εἶναι, τοῦτο
„ εὐθὺς, ἅμα τῷ εἶναι τὸν Θεὸν, καὶ αὐτὸ ἐστίν... Καὶ
„ τῶν μερικῶν δὲ ἕκαστον βούλεται γενέσθαι καὶ εἶναι ὁ Θεός.
„ Αὐτὸς γὰρ ἐστὶ κατὰ Πλάτωνα ὁ τοῖς οὐρανίοις ἐν Τιμαίῳ
„ παρακελευόμενος, τρέπεσθαι ἐπὶ τὴν τῶν θνητῶν ζώων
„ δημιουργίαν, ἀλλὰ δηλονότι ὅτε δεῖ, καὶ πέφυκεν ἕκαστον
„ τῶν μερικῶν γίνεσθαι, τότε καὶ εἶναι αὐτὰ βούλεται· οὐ γὰρ
„ ὁ Σωκράτης πρὶν Σωφρονίσκον γενέσθαι, ἐπεφύκει γενέ-
„ σθαι. Ἀλλὰ καὶ πρὶν γενέσθαι Σωφρονίσκον ἐβούλετο ὁ Θεὸς
„ Σωκράτην γενέσθαι. Ἀλλ᾽ οὐχ ἁπλῶς γενέσθαι, ἢ ἀεὶ γε-
„ νέσθαι· ἀλλ᾽ ὅτε γενέσθαι ἠδύνατο. Οὕτως οὖν καὶ πρὶν τὸ
„ τεταγμένον γενέσθαι ἐβούλετο εἶναι τὸ τεταγμένον· ἀλλ᾽ ὅτε
„ εἶναι ἠδύνατο, γεννητόν γε ὄν· οὐδὲν δὲ τῶν γεννητῶν ἄναρ-
„ χον εἶναι δύναται. Οὐκ ἄρα καὶ ἀεὶ ἐβούλετο ὁ Θεὸς εἶ-

„ ναι

(1) Φιλόπ. πρὸς ταῦτα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ ναι τὸ τεταγμένον, ἤδη καὶ ἀΐδιον αὐτὸ εἶναι ἀνάγκη. Μία „ γάρ ἐστιν ἐν τῷ Θεῷ καὶ ἁπλῆ ἡ τοῦ ἀγαθοῦ βούλησις, ἧς „ τῶν ὄντων ἕκαστον μετέχει πάντως, ὡς πέφυκεν.... καὶ „ ὥσπερ ἡ τοῦ Θεοῦ πρόνοια τῷ πλήθει τῶν προνοουμένων οὐ „ συμπληθύνεται, οὐδὲ μὴν ἡ γνῶσις μέχρι τῶν ἀτομωτά- „ των διήκουσα, οὔτε τῇ ποικιλίᾳ τῶν ὄντων, οὔτε τῷ μεριστῷ „ τῆς οὐσίας αὐτῶν, συμποικίλλεταί τε, καὶ συνδιΐσταται, ἀλ- „ λὰ τὰ μεριστὰ ἀμερῶς, καὶ τὰ ποικίλα ἑνοειδῶς γινώ- „ σκει, καὶ τὰ ἐν χρόνῳ ἀχρόνως, οὕτω δὴ καὶ ἡ περὶ τοῦ εἶ- „ ναι πάντα τοῦ Θεοῦ βούλησις, οὐ τῇ διαστάσει τοῦ χρόνου τῶν „ εἰς τὸ εἶναι παραγομένων συνδιΐσταται. οὐ γὰρ ἐπειδὴ „ ἄλλο ἐν ἄλλῳ χρόνῳ γίνεταί τε καὶ ἔστιν, καὶ ἡ τοῦ εἶναι „ αὐτοῦ βούλησις, ἄλλη ἐν ἄλλῳ χρόνῳ γίνεται. Ἀλλ' ὡς „ τὸ μέλλον οἶδεν ἀεὶ, καὶ πάρεστιν αὐτοῦ τῇ προγνώσει τὸ „ μήπω ὂν, οὕτω δήπου, καὶ τὸ εἶναι τὸ μέλλον βούλησιν ἀεὶ „ ἔχει· εἰ δὲ ἡ τοῦ μέλλοντος ἐν τῷ Θεῷ νόησις ἀεὶ ἐστὶ, „ καὶ οὐκ ἔχει τὸ ποτὲ, οὐδὲ ἡ τοῦ εἶναι ἄρα τὸ μέλλον βού- „ λησις τὸ ποτὲ ἕξει· ὥστε οὐδὲ μία ἀνάγκη διὰ τὸ ἀεὶ βού- „ λεσθαι τὸν Θεὸν εἶναι τὸ τεταγμένον, ἤδη καὶ αὐτὸ εἶναι ἀΐ- „ διον.

(1) ΚΘ΄. Πᾶν τὸ γεννητὸν καὶ φθαρτόν. Καὶ πᾶν το ἀγέν- „ νητον καὶ ἄφθαρτον, ὧν τὸ μὲν ὁ Πλάτων, ἐν Πολιτείᾳ „ λέγει, τὸ δὲ ἐν Φαίδρῳ.... Ἐξ ἀνάγκης οὖν, εἰ ἄφθαρ- „ τον τὸ πᾶν ἐστὶν (τῶν γὰρ ἀθανάτων φησὶν αὐτὸς δη- „ μιουργός. Τὸ δὲ ἀθάνατον ἀνώλεθρον, ὡς ἐν Φαίδωνι λέ- „ γεται.) καὶ ἀγέννητον· ὥστε καὶ ἀΐδιον.

(2) Τῷ κατὰ φύσιν ἀφθάρτῳ, καὶ οὐχὶ τῷ ἐπίκτητον τὴν „ ἀφθαρσίαν ἔχοντι παρέπεται τὸ εἶναι ἀγέννητον. Τῷ δὲ κόσμῳ κἂν συγχωρήσωμεν ἄφθαρτον εἶναι, ἡ ἀφθαρσία ἐπισκευαστὴ κατὰ Πλάτωνα, καὶ ἐκ θείας βουλήσεως. Ὅσον „ γοῦν ἐκ τῆς Πλάτωνος λέξεως, ἔδει μᾶλλον ἐκ τοῦ γεννητὸν „ λέγεσθαι τὸν κόσμον, συλλογίζεσθαι ὅτι οὐκ ἄφθαρτος, „ ἀλ-

(1) Πρόκλ. Λόγ. ιζ΄. Περὶ Ἀϊδιότ. Κόσμου.
(2) Φιλόπον. πρὸς ταῦτα.

„ ἀλλὰ φθαρτὸς, ἢ ἐκ τοῦ λέγειν μὴ φθείρεσθαι αὐτὸν τὸ „ μηδὲ γεγονέναι συνάγειν. Ὁ μὲν τοι Πλάτων σύμφωνος „ ἑαυτῷ, καὶ τὸ γεννητὸν πᾶν φθαρτὸν εἶναι λέγων, καὶ διὰ „ τοῦτο καὶ τὸν κόσμον, ἐπεὶ γεννητὸς ἐστὶ, καὶ φθαρτὸν εἶναι. Καὶ τὴν ἀθανασίαν αὐτοῦ οὐκ ἀπὸ φύσεως, ἀλλ' ἀπὸ τῆς βουλήσεως τοῦ Θεοῦ καταδούμενος. Ταῦτα δὲ οὕτω λέγειν ἡμᾶς „ τὴν Πλάτωνος διάνοιαν ἐξηγουμένους ἀνάγκη, εἰ μὴ τῷ ὄν- „ τι εἰς ἀντίφασιν περιάγειν τὸν Πλάτωνα βουλοίμεθα. „ Ἔφθη γὰρ εἰπὼν ἀθάνατοι μὲν οὐκ ἐστὲ, οὐδ' ἄλυτοι „ πάμπαν. Πῶς οὖν ἐγχωρεῖ λέγειν τοὺς αὐτοὺς, καὶ ἀθανά- „ τους εἶναι, καὶ οὐκ ἀθανάτους, καὶ λυτοὺς, καὶ οὐ λυτοὺς, εἰμὴ „ τὸ μὲν τῇ φύσει, τὸ δὲ τῇ τοῦ Θεοῦ βουλήσει παρέξομεν;

(1) Δ'. Τῷ Δημιουργῷ τὸ κατὰ τὰ αὐτὰ, καὶ ὡσαύτως ἔ- „ χειν προσήκει ἀεὶ, μηδέποτε δὲ ἄλλο τε ἄλλως· ὥστε μη- „ δέποτε μὴ ποιεῖν, εἶτα ποιεῖν, μηδέποτε ποιεῖν, εἶτα „ μὴ ποιεῖν· οὕτω δὲ ἔχοντι, ἢ ἀεὶ ποιεῖν, ἢ ἀεὶ μὴ „ ποιεῖν ἀναγκαῖον. Ἀλλαμὴν τὸ ἀεὶ μὴ ποιεῖν δημιουργὸν „ ὄντα, τὸν δημιουργὸν ἀμήχανον· τὸ ἀεὶ ἄρα δημιουργεῖν „ ἀναγκαῖον· ὥστε καὶ ἀεὶ δημιουργούμενος ὁ κόσμος ἐστὶν αἰώ- „ νιος.... Καὶ γὰρ οὕτως ἂν ἔχοι μίμημα τῆς τοῦ αἰῶνος „ ἀϊδιότητος, ὁ κόσμος, καὶ σύμφωνος ἂν εἴη τῷ παραδείγ- „ ματι.

Ταυτολογεῖ ἐν τούτοις ὁ Πρόκλος, τὰ προτεθέντα ἀνωτέρω περιττῶς λίαν ἐπανακυκλῶν· διὸ οὐδὲ δευτέρων ἡμῖν δεήσει λόγων, ἀποχρήσει δὲ ἅττα ἐν Ἀριθμοῖς Ις'. Κ'. καὶ ΚΖ'. φθάσαντες πρὸς αὐτὰ ἀπηντήκαμεν. Ἀλλ' ἄξιον ἂν εἴη, καὶ τὰ τοῦ Ἀβερρόου περὶ ἀϊδιότητος τοῦ κόσμου ἐπιχειρήματα τοῖς ἀνωτέρω παρασυνάψαι, καὶ τούτων τὰς ἀπαντήσεις παραθέσθαι, ἵν' ὅσον τὸ κράτος τῆς ἀληθείας, καὶ ὑπὸ πλειόνων πολεμουμένης, μᾶλλον καταφανὲς ᾖ.

„ ΛΑ'. Ἐξ ἀνάγκης φησὶ τὸ κενὸν συγχωρητέον, εἰ ὁ „ κόσμος ἀρχὴν εἰλήφει τοῦ εἶναι· ὅπου γὰρ νῦν ἐστὶ, πρὶν „ ἢ γένηται, κενὸν ἦν.

Πρὸς

(1) Πρόκλου Λόγ. ιη'. Περὶ Ἀϊδιότ. Κόσμου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πρὸς τούτοις τῶν Ἱσπανῶν Φιλοσόφων, (1) τοῦ περιπατητικοῦ δόγματος ἀπρὶξ ἐχόμενος, μὴ καθ' αὐτὸν ἐν τόπῳ τὸν κόσμον ὄντα, ἀλλ' ἢ κατὰ τὰ μέρη, μηδὲ τόπου καθ' αὐτὸν δεηθῆναι, φθάσας ἀπλώτηκεν, ἀτόπῳ ἄτοπον ἐκκρούσασθαι ἐπιχειρήσας. Αὐτοὶ δὲ τὸ περὶ τοῦ κενοῦ ἐν τοῖς ἑξῆς ὑπερτιθέμενοι, τοσοῦτον εἰς ἐπίλυσιν τῆς ἀπορίας, ἤδη φαμὲν, ὡς κενόν τινα τὸν ἐκ τοῦ κενοῦ φόβον ὀῤῥωδήσας ὁ Ἄραψ, ἐν ὑποκενῷ τῷ ὄντι θεμελίῳ τὴν τοῦ κόσμου ἀϊδιότητα ἐπήξατο. Εἰ γὰρ τὸ κενὸν διάστημα εἶναι θείη παντὸς σώματος ἄμοιρον, οὐδὲ πρὸ τοῦ κόσμου τὸ κενὸν ἕξει, ὡς οὐδὲ διάστημα ἦν· οὐδὲ γὰρ ἦν τότε τὰ διεστῶτα, οἷς αὖτι ἐναπολειφθείη διάστημα. Εἰ δὲ παντελῆ ἀπουσίαν ὁρίσηται αὐτὸ τῆς σωματικῆς φύσεως, οὐ μόνον οὐδὲν ἄτοπον μὴ ὄντος τοῦ κόσμου ἀπεῖναι τὰ σώματα, ἀλλὰ καὶ ἀναγκαῖον.

„ ΛΒ΄. Οἱ ἐν χρόνῳ τὸν Κόσμον δημιουργοῦντες, οὐδὲ τὴν „ δημιουργὸν καὶ ἀναλλοίωτον φύσιν κατασκευάσαι ἔχουσιν ὅ„ τι ἀπ' αἰῶνος ἐστὶ, καὶ πρὸ τοῦ Κόσμου σῶμα ἕτερον εἶ„ ναι ὑφεστὼς ἀναγκάζονται ὁμολογεῖν. Τὸ μὲν, ὅτι ἀπὸ „ τοῦ ἀεὶ ὄντος, οὐκ ἂν γένοιτο τὸ ποτὲ, τὸ δὲ, ὅτι ἀπὸ τοῦ „ ἀσωμάτου, οὐκ ἂν ἀλλοιωθείη εἰς γένεσιν τὸ σωματικόν.

Τοὐναντίον μὲν οὖν οἱ αἰώνιον εἶναι τὸν κόσμον εἰσηγούμενοι, Θεὸν ἄντικρυς αὐτὸν ἀποφαίνοντες, τὸν ἐκ τῆς δημιουργίας λόγον οὐκ ἔχουσι, κράτιστον ὄντα, εἰς ἀπόδειξιν τῆς τοῦ δημιουργοῦ ὑπάρξεως· ἡμεῖς δὲ ἐκ τῆς τῶν ὁρωμένων ὑποστάσεως τὸ πανσθενὲς τοῦ Θεοῦ γεραίρομεν, καὶ ἀπειράγαθον, καὶ ἐκ τῆς καλλονῆς τε καὶ τάξεως, τὸ προνοητικὸν καὶ ἀπειροτέλειον. Οὐδ' ἐκ τοῦ ποτὲ καὶ ἐν χρόνῳ δημιουργεῖν ἀλλοίωσίν τινα τῷ ἀναλλοιώτῳ προστρίβομεν, ἐν ἀτρέπτῳ δυνάμει, καὶ προαιωνίῳ τῷ νεύματι, κοσμοποιεῖν βουλομένῳ, ὥστε, καὶ ὅτε κάλλιον αὐτῷ ἔδοξε, καὶ τῇ φύσει τῶν γινομένων προσῆκον. Παραγομένου δὲ καθ' ἡμᾶς τοῦ κόσμου νεύματι παντουργικῷ ἐκ τοῦ μηδενὸς ἁπλῶς, οὐδὲ ἀλλοιώσεως χρεία τι-

(1) Βενέδικτος Περέειος ἐν ιε΄. Περὶ Ἀρχ. Παρὰ Γενουώσ. Μεταφ. Μέρ. Γ΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τινὸς, ἣν ἂν ποιήσειεν σῶμα ἕτερον μεσολαβῆσαν, εἰς τὴν τοῦ παραγομένου γένεσιν. Ἔνθα γὰρ ἐκ τοῦ μηδενὸς ἡ ὑπόστασις οὔτε τι τὸ ἀλλοιωθησόμενον ὕπεστιν, οὔτε τι τὸ ἀλλοιῶσον εὐλόγως εἰσάγεται.

„ ΛΓ. Οἱ λέγοντες τὸ α. αἴτιον δύνασθαι ἐκ μηδενός τι
„ ποιεῖν, τὰ ἑαυτοῖς μαχόμενα λέγουσι· πῶς γὰρ, ἤτοι
„ περὶ τὸ μηδὲν ἀναστρέφεσθαι, ἢ πρὸς τὸ μηδὲν περατοῦ-
„ σθαι ἐνέργειά τις ὅλως δυνήσεται; ἢ πῶς ἂν εἴη τὸ ἐνερ-
„ γοῦν ἄνευ τοῦ πάσχοντος; ταῦτα γὰρ τῶν πρὸς ἄλληλα ὄντα,
„ καὶ ἅμα τῇ φύσει ἂν εἴη.

Ἀμέλει τοι τοῦτο ἐστὶν ἐκ τῶν αἰσθήσει ὑποπιπτόντων κρίνειν ἐθέλειν τὰ ὑπὲρ αἴσθησιν. Ταῦτα ἐπὶ μυρίων αὖτις ἴδοι γινόμενα τὰ ἀπορήματα, τοῦ φανταστικοῦ τῆς ψυχῆς, τοῖς τῶν νοημάτων καθαρωτέροις ἀεί τοι προσισταμένου, καὶ τοῖς οἷς περ αὐτὸ εἰδοποιεῖται ὑπὸ τῶν σωμάτων, ἴχνη ζητοῦντος ἐν ἅπασι παραπλήσια· πῶς γὰρ ἂν τὸ ἀσώματον ἐν σώματι ἐνεργήσειε; πῶς δ' ἂν ὑπὸ τοῦ ἀσωμάτου τὸ σῶμα πάθοι; πῶς δὲ καὶ ἀλλήλοις ἐπιβάλλει τὰ πάντῃ ἀσώματα; πῶς δ' ἂν καὶ εἴη; ποῦ δ' ἂν καὶ σταίη, μὴ ἐκτάσεως ἐν τούτοις χώραν ἐχούσης, μὴ κινήσεως, μὴ θίξεως; ἀμήχανον φαντασθῆναι. Ἀλλ' ὁ λόγος ἐπὶ τῶν τοιούτων τάς τε κατ' αἴσθησιν, καὶ τὸ φανταστικὸν ἀντιλήψεις παραιτησάμενος, καὶ ἐν ἑαυτῷ ὅλος γινόμενος, ἐξ ὧν ἔχει σπερμάτων ἀληθείας φύσει ἐγκειμένων, κρίνει τὰ δέοντα. Ὅρα καὶ γὰρ, πᾶσαν τὴν περὶ ἡμᾶς φύσιν ῥοπῇ τε καὶ ἀλλοιώσει διηνεκῶς κινουμένην καὶ μεταβάλλουσαν, καὶ αὐτὴ ἡ αἴσθησις μέγα κράζουσα μαρτυρεῖ· καὶ οὐδὲν τῶν ἐν τῷ παντὶ νοήσει ὑποπίπτον ἐν παντελεῖ τῇ ἀτρεψίᾳ τὸ εἶναι ἔχον γνωρίζεται. Ἐκ γὰρ μερῶν συγκροτούμενα τίς ἡ ἀνάγκη τοῦ μὴ καὶ εἰς μέρη λύεσθαι πεφυκέναι; ἢ μὴ ἐκ πλειόνων συγκεῖσθαι ἔχειν, ἢ μὴ ἐξ ἐλασσόνων; ἢ μὴ ἐξ ἄλλως κειμένων; ἢ μὴ ἐξ ἠρεμούντων τὰ κινούμενα; ἢ μὴ ἐκ κινουμένων τὰ ἠρεμοῦντα; σχημάτων δὲ εὐμοιροῦντα, τί τὸ ἀναγκάζον, ὅσον ἐπὶ τῇ σωματικῇ φύσει, τὸ τοιάνδε, καὶ μὴ τοιάνδε, τὴν ἐκ τῶν ἐπιφανειῶν ἔχειν ἀποπεράτωσιν; θέσιν δὲ λαχόντα, ἄλλα ἄλλην, καὶ τάξιν πρὸς ἄλληλα, καὶ ἀποστάσεις τὰς ἀπ' ἀλλήλων, τίς ὁ τῆς ἀντιφάσεως λόγος, τοῦ μὴ ἑτεροπαγῶς ἁρμοσθῆναι ἔχειν, ἢ

ἐγγυ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐγγυτέρω γίνεσθαι; ἢ ἀπωτέρω; Ἀπόχρη ταῦτα. Εἰ γοῦν οὐσιωδῶς οὕτω τοῖς ἐξ ὧν ὁ κόσμος συνηρμολόγηται σώμασι μικροῖς τε καὶ μείζοσι τὸ μεταβλητὰ εἶναι ἔνεστιν ἐμφαινόμενον, πῶς ἀναγκαῖον αὐτοῖς ἔσται τὸ εἶναι, τοῖς εἶναι, ἢ μὴ εἶναι οὕτω κατ' οὐσίαν τὴν ἐν αὐτοῖς δυναμένοις; Πῶς δ' οὐχ ἕξει ἔξωθεν αὐτὰ ἐπισκευαστόν τε καὶ ἐπακτὸν τὸ εἶναι, μὴ οἴκοθεν, ὑφ' ἑτέρου δέ, οὕτως ἔχειν, ἢ ἄλλως ὁροθετούμενα, καὶ ἀναγκαζόμενα; ἔχοντα δὲ ὑφ' ἑτέρου, μᾶλλον δὲ λαβόντα τὸ εἶναι πῶς ἂν εἴη αἰώνια, κἀκείνῳ τῷ ὑφ' οὗ ἔχουσι συναϊδιάζοντα; Ὁ μὲν οὖν λόγος ἐξ αὐτῆς αὐτῶν τῆς οὐσίας καὶ φύσεως, ἐπὶ τὴν ὑφ' ἑτέρου χορηγηθεῖσαν ὑπόστασιν τῶν ὄντων χειραγωγεῖ. Ἀλλ' ἡ κατὰ φαντασίαν κρίσις, ἐξ ὕλης ὑποκειμένης εἰωθυῖα τὰς κατὰ μέρος ἀεὶ ἐν τῇ φύσει γενέσεις ἰνδάλλεσθαι, τὸ ἐκ μηδενὸς οὐ συνίησιν. Ἔστω. Ἀλλ' ἡ φαντασία γνώμων τις ἐστὶν ἐπὶ τῶν οὕτως ἐχόντων οὐκ ἀστραβής, οὐδὲ δόκιμος. Πῶς γὰρ ὅ,τε ἐκ τοῦ νοῦ ἐνδιάθετος λόγος, μὴ πρότερον ὢν γίνεται, πῶς δὲ ἐκ μὴ ὄντος, καὶ τὸ τῆς βουλήσεως ὅρμημα; πότερον ὡς μέρη ὅλου ἀποτεμνόμενα, ὡς ἐκ σπερμάτων αὔξη φυόμενα, ὡς ἐξ ἁπλουστέρων σύνθετα μιγνύμενα; οὐδεὶς ἂν εἴποι. πῶς οὖν; ὡς ἐνέργειαι ἐκ δυνάμεων. Τί δαί; ἐνῆσαν τῇ δυνάμει αἱ ἐνέργειαι ὑπολανθάνουσαι, εἶτ' ἐξέκυψαν; καὶ πῶς; ἐμοὶ γὰρ οὐδὲ ταῦτα ξυνετὰ πῶς μὴ ὄντα γίνεται, ἀλλ' οὐ παρὰ τοῦτο, τὸ ὑφ' ἑτέρου εἶναι αὐτὰ ἀπαναίνομαι. Εἰ δὲ ταῦτα οὐκ οὐσίαι, ὡς τὰ ὑπὸ τοῦ Δημιουργοῦ οὐσιοποιούμενα, προσεκτέον γε μὴν ἂν εἴη καὶ τῇ ἐκείνου ἀπειρίᾳ· εὑρεθήσεται γὰρ πλέον ἢ τῆς αὐθυποστάτου οὐσίας, ἡ ἐνυπόστατος ἐνέργεια, τῆς ἀπείρου, ἡ πεπερασμένη ἀπέχουσα δύναμις. Ὥστε εἰ μὴ οὖσα ἡ ἐνέργεια ἐκ πεπερασμένης δυνάμεως γίνεται μὴ οὖσα καὶ ἡ κτιστὴ οὐσία ἐκ δυνάμεως ἀπείρου πολλῷ μᾶλλον γένοιτο ἄν, μηδέ μοι ἐκεῖνο, ὅτι περὶ τὸ μὴ ὂν οὐκ ἀναστραφείη ἐνέργεια, οὐδὲ πρὸς τὸ μὴ ὂν ἂν περατωθείη. τοὔμπαλιν γὰρ μηδεμίαν ἐνέργειαν ποιητικῶς περὶ τὸ πρὸ αὐτῆς ὂν ἀναστρέφεσθαί τε καὶ περατοῦσθαι εὐτόνως διατειναίμην ἄν. οὐδὲν γὰρ ποιητικὸν ποιεῖ ὅπερ ἐστίν· ὂν γὰρ οὐ γίνεται. Καὶ αἱ μὲν τῶν κατὰ φύσιν δυνάμεων ἐνέργειαι, ποιοῦσι μὲν τὰ μὴ ὄντα καὶ αὐταί, οὐ μὴν δὲ καὶ τὰ ἀφ' ἑαυτῶν ὑποστατά, τὰ δ' ἐν ἄλλοις

σύ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐνυπάρχοντα πεπερασμέναι τε οὖσαι, καὶ τοῦ ὑποδεξομένου αὐτὰς, ὡς ἐρείσματος χρήζουσαι, οὐ γὰρ οὐδ᾽ αὐταὶ ποιοῦσι τὴν ὕλην ὑποῦσαν, τὸ δ᾽ ἐν αὐτῇ πρότερον μὴ ὂν, μηδὲ καθ᾽ αὐτὸ ὄν. Ἡ δὲ τοῦ ἀπείρου δημιουργοῦ, καὶ τὴν ὕλην αὐτὴν παράγει μὴ οὖσαν, καὶ ἁπλῶς ὑφίστησιν οὐκ ἐξ ὕλης ὡς οὐδὲ ὕλης πρὸς τὸ εἶναι χρήζουσαν. Ταύτῃ τοι καὶ πάσχον ἐστὶν ἐπὶ τῆς κατὰ δημιουργίαν ἐνεργείας αὐτὸ τὸ γινόμενον οὐ κατά τι εἰδοποιούμενον, ἀλλ᾽ ἁπλῶς οὐσιοποιούμενον. (Ὅρα καὶ τὰ εἰρημένα ἐν Ἀριθ. ΚΔ΄.)

,, ΛΔ΄. Οἱ νεουργοῦντες τόγε ἐπ᾽ αὐτοῖς, τὸν Κόσμον, ἐξοπλῶ τῇ ἀναλλοιώτῳ τοῦ Θεοῦ φύσει εἰσάγουσιν, οὐκ ἀεὶ
,, ὡσαύτως ἐχούσῃ, ἄλλως δὲ ἀπ᾽ αἰῶνος, καὶ ἄλλως ὅτε τὸν
,, κόσμον ἐδημιούργει.

Μίαν καὶ τὴν αὐτὴν ἀεὶ ἐν τῷ Θεῷ προαιωνίαν βούλησιν, καὶ δύναμιν, τοῦ ἐν χρόνῳ δημιουργῆσαι, τὸ οὔπω πεφυκὸς εἶναι λέγοντες, οὐδεμίαν ἐξοπλὴν τῷ κατὰ τὴν ἐν αὐτῷ θέλησιν, τὰ ἐκτὸς αὐτοῦ ποιοῦντι, ἐπάγουσιν. (ὅρα τὰ ἐν Ἀριθ. ΚΗ΄.

,, ΛΕ΄. Ὃν ἔχει λόγον ἡ κατὰ τὸ πρότερον βούλησις πρὸς
,, τὴν κατὰ τὸ πρότερον ἐνέργειαν, τὸν αὐτὸν δήπου καὶ πρὸς
,, τὴν κατὰ τὸ ὕστερον ἐνέργειαν, ἡ κατὰ τὸ ὕστερον βούλησις ἔχει.
,, Καὶ μεταθέσει ἄρα, ὡς ἡ κατὰ τὸ πρότερον βούλησις πρὸς
,, τὴν κατὰ τὸ ὕστερον ἐνέργειαν, οὕτως ἡ κατὰ τὸ ὕστερον βού-
,, λησις, πρὸς τὴν κατὰ τὸ πρότερον ἐνέργειαν· καὶ ἀνάπα-
,, λιν. Ἀλλ. ἀπὸ τῆς κατὰ τὸ ὕστερον βουλήσεως, ἐνέργειαν
,, τὴν κατὰ τὸ πρότερον προελθεῖν ἀδύνατον. Καὶ ἐκ τῆς
,, κατὰ τὸ πρότερον ἄρα βουλήσεως, ἐνέργειαν προελθεῖν κα-
,, τὰ τὸ ὕστερον τῶν ἀδυνάτων.

Σοφίζεται προδήλως ὁ Ἄραψ τὸ κατὰ τὸ πρότερον καὶ ὕστερον τοῦ χρόνου ἐπὶ τῶν βουλητῶν, καὶ ἐπὶ τῶν βουλήσεων ἀνάλογον εἶναι ὑποτιθέμενος· τοῦτο δὲ ἐπὶ μὲν τῶν ἀναγκαίων αἰτίων καὶ αἰτιατῶν ἀληθεῦον, ἐπὶ τῶν ἐλευθέρως ἐνεργούντων, καὶ πάνυ ἐστὶ ψευδόμενον· τῇ γὰρ ἐνεργείᾳ ἐπὶ τούτων, καὶ ὁ χρόνος συνάμα ἐστὶ βουλητὸν, καθ᾽ ὃν ἐκτελεσθήσεται ἡ ἐνέργεια. Καὶ πολλῶν μὲν τὰς διαπράξεις εἰς τὸ ὕστερον ὑπερτιθέμεθα, πολλὰ δὲ φθάνοντες διαπραττόμεθα, ἅπερ ὕστερον ἐνεθυμήθημέν τε καὶ ἠβουλήθημεν· οὐδὲ γὰρ ἐλέγχει ἀεὶ τὸ νεαρὸν τῆς ἐνεργείας, καὶ τὸ πρόσφατον τῆς βουλή-

σεως·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σεως· εἴγε τοὐναντίον ἐπὶ τῶν ἕνεκά του ποιούντων, πρῶτον βουλητὸν ἐστὶ τὸ τέλος, ἔσχατον δὲ διαπρακτόν. Καὶ ὕστερον μὲν βουλητὰ τὰ πρὸς τὸ τέλος, πρῶτον δὲ εἰς ἔργον ἀγόμενα. Εἰ οὖν ταῦτα, πῶς οὐκ ἄλογον τὴν ἐκ προτέρας βουλήσεως ἐνέργειαν ἀδύνατον ἀποφαίνεσθαι, ἵν' ἐντεῦθεν προαιωνίου τῆς ἐν τῷ Θεῷ βουλήσεως τοῦ κοσμοποιεῖν ὁμολογουμένης, ἡ ἐν χρόνῳ δημιουργία ἀπελεγχθῇ ὡς ἄρα ἀδύνατος; Κἀκεῖνο δὲ εἰς ἀτοπίαν οὐδὲν ἔλαττον, τὸ ἐκ τοῦ μὴ πεφυκέναι ἐξ ὑστέρας βουλήσεως προτέραν ἐνέργειαν τελεῖσθαι, μηδὲ ἐκ προτέρας βουλήσεως συνάγειν, ἠρτῆσθαι ὑστέραν ἐνέργειαν· ἤτοι γὰρ περὶ ἐνεργείας θελητικῆς ὁ λόγος, ἢ περὶ ἀθελήτου. Ἀλλ' εἰ μὲν περὶ ἀθελήτου, φανερὸν ὅτι πᾶσα ἐνέργεια ἀθέλητος οὖσα, ἐστὶ πρὸ θελήσεως. Εἰ δὲ περὶ θελητικῆς, πῶς ἂν γένοιτο πρὸ τῆς θελήσεως; τοὐναντίον δὲ, βουλήσεως ἀεὶ ἡγησαμένης, ἡ κατ' αὐτὴν ἐνέργεια περαίνεται· ὥστε τίς ὁ λόγος τοῦ τὴν ὑστέραν τῆς βουλήσεως ἐνέργειαν ἀδύνατον φάσκειν, παρὰ τὸ τὴν προτέραν εἶναι ἀδύνατον· τοῦτο γὰρ ἐστὶ κατὰ λόγον, ἐκεῖνο δὲ οὔ.

„ Λϛ'. Εἰ ἀπ' αἰῶνος βουλόμενος ἐν χρόνῳ ὁ δημιουργὸς
„ κοσμοποιεῖ, ἢ κωλύματός τινος προσισταμένου, ἢ χρειώδους
„ τινὸς ἐλλείποντος τὴν κοσμοποιΐαν ἐπὶ τοσοῦτον ἀνεβάλ-
„ λετο. Καὶ ἦν ἄρα ἐπάναγκες, ἤτοι τὸ χρειῶδες παρεῖ-
„ ναι, ἢ ἀπεῖναι τὸ ἐμποδών. Κινήσεως δ' ἄνευ οὐδέτερον
„ τούτων γένοιτο ἄν· ὥστε καὶ πρὸ τοῦ κινουμένου ἦν τὸ κινούμε-
„ νον. Ἀλλὰ καὶ εἰ μηδὲν ἄλλο, τόγε τὸν ἅπαντα αἰῶνα,
„ τὴν δημιουργίαν ὑπερτιθέμενον τὸ νῦν ἐκεῖνο περιμένειν,
„ καθ' ὃ δημιουργῆσαι προέθετο, τίποτε ἄλλο, ἢ χρόνον καὶ
„ πρὸ τοῦ χρόνου αὐτοῦ ὑποτίθησιν;

Οὐδὲν ἂν γένοιτο ἐμποδὼν, οὐδ' ἐλλεῖπον τῷ παντοδυνάμῳ Θεῷ. Καὶ λῆρος ἀτεχνῶς ἀράβειος ταῦτα, ὡς εἰ περὶ τέκτονος τινὸς, ἢ χυτρέως ἐλέγετο. Καίτοι καὶ χυτρεὺς, καὶ τῶν πρὸς τὸ ἔργον οὐδενὸς ἀπολειπόμενος, καὶ οὐδ' ὑπὸ κωλύματος τινὸς ἀπειργόμενος, ἔχοι ἂν τῆς χυτροποιΐας ἀπέχεσθαι, ἐθελήσας, μηδενὸς ἀναγκάζοντος. Περὶ δὲ τῆς ἄχρι τῆς δημιουργίας ἐξ αἰῶνος παρατάσεως, ὅτι χρόνος οὐκ ἦν, φανερὸν τοῖς διαφορὰν χρόνου τε καὶ αἰῶνος εἰδόσιν. Ἀλλ' ὅρα τὰ εἰρημένα ἐν Ἀριθμ. Γ'. Δ'.

„ ΛΖ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ ΛΖʹ. Ἤτοι πρὸ τοῦ Κόσμου χρόνος ἦν, ἀλλὰ πῶς ἐνδέχεται, τοῦ ἐν χρόνῳ μὴ ὄντος; ἢ ὁ χρόνος συνάμα τῷ κόσμῳ ἔσχε τὴν γένεσιν· καὶ ὅτε ἄρα ἐγίνετο χρόνος ἦν, ὥστε καὶ πρὸ τοῦ χρόνου χρόνος.

Συνυπόστη μὲν ὁ χρόνος τῷ κόσμῳ, ἐν ἀκαρεῖ δὲ ὅτε Κόσμος ἐν χρόνῳ, καὶ ὁ χρόνος τῷ κόσμῳ τὸ εἶναι ἔσχε μὴ πεφυκὸς εἶναι θάτερον παρὰ θάτερον. Ἀλλ᾽ ὅρα Ἀριθμ. Γʹ.

„ ΛΗʹ. Τὸ βουλόμενον ποιῆσαι, καὶ δυνάμενον, οὐ ποιεῖ, ἢ διὰ τὸ προσιστάμενον, ἢ ὅτι τὸ μὴ ποιῆσαι ἄμεινον εἶναι κρίνει. Ἀλλὰ γὰρ πρὸ τοῦ κόσμου οὐδὲν ἂν ἐμποδὼν γένοιτο, οὐδὲ τὸ μηδὲν εἶναι, ἄμεινον ἢ τὸ εἶναι. Εἶτα καὶ οὐδὲ εἰκὸς τὸν ἄπειρον πρὸ τοῦ χρόνον λέγειν ὡς ὁ Θεὸς τὸ μηδὲν προείλετο. Καὶ ἐπὶ πᾶσι τῆς στερήσεως φύσει ἡγεῖται ἡ ἕξις.

Τῷ θελήματι τοῦ δημιουργοῦ οὐδὲν ἀνθέστηκεν, ἀλλ᾽ ἐν χρόνῳ ἐβουλήθη παραγαγεῖν, τὸ πᾶν, μὴ πεφυκὸς ἀφ᾽ ἑαυτοῦ εἶναι, οὐδ᾽ ἀπ᾽ αἰῶνος· οὔκουν ἄρα τὸ μηδὲν προείλετο, ἀλλὰ τὸ καθ᾽ αὑτὸ μηδὲν ὂν, εἰς τὸ εἶναι καλέσαι, ἅτε ἀγαθὸς ὢν, προέθετο. Τὸ δ᾽ ἔσχατον ὃ προσίθεται περὶ τῆς στερήσεως, ὅτι φύσει αὐτῆς ἡγεῖται ἡ ἕξις, πῶς λέγεται; Εἰ γὰρ ὡς τιμιώτερον, δώσομεν, καὶ οὐδὲν ἐκ τούτου κατὰ τῆς ἀληθείας ἐπενεχθήσεται. Εἰ δ᾽ ὡς τῷ χρόνῳ, τοὐναντίον μάλιστα ἀεὶ προτέρα ἡ στέρησις· γίνεται γὰρ ὃ οὐκ ἦν. τὸ δὲ ὂν πῶς ἂν γένοιτο, ἥπερ ἐστί; κατὰ γὰρ τὸ συνεισάγεσθαι τοσοῦτό γε δεῖ, ὅσῳ καὶ ἐκκρούεσθαι ταῦτα πέφυκε.

ΛΘʹ. Τὸ αἴτιον, καὶ τὸ αἰτιατὸν εἰσὶ τῶν πρός τι. Εἰ „ γοῦν τῷ αἰτιατῷ συμβέβηκεν ἐν χρόνῳ αἰτιατῷ εἶναι, „ συμβέβηκεν ἄρα καὶ τῷ αἰτίῳ (τουτέστι τῷ Θεῷ) αἰτίῳ „ ἐν χρόνῳ εἶναι. Εἶτα πῶς ἀπ᾽ αἰῶνος δημιουργὸς εἶναι „ ἐνεργείᾳ δυνάμενος, δυνάμει εἶναι προείλετο;

Ἐπὶ τοῦ δημιουργοῦ, τὸ αἴτιον εἶναι καθ᾽ ἕξιν, τουτέστι κατὰ τὴν αὐτῷ προσοῦσαν οὐσιωδῶς δημιουργικὴν τελειότητα, ἀεὶ προσήκει. Ὥστε εἰ καὶ ἐν χρόνῳ συμβαίνει τῷ αἰτιατῷ τυγχάνειν τοῦ εἶναι, οὐ παρ᾽ αὐτὸ καὶ τῷ αἰτίῳ, τὸ ἐν χρόνῳ αἴτιον εἶναι. Ἀλλὰ τὸ μὲν χρονικῶς ὑπέστη, μὴ ὑφεστὼς, μηδὲ φύσιν ἔχον ἀνάρχως εἶναι, τὸ δὲ ἀχρόνως, τὸ ἐν χρόνῳ ὑποστῆσαι εἶχε. Ταύτῃ τοι οὐδέτι δυνάμει ἦν κυρίως αὐτῷ,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῷ, ἐν ἕξει δημιουργῷ ὄντι· οὐδέτι ὕστερον προσεγένετο ὕστερον, ἐν τῷ τὸν κόσμον ὑποστῆναι, ὃ μὴ πρότερον εἶχε, μηδ' ἀεὶ εἶχεν.

„ Μ'. Εἰ ἐν χρόνῳ ὑπέστη ὅδε ὁ κόσμος, πρὸ τοῦδε ὑποστῆναι εἶχεν ἕτερος, καὶ πρὸ ἐκείνου ἄλλος, καὶ ἔτι. Καὶ „ δὴ ἡ ἄχει τοῦδε διάστασις μείζων ἂν εἴη τῆς ἄχει τοῦ „ πρὸ τοῦδε, ἡ δὲ μείζων τῆς ἄχει τοῦ πρώτου. Ἐγχωρή- „ σειε δ' ἂν καὶ ποσότις διαμονὴ μεταξὺ κόσμου ὑποστάσεως, „ καὶ κόσμου ὑποστάσεως ἄλλου· ὥστε καὶ χρόνος ἂν εἴη αὐτοῦ „ τοῦ ἐν χρόνῳ.

Τὸ μὲν τῆς διαστάσεως μεῖζόν τε καὶ ἔλαττον, ἐκ τοῦ ἐν τοῖς ὑποτιθεμένοις κόσμοις κινήσεων ἔχει τὸ εὔλογον· ταῖς γὰρ ἐν τῷ πρώτῳ προσαθροιζόμεναι αἱ ἐν τῷ δευτέρῳ μείζονα τὴν εἰς τοῦτον ἐλέγχουσι διάστασιν, ὥσπερ δὴ καὶ ταῖς ἐν τῷ δευτέρῳ, τοῦ ἁπασῶν συλλήβδην, ἤν τις ἀφέληται, τὰς ἐν τῷ πρώτῳ μόνας ἕξει, ὅθεν καὶ τῆς διαστάσεως ἂν τεκμήραιτο τοὔλαττον. Ἀλλ' ἐκ τούτου ἄτοπον οὐδὲν ἑπόμενον ἐστί. Τὴν δὲ ἐν τοῖς διαλείμμασι μεταξὺ κόσμου καὶ κόσμου διαμονὴν, χρόνον κενόν τινα εἶναι ἡγούμεθα· ὅθεν οὐδ' ἀντίφασις ἐντεῦθεν παροπηδεῖ τῷ λόγῳ, χρόνον γὰρ, οὕτως εἰπεῖν, πλήρη αὐτοῦ τοῦ ἐν χρόνῳ εἶναι ἀμήχανον, κενὸν δὲ οὐδὲν ἀπεικὸς ἐννοῆσαι, ὥσπερ καὶ τόπον κενὸν αὐτοῦ τοῦ ἐν τόπῳ.

„ ΜΑ'. Τὸ δυνάμει τὸν κόσμον ὑποστῆναι, εἴπερ ἄναρ- „ χον καὶ ἀτελεύτητον. Ἀεὶ οὖν ὂν, ἀεὶ ἔσται· ὥστε δύναται „ ὁ κόσμος δημιουργηθῆναι, οὐδὲ ἄρα δεδημιούργηται.

Ἀλλὰ τὸ μὲν ὂν, καὶ ἀνάρχως ὂν, ἐκεῖνο καὶ ἀτελευτήτως, τὸ δὲ μὴ ὂν, οὐχ οὕτως, οἷον τὸ δυνάμει. Ἀηδὴς οὖν ὁ Ἄραψ τοιούτοις ἡμᾶς σοφισματίοις ὡς παῖδας μορμολυττόμενος.

„ ΜΒ'. Τὸ δυνάμει προϋποτίθησί τι ὑποκείμενον, ᾧ ἐ- „ νυφέστηκεν. Εἰ γοῦν δυνάμει ὁ Κόσμος ἦν τὸ δημιουργη- „ θῆναι δυνάμενον, προϋπέκειτο. Καὶ ἦν ἄρα τι καὶ πρὸ „ τῆς τοῦ παντὸς ὑποστάσεως, προϋφεστός.

Διαιρετέον τὸ δυνάμει κατὰ τὸ εἶναι πῇ, προϋποτίθησί τι πάντως ὑποκείμενον, τὸ δὲ κατὰ τὸ ἁπλῶς εἶναι δυνάμει, οὐδὲν ὅλως προϋφεστὸς ἐννοεῖν συγχωρεῖ· ὁ δὲ κόσμος οὕ-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πως ἡμῖν τίθεται δυνάμει πρὸ τῆς δημιουργίας, οὐκ ἐκείνως· διὸ οὐδ' ἐκ προϋφεστῶτος ἐγένετο, ἐκ δὲ τοῦ μηδενὸς ὑπέστη. Καὶ ταῦτα δὲ καὶ τὰ Ἀβερρόους γενναῖα, οἷς ἐξ ἀϊδίου τὴν ῥευστὴν φύσιν ὑποστῆσαι ἐμηχανήσατο.

## Θεώρημα Ζ'.

§. φ'. „Η κατὰ Δημιουργίαν ὑπόστασις ὄντος τινὸς ἀπ' αἰῶ-
„νος ἀδυνάτως ἔχει.

Τὸ γὰρ οὕτως ὑφεστάναι νοούμενον, ἐκ τοῦ μὴ εἶναι εἰς τὸ εἶναι παράγεσθαι τίθεται. Τοῦ γοῦν κατὰ τὴν δημιουργίαν λόγου τὸ εἶναι καὶ μὴ εἶναι περιλαμβάνοντος, ἐπεὶ εἰς ταυτὸ συνελθεῖν οὐκ ἔνι ἑκάτερον κατὰ τὸ αὐτὸ (§. λ'.) τοῦ ἑτέρου τεθέντος ἀνάγκη ἀπεῖναι θάτερον· τοῦ μὲν εἶναι τὸ μὴ εἶναι, τοῦ δὲ μὴ εἶναι τὸ εἶναι· τοῦ ἄρα κατὰ δημιουργίαν ὑφεστάναι νοουμένου, ἄπεστι ποτὲ τὸ εἶναι· τοῦ δ' αἰωνίου οὐδέποτε τὸ εἶναι ἄπεστι· εἴρηται γὰρ παρὰ τὸ ἀεὶ εἶναι. Ἀδύνατον δὲ τοῦ αὐτοῦ τὸ αὐτὸ καὶ ποτὲ ἀπεῖναι, καὶ μηδέποτε. (§. λ'.) Ἄρα τὸ κατὰ δημιουργίαν ὑφεστὸς ἀδύνατον εἶναι αἰώνιον. Ἄρα κτ.

## Σχόλιον.

§. φα'. Τῶν παρὰ Λατίνοις Σχολαστικῶν, οἱ μὲν συμφώνως ἡμῖν συναποφαινόμενοι, ἀδύνατον εἶναι ὁμολογοῦσι δημιουργητὴν φύσιν ὑποστῆναι τινὰ ἀπ' αἰῶνος τὴν αὐτὴν, διὰ τὴν ἐγχωροῦσαν ἀντίφασιν. Οἱ δὲ τὸ πανσθενὲς τοῦ Δημιουργοῦ μεγαλύνοντες δῆθεν, δυνατὸν εἶναι πάντη διατείνονται. Οἱ δὲ τὴν βασιλικὴν οἷον δοκοῦντες τέμνειν, τὰ μὲν κατὰ τὰ ἐν διαμονῇ ὄντα, οἷον οὐρανὸς, γῆ, ἄνθρωπος, κατανεύουσι, τὰ δὲ ἐν διαδοχῇ τὴν φύσιν ἔχοντα, οἷον γένεσις, φθορὰ, αὔξησις, μείωσις, ἀλλοίωσις, καὶ πᾶσα κίνησις, ἀπαναίνονται. Καὶ δὴ ἐκεῖνα μηδαμῶς ἀντιφάσκειν φασὶν ἐξ αἰῶνος δημιουργεῖσθαι. Οὐδὲ γὰρ ὡς ἐκ τοῦ Θεοῦ, ἐπεὶ τὸ κατεπεῖγον οὐδὲν, τοῦ κόσμου τὸ ποιητικὸν χρόνῳ πρότε-

ρον

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρὸν εἶναι δεῖν· ἀπόχρη γὰρ εἰ μόνον φύσει. Οὐδ' ὡς ἐκ τοῦ δημιουργήματος, τὴν γὰρ αὖ αἰώνιον οὕτως οὐ φύσει, μεθέξει δέ. Οὐδ' ὡς ἐκ τοῦ τρόπου, ἢ δηλονότι ἐλευθέρως, καὶ μὴ ἀναγκαίως αὖ ἡ παραγωγὴ τελεσθείη· τοῦ Θεοῦ δηλονότι δυνηθέντος ἐθελῆσαι ἐλευθέρως καὶ ἀπ' αἰῶνος. Οὐδὲ μὴν οὖν ὡς ἐξ αὐτῆς τῆς δημιουργίας τὸ τελευταῖον, καὶ κεφαλαιωδέστατον· οὐδὲ γὰρ ἐπάναγκες εἰς αὐτὴν φασὶ τὸ μηδὲν προηγεῖσθαι τῷ χρόνῳ, ἀρκεῖ δὲ φύσει. Ἀλλὰ γὰρ ἐπὶ τῶν ἐν διαδοχῇ τὸ τῆς ἀντιφάσεως πρέπτον φασὶ καὶ ἄφυκτον. Πῶς γὰρ αὖ γένεσις ὑποσταίη, μὴ φθορᾶς, μὴ ἀλλοιώσεως, μὴ κινήσεως προηγησαμένων; καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. Καὶ ταῦτα μὲν ὁ Θωμιστὴς ἡμῖν Γουδῖνος (1) ἡγεμόνα τοῦ λόγου, ὡς ἔθος τὸν Ἀκινάτην συνεχῶς παρεισάς, οὗ ταῖς δόξαις ὀμώμοκεν. Ἐγὼ δὲ πάντη πάντως ἀντιφάσκειν ἡγοῦμαι τὸ περὶ τοῦ κόσμου τοῦτο φρονεῖν, καὶ κτιστὸν ἅμα λέγειν καὶ αἰώνιον εἶναι δύνασθαι τὸν αὐτόν, καὶ πολλῷ ἀτοπώτερα τοῦ Ἀριστοτελικοῦ εἰσάγειν φρονήματος, καθ' ὃ τῷ αἰωνίῳ συνέζευκται τὸ ἀγέννητον. (2)

Ἀντιφάσκειν δὲ ἄρα Α'. φημὶ ὡς ἐκ τοῦ Θεοῦ, τὸ συναιδιάζειν τῷ κτίσματι, καὶ κοινὴν ἔχειν πρὸς τὸ καθ' αὑτὸ μηδέν, τὴν κατὰ τὸ αἰωνίζειν ταύτην, μεγίστην τε οὖσαν καὶ ἄπειρον, καὶ ὅλως θείαν τελειότητα. Κἂν γὰρ τοῦτο δοίημεν, μηδὲν ἐπείγειν, τὸ ποιητικὸν χρόνῳ πρότερον εἶναι τοῦ ὃ ποιεῖ, (ὃ πολλοῖς εἶναι δοκεῖ ἐπάναγκες (3) ἐπὶ τῶν κυρίως ποιητικῶν) μᾶλλον δὲ καὶ ἀδύνατον εἶναι φαίημεν τοῦ κόσμου τὸν χρόνον αὐτὸν πρότερον εἶναι, τό γε μὴν τῇ αἰωνιότητι τὸν δημιουργὸν προεῖναι τῆς δημιουργητῆς φύσεως, ὡς ἀναγκαῖον διατεινόμεθα. Ὁ μὲν γὰρ ἀφ' ἑαυτοῦ ὢν καὶ ἀεὶ ἐστί, τὴν δὲ ὑπ' ἐκείνου ἐκ τοῦ μὴ εἶναι ἐπὶ τὸ εἶναι ἀναλαβομένην, οὐδεὶς αὖ ἀπαλλάξειε λόγος τοῦ ποτὲ μὴ εἶναι, καὶ ἐν χρόνῳ ἑπομένως τυγχάνειν τῆς ὑποστάσεως.

Ἀν-

(1) Φυσικ. β'. Μέρ. διεκλ. μόν. Ζητήμ. ά. Ἄρθρ. γ'. καὶ δ'.
(2) Περὶ Οὐραν. ὑφ. ρκ'.
(3) Ὅρα Φιλόπον. ἐν ἐπιλύσ. ά. τῶν τοῦ Πρόκλ. ἐπιχειρ. περὶ Ἀϊδιότ. Κόσμου.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀντιφάσκειν δὲ Β΄. καὶ ὡς ἐκ τοῦ κόσμου τὸ τοιοῦτο φαμέν. Ἦν γὰρ ἂν οὕτω τὸ ἐν χρόνῳ πεφυκὸς εἶναι, οὐκ ἐν χρόνῳ, ἀλλ᾽ ἀπ᾽ αἰῶνος. Καὶ αἰώνιον δὲ τὸ αὐτὸ (ἐξ ὑποθ.) καὶ οὐδ᾽ αἰώνιον, ἅτε δὴ τὴν ὕπαρξιν ἐνδεχόμενον, καὶ οὐδ᾽ ἁπλοῦν τι, οὐδ᾽ ἅμα πᾶσαν τὴν ὕπαρξιν συμπεριειληφὸς τὴν αὐτοῦ, ὡς ἄρα φύσει παντοίαις ταῖς μεταβολαῖς, καὶ παραλλαγαῖς ὑποκείμενον. Τὸ γάρ τοι λέγειν, ὡς οὕτως ἂν ὁ κόσμος αἰώνιος ὑπῆρχεν οὐ φύσει, ἀλλὰ μεθέξει, οὐδὲν ὀνίνησιν, ἀσυστάτου οὔσης, τῆς τὰ ἀσύστατα συμμετεῖναι τοῦ αὐτοῦ παραβιαζομένης μεθέξεως.

Καὶ τὸ ὡς ἐκ τοῦ τρόπου δέ, Γ΄. πειρᾶσθαι ἐκ μέσου ποιεῖν τὴν ἀντίφασιν ἀλυσιτελές, καὶ μάταιον. Ἡ μὲν γὰρ τοῦ αἰωνίου Θεοῦ ἐλευθέρα βούλησις, καὶ αὐτὴ αἰώνιος. Τὸ δ᾽ ἐξ αὐτῆς καὶ δι᾽ αὐτὴν λαμβάνον τὴν ἀρχήν, ὡς μὴ ἀφ᾽ ἑαυτοῦ τὸ εἶναι ἔχον, μετέχον δέ, καὶ ἀπὸ τοῦ μὴ εἶναι ἀνακαλούμενον, εἴη ἂν καὶ ταύτῃ χρονικὸν οὐσία, αἰώνιον δ᾽ οὔ· ἥπου γὰρ πᾶσα ἐνέργεια τῶν τοῦ Θεοῦ ἄκτιστος, καὶ ἁπλῆ, καὶ ἄπειρος, καὶ αἰωνία. Τὰ δὲ γινόμενα, καὶ κτιστὰ (ὅτι καὶ γίνεται.) καὶ μεριστά, καὶ πέρας ἔχοντα, καὶ ἐν χρόνῳ ὑφιστάμενα.

Καὶ τὸ Δ΄. δέ, ὃ τῶν λοιπῶν ἔοικεν εἶναι τὸ κεφαλαιωδέστατον, λόγῳ καὶ αὐτοὶ τομωτέρῳ σιδήρου ἀντεμβαλοῦμεν. Οὐκοῦν ἐπάναγκες, φασί, τὸ μηδὲν χρόνῳ προτερεύειν. Ἀλλ᾽ οὐδὲ δυνατὸν ὅλως (κυρίως εἰπεῖν) αὐτοὶ ἀπαντήσομεν. Πῶς γὰρ ἂν ἐν χρόνῳ γένοιτο τὸ μηδέν, εἴγε μηδέν; Ἀνάγκη δὲ πάντως εἶναι τὸ μηδὲν πρὸ τοῦ χρόνου, ὥσπερ καὶ τοῦ ἐν χρόνῳ· ὅτι καὶ ἀδιάσπαστα ταῦτα. Ἀντιβαίνει δ᾽ οὖν τῷ μηδενὶ τὸ παραχθέν, καὶ τῷ πρὸ τοῦ χρόνου νοουμένῳ διαστήματι ὁ χρόνος. Τὸ ἄρα παραχθὲν καὶ ὁ χρόνος ἔσται δι᾽ ἴσου συνυφιστάμενα, καὶ θάτερον γενέσθαι παρὰ θάτερον μηδαμῶς φύσιν ἔχοντα. Ἀλλ᾽ εἰ καὶ μηδεὶς πρὸ τῆς δημιουργίας χρόνος ἐστίν, ἔστιν ἀλλ᾽ οὖν ἡ κατὰ τὴν αἰωνιότητα ἀεὶ παρατείνουσα ἀνεκλείπτως διαμονή, ἡ τῷ ἀεὶ ὄντι προσήκουσα. Ἐπὶ γεμὴν τοῦ κατὰ τὴν δημιουργίαν λόγου, τὸ μηδὲν αὐτοὶ οὐ χρόνῳ, φύσει δὲ προηγεῖσθαι διδάσκουσι. Καὶ πῶς φύσει τὸ μηδὲν πρότερον τοῦ δημιουργήματος, εἴγε τὸ μὲν φύσει πρότερον συνεισάγεται, τὸ δὲ μηδὲν τοῦ δημιουργήματος εἰ-

σα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σταγομένους ἐκκρούεται, καὶ ἀναιρεῖται; ὅτι φασὶν ἡ δημιουργητὴ φύσις, κἂν ὑποτεθῇ ἀεὶ οὖσα, ἐπεὶ μὴ ἀφ' ἑαυτῆς ἐστὶν, ὑπὸ δὲ ἄλλου, καθ' αὑτὴν οὐδὲν ἂν εἴη. Παρίστανται δὲ τούτου καὶ μάρτυρας Ἄνσελμον (1) καὶ Θωμᾶν (2). Ἀλλὰ γὰρ τούτου τίποτ' ἂν ῥηθείη ψυχρότερον; Δημιουργεῖται γὰρ δὴ, οὐχ ὅτι μὴ ὑφεστὸς ὑπόστασιν ὕστερον ἐπιδέχεται, ἀλλ' ὅτι ἣν ἔχει αὐτὸ ὑπόστασιν, ἔχει παρ' ἄλλου ( τοῦτο γὰρ αὐτοῖς τὸ ἐκ τοῦ μηδενὸς φύσει δηλοῦν ἐκβιάζεται ). Ἀλλὰ καὶ τὸ ὑφεστὸς ἐξ ἄλλου ἔχει, καὶ ἐν ᾧ ὑφέστηκεν. Ἄρα καὶ ὑφεστὸς ὅμως δημιουργεῖται· ἢ ἄλλως σαφέστερον. Δημιουργία ἐστὶν ἡ τοῦ ὄντος ἐκ τοῦ μηδενὸς παραγωγὴ, ὡς οἱ πάντες ἀποδιδόασιν ὁριζόμενοι. Ἀντίθετον ἄρα τὸ μηδὲν τῷ ὄντι. Ἀλλαμὴν τὸ ὂν ὃ δημιουργεῖται, οὐκ ἔστι τὸ αὐτὸν, ἄρα οὐδὲ τὸ μὴ ὂν ἐξ οὗ δημιουργεῖται, τὸ μὴ ἀφ' ἑαυτοῦ ὂν ἐστίν· νοεῖται δὲ ὂν τὸ ὑπόστασιν λαμβάνον, νοεῖται ἄρα καὶ μηδὲν τὸ ὑπόστασιν μὴ ἔχον· ἐξ ἀπουσίας ἄρα ὑπάρξεως, ἐπὶ τὴν μετουσίαν τὸ δημιουργούμενον μεθίσταται τῆς αὐτῆς, κἀπὶ τὴν ἕξιν ἐκ τῆς στερήσεως. Εἰ δὲ τοῦτο, ἀνάγκη ἄρα ἀνυπαρκτῆσαι ποτέ. Εἰ μὴ γὰρ οὐδ' ἂν ἐδημιουργήθη. Ἀνυπαρκτῆσαν δὲ ποτὲ, ταυτὸν εἰπεῖν, ἐν παντελεῖ στερήσει τοῦ εἶναι γεγονὸς τὸ δημιούργημα, πῶς ἂν εἴη αἰώνιον; Αὕτη δὴ πλησίστιον οὐριοπλοοῦντα, ὡς ᾤετο, κατεπέπωκεν ἡ δίνη τὸν Γουδῖνον, ἵνα τι καὶ Γοργιαῖον ψυχρεύσωμαι.

Τοῖς δὲ ἐκ παραβολῶν ἡμῖν ἀντεμβάλλουσι, καὶ τὴν μὲν σκιὰν τῷ καταυγαζομένῳ σώματι, τὸ δὲ φῶς τῷ ἡλίῳ, τῷ δ' ἐπὶ ψάμμου βεβηκότι ποδὶ τὸ ἴχνος συναιωνίζειν, εἴγε ἀπ' αἰῶνος εἶναι τεθῇ τὰ ὑφ' ὧν αὐτὰ, προβαλλομένοις, κἀντεῦθεν τῷ ἴσῳ λόγῳ διατεινομένοις οὐκ ἂν ἀδυνάτως ἔχειν, ἐθελήσαντι τῷ αἰωνίῳ δημιουργῷ αἰωνίως συνυφεστάναι τὴν δημιουργητὴν φύσιν, οὐ χαλεπὸν οὐδ' αὐτοῖς ἀπαντῆσαι. Α'. γὰρ ἐκεῖνο πρὸς αὐτοὺς, ὅτι τοῖς ἀναγκαίοις τουτοισὶ παρακολουθήμασι, τὸ ἐξ ἐλευθέρας τοῦ δημιουργοῦ βουλήσεως

---

(1) Μονολόγ. Κεφ. η'.
(2) Συγγράμμ. κζ'.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σεως ἠρτημένον παραβάλλειν, ὐκ ἐκ τῶν ὁμοίων εἰσβάλλειν ἐςὶ τὰ ὅμοια, ἐκ τῶν ἀνομοίων δὲ καὶ ἀλλοξιωτάτων, καὶ ἐκκρύειν ἄλληλα, ἢ συνεισάγειν, φύσιν ἐχόντων. Οὐ γὰρ δηλονότι τῷ δημιυργῷ ἀχωρίςως ἑπόμενα ἐςὶ τὰ παρ' αὐτῦ, καὶ παρ' αὐτὸν ὄντα, ὥσπερ δὴ κἀκείνων, σκιὰ μὲν παρασυμβαίνει τῷ φωτιζομένῳ σώματι εἴτι ἐξ ἀντιθέτυ σῶμα ἕτερον ὑπαχθείη πρὸς τὴν γινομένην ἀντίφραξιν, τῷ ἡλίῳ δὲ τὸ σελασφόρον παρακολύθημα φύσεως ποδὶ δὲ, ψάμμῳ, ἢ πηλῷ ἁπαλωτέρῳ ἐρειδομένῳ, τὸ ἴχνος παρυφίςαται ἐξ ἀνάγκης· ἢ τῷ Ἀκανθονύμῳ ἐκείνῳ συνεσιῦν ἐπιβέποντες τῷ ὑπερτάτῳ ὄντι, τὴν ῥοῦςὴν κτίσιν, παρὰ τὴν τῆς Ἀθείας, καὶ ἀλογίας δίκην ἐκφλύζονται, ἄκτιςον ὕτω τὸ κτίσμα πρεσβεύειν λανθάνοντες. Β'. δὲ καὶ τὴν θέλησιν τῦ Δημιυργῦ ἐξ αἰῶνος ὑποτιθεμένοις, αὐτὸ δὴ τὸ θελητὸν, ἢ δημιυργητὸν, ὑςερεῖν ἐπάναγκες καὶ αὐτῆς τῆς θελήσεως. Αὕτη γὰρ δὴ ὐσία τῦ δημιυργίᾳ τὸ εἶναι λαμβάνοντος, τὸ ἐκ μὴ ὄντος, ἥκειν εἰς τὸ εἶναι ὑπὸ τῦ διδόντος καλύμενον ( §. φ'. ) Γ'. Ἀ,εἰ τὸ ποιητικὸν πρότερον τῷ χρόνῳ τῦ ὑπ' αὐτῦ ἐξ ἀνάγκης, καὶ ἐπὶ τῶν κατὰ φύσιν αὐτῶν γινομένων, ὧν ὐκ ἐκ τῦ ἁπλῶς μὴ εἶναι ἡ φύεσις· ὥςε πολλῷ μᾶλλον ἐπὶ τῶν ἐκ τῦ μηδενὸς τὴν ὐσίωσιν ἔχειν ὑποτιθεμένων. Τὰ γὰρ εἰς δεῖγμα ληφθέντα, ἤτι συμβεβηκότα παρεισάγει, ἢ πάθη, τῶν ὑποκειμένων ἀχώριςα· τὸ δὲ κυρίως ποιητὸν, καθ' ἑαυτὸ, τῦ ποιητικῦ ἐκτὸς ὑφεςάναι δέον, ὡς παρ' ἐκεῖνο τε καὶ παρ' ἐκείνῳ, μὴ μετ' ἐκεῖνο εἶναι ἀδύνατον. (1)

Ἡμῖν δὲ καὶ τὰ ἐφεξῆς παρασυναπτέον, οἷς ἀριδηλότερον ἡ τῶν Θωμιςῶν καταθριαμβεύεται λέξη. Ἐν γὰρ τῇ ὑποθέσει τῆς ἀπ' αἰῶνος τῦ κόσμυ δημιυργίας, ἦν ἂν ἄπειρος παραῤῥεύσας ἐνιαυτῶν ἀριθμὸς, καὶ δὴ καὶ μηνῶν, καὶ ἡμερῶν, κτ. ἀπείρυ δὲ ἀπειρότερον ὐκ ἂν εἴη. (2) ὅ,τε κα-

(1) Μέτιθι Φιλοπόν. Ἀντίῤῥ. εἰς τὸν α'. λόγ. τῦ Πρόκλ. περὶ τῆς Κόσμυ Ἀϊδιότ.

(2) Ὅρα τὸν αὐτὸν αὐτόθι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καθ' ὃν παρήχθη ἐνιαυτὸς, καὶ μὴν, κτ. καὶ ὁ καθ' ὃν νῦν ἐσμὲν, εἶεν ἂν τοῦ ἀπείρου τοῦδε ἀριθμοῦ τὰ πέρατα· καὶ περιςαίη ἂν αὐτοῖς οὕτως εἰς λαμπρὰν τὸ δόγμα ἀντίφασιν. Μὴ γάρ μοι τὸ οὐκ ἐν χρόνῳ, συνάμα γὰρ τῇ ςεπτῇ φύσει, ἐδημιουργήθη ἂν καὶ ὁ χρόνος, καὶ συνυπέςη. Ἐφ' οἷς καὶ τὸ ἐνεργείᾳ ἄπειρον, δοθείη ἐπὶ τῶν λογικῶν ψυχῶν, ἃς αὐτοὶ ἀνενδοιάςως ἀθανάτους, καλῶς ποιοῦντες, πρεσβεύουσιν· ἢ γοῦν τὸ πεπερασμένον, ἐν ἀπεράντῳ διαμονῇ τὴν παράτασιν. Ἐῶ τὰ ἄλλα. Ταῦτα δὴ οὖν καὶ αὐτοῖς ἄτοπα εἶναι ὁμολογοῦσι (1), καὶ ὡς λόγοις, οἷς τὴν κατὰ διαδοχὴν, ἤ φασιν, ὄντων τὸ αἰώνιον ἐκσυρίττεται προσχρωμένοις, ἐντυγχάνων τις θαυμάσειεν ἄν· τὸ μὲν γὰρ ὑπέρχρονον τῆς δημιουργίας δυνατὸν ἀπισχυριζόμενοι, ἀπὸ τῶν ἐν τῷ Κόσμῳ μεταβολῶν ἀποκρούονται. Καὶ ὁμολογοῦσιν οὕτως αὐτοὶ ἑαυτοῖς οὐδαμῶς. Τί γὰρ, εἴτις αὐτοῖς προτείνοι τὴν τοῦ οὐρανοῦ κίνησιν; ἢ τὸν οὐρανὸν, θᾶττον ἢ τὸ δόγμα κινῆσαι, ςήσουσιν ἀτρεμοῦντα, καὶ οὐδ' ἡμέραι οὕτως ἔσονται τῷ κόσμῳ, οὐδ' ἐνιαυτῶν κύκλοι, οὐδὲ χρόνος ὅλως, οὐδὲ γενέσεις, οὐδὲ φθοραὶ, οὐκ αὐξήσεις, οὐ μειώσεις, οὐδ' ἀλλοιώσεις, οὐδ' οὐδὲν τῶν οἷς κοσμοποιεῖται τὸ ὑφεςὸς σύνταγμα. Ἡράκλεις τοῦ ἀκόσμου κόσμου! τί δαί; οὐδ' ἂν ἄνθρωποι εἶεν, ἐν αὐτῷ οἱ οἰκήσοντες; οὖσι δὲ, οὐκ ἂν αὐτοῖς ἐνείη πρὸς τοῖς ἄλλοις σπλάγχνοις καὶ καρδία; ἐνοῦσα δὲ, οὐκ ἂν ἐπάλλετο; οὐκ ἂν περιεςέλλετο; οὐκ ἂν ἐξ αὐτῆς δι' ἀρτηριῶν καὶ φλεβῶν ἔρρει τὸ αἷμα; οὐχὶ φασίν. Ἀλλὰ πεπήγει ἂν τῷ ὀργανικῷ σώματι τὰ πάντα, ὡς ἂν μὴ κίνησις δοθείη αἰώνιος. Βαβαὶ τοῦ ἀπὸ δρυὸς, ἢ ἀπὸ πέτρης ἀνθρώπου! Ἀλλ' αὐτοῖς μὲν τὰ τοιαῦτα διαπλαττέσθω, ὅπως ἂν βούλοιντο· ἐμοὶ δὲ δοκεῖ, ὅτι τῶν ἀπ' αἰῶνος δυνατὴν εἶναι τὴν τῆς κτιςῆς οὐσίας παραγωγὴν διατεινομένων, λαμπραῖς ταῖς ἀντιφάσεσιν ἐγκυβιςώντων, οἱ ἐξ ἡμισείας τοῦτο δοξάζοντες τοσούτῳ γελοιότεροι εἰσὶν, ὅσῳ πλείονας τὰς ἀτοπίας συνεπιπλέκουσι· δυνατὸν γὰρ ἅπαξ ὑποθέμενοι τὸ ἀδύνατον, εἰς τὸ ἀδύνατον αὖθις τὸ τεθὲν ἀντιπεριάγουσι.

Θεώ-

(1) Γουδῖνος ἔνθα ἀνωτ. σελ. 67.

## Θεώρημα Η΄.

§. φβ΄. „Δυνατῶς ἔχει καὶ Κόσμος ἤτοι τῷ εἴδει ὅ-
„μοιος, ἢ καὶ ἕτερος παρὰ τὸν ὑφεστῶτα.

Εἰ μὴ γὰρ, ἤτοι παρὰ τὸ ἀντίφασιν ἕπεσθαι, ἢ παρὰ τὸ μὴ ἔχειν, αἴτιον μηδὲν, παραγαγεῖν τὸ μηδαμῇ μηδαμῶς ὄν.. Ταυτὸν εἰπεῖν, ἢ ὅτι ἐσωτερικῶς, ἢ ὅτι ἐξωτερικῶς ἀδύνατον τὸ τοιοῦτο. ( §. ρξδ΄. ) Ἀλλ᾽ οὐ παρὰ τοῦτο· τὸ γὰρ τὸν νῦν ὄντα ὑποστησάμενον, καὶ ἐκ τοῦ μὴ ὄντος ἁπλῶς δύναται οὐσιοποιεῖν. ( §. υγή. υγθ΄. ) Οὐδὲ μὲν οὖν δι᾽ ἐκεῖνο· οὐ γὰρ ἀντιφάσκειν τὴν ἐκ τοῦ μηδενὸς παραγωγὴν ἀπέδειξέ τις ποτέ. Ἄρα τὸ Α΄.

Ἕτερος δ᾽ ἂν εἴη τῷ εἴδει διαφερούσης λαχὼν τῆς διακοσμήσεως. ( §. υπθ΄. ) Τοῦτο δὲ καὶ μάλα ἐστὶ νοητόν· καὶ δυνατὸν ἄρα. ( §. ρξδ΄. ) Ὃ τὸ Β΄.

## Σχόλιον.

§. φγ΄. Κατασκευάζει δὲ κἀκεῖνα ἡμῖν τὸ Θεώρημα, ὅτι τὸ μὴ ὑπάρχον οὐ παρ᾽ αὐτὸ καὶ ἀδύνατον. ( §. ρυζ΄. ) Καὶ ὅτι ἀπὸ τοῦ εἶναι τί, πρὸς τὸ εἰκάσαι δυνατὸν εἶναι ὑφεστάναι, τοιοῦτον ἕτερον, ἤτοι παραπλήσιον, ὀρθῶς ἐναγόμεθα. ( §. ρυά. ) Ἔδει δὲ μηδὲ ἐνδοιάζειν ὅλως περὶ τούτου, τοὺς δημιουργὸν τοῦ ὑφεστῶτος κόσμου τὸν Θεὸν ἐγνωκότας, καὶ ἄπειρον οὕτως αὐτοῦ τὴν δύναμιν ( §. σξά. ) ἐξυμνοῦντας. Εἰ γὰρ τοῦτον μόνον εἶχε παραγαγεῖν, οὗτος δὲ πεπερασμένος φύσει ἐστί. ( §. τπθ΄. καὶ τύ. καὶ τυά. τυβ΄. ) ἐξήντληται ἄρα, καὶ πέρας ἔχει αὐτῷ ἡ δύναμις. Τὸν μὲν οὖν δυσώνυμον Σπινόζαν, τὸν τὴν κτίσιν τῷ κτίστῃ συνουσιώσαντα, οὕτω φροντιᾶν, καὶ μηδ᾽ ἕτερον, μηδ᾽ ἄλλῳ τρόπῳ ἢ τάξει, τὸν κόσμον ὑπὸ τοῦ Θεοῦ εἶναι, τοῦτον δὲ καὶ τοιοῦτον καταναγκάσαντα δογματίζειν, οὐδὲν θαυμαστόν. Τὸ δὲ καὶ τὸν Γάλλον Καρτέσιον, καί τοι χριστιανίζοντα, καὶ νεύματι τοῦ ἀπειροσθενοῦς ἐλευθέρῳ, τὸν ὑφεστῶτα συστῆναι ὁμολογοῦντα, ἔπειτα ὅρον οἷον τιθέναι τοῦτον τῆς τοῦ δημιουργοῦ δυνάμεως,

μεως,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μεως, πῶς οὐ θαυμαστόν; Ἀλλ' ἐξειληφέναι οὗτος ἐρεῖ τῷ πράγματι προφανῆ τὴν ἀντίφασιν, (1) ἧς ὑπολανθανούσης καθ' ἑαυτὸ ἀδύνατον πᾶν ὁτιοῦν κρίνεται. (§. ροδ'. ροε'. ροϛ'. ροη'.) Τίς δ' ἡ ἀντίφασις; ὅτι, φησὶν, ἡ ὕλη ἐξ ἧς συνέστη τὸ ὑφεστὸς τουτὶ σύνταγμα, ὅλον προκατείληφεν, ὅσον δυνατὸν ἦν τὸ διάστημα· μᾶλλον δ' αὐτὴ αὐτὸ τὸ διάστημα οὖσα ἐστίν. Ἔξω δὲ τοῦ νῦν ὄντος, οὐδὲν ἐστὶν, οὐ ἂν κόσμος ἕτερος, παρὰ τοῦτον, τεθείη. Ἀλλὰ γὰρ πολλαχόθεν αὖτις τοῦ Γάλλου τὴν ἀτοπίαν ἐλέγξειε. Κἂν γὰρ ἐκεῖνο τὶς αὐτῷ συγχωρήσειεν ὡς αὐτόχρημα ἡ ὕλη ἐστὶ τὸ διάστημα (περὶ οὗ ὕστερον) Α'. γε μὴν ἄλογον τὸ ὑπολαβεῖν, ὅτι τὸ πᾶν ἄπειρον τῇ ἐκτάσει. (§. τπθ'. κζ'.) Τὸ γὰρ λέγειν ὅτι ἄπειρον μὲν οὐδαμῶς, ἀπέραντον δὲ, γελοῖον. Β'. πεπερασμένου ὄντος τοῦ ὑφεστῶτος, ἔξω τούτου καὶ ἄλλος ἂν ὑποσταίη, μηδὲν ἀντιβαινούσης τῆς τοῦ τόπου ἐλλείψεως. Ὥσπερ γὰρ τῷ ὑφεστῶτι συνυπέστη καὶ τὸ διάστημα, ἤτοι ὁ τόπος, οὕτως ἂν κἀκείνῳ παραπλησίως συνυποσταίη, καὶ διάστημα ὃ ἂν καταλάβῃ. Γ'. ὅτι εἰ πεπέρασται ὁ ὅρος τῆς τοῦ δημιουργοῦ ἐνεργείας, καὶ οὐδὲν ἔχει πλέον, ὅ,τι δημιουργήσειε βουληθεὶς, πεπερασμένη ἄρα αὐτῷ συνάμα τῇ δυνάμει, καὶ ἡ οὐσία, τὸ βλασφημότατον. Δ'. δὲ ἐπεὶ καὶ κατ' αὐτὸν ἐλευθέρως ὑπέστησε τὸ πᾶν, τῷ ἄρα νεύματι τῷ ἐκείνου ὑπείκει, ὅσα τῇ δημιουργητῇ φύσει ἐπουσιωδῶς ἀνήκει· ἐπουσιῶδες δὲ τῇ ὕλῃ ποσὴν δὲ εἶναι, ἢ ποσήνδε, ὥσπερ δὴ καὶ τὸ οὕτως ἢ ἄλλως διαμορφοῦσθαι, καὶ διαπλάττεσθαι. Καὶ παρὰ τῷ δημιουργῷ ἦν ἄρα ὁμολογουμένως, τὸ μὴ τοιοῦτον ὑποστῆσαι τὸν κόσμον, ὅνπερ ὑπέστησε, μηδὲ τηλικοῦτον, μείζονα δὲ τυχὸν, ἢ ἐλάσσονα. Ὥστε ἐνῆν αὐτῷ βουληθέντι, καὶ ἄλλον ποιῆσαι, καὶ ἔστι πάντως ἐπ' ἄπειρον.

Θεώ-

(1) Β', Μέρ. τῶν Ἀρχ. Ἄρ. κβ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Θεώρημα Θ΄.

§. φδ΄. „ Ὅτι δὴ κόσμος ἕτερος παρὰ τὸν νῦν ὄντα, ὁ-
„ λικῶς ληφθέντα, ὑφέστηκεν, δεῖξαι ἀδύνατον.
Πόθεν γάρ;

## Σχόλιον.

§. φε΄. Μοναδικὸν εἶναι τὸν ὑφεστῶτα Κόσμον, καὶ τῶν Παλαιῶν συχνοὶ εἰσηγήσαντο, Θαλῆς, Πυθαγόρας, Ἐμπεδοκλῆς, Παρμενίδης, Ἡράκλειτος, Πλάτων, Ἀριστοτέλης, Ζήνων ὁ Στωϊκὸς, καὶ ἄλλοι. Ἐνάγει δὲ εἰς τὸ δόγμα πολλά. Α΄. ὅτι καὶ ὁ Δημιουργὸς εἷς. Β΄. ὅτι καὶ τὸ τέλος ἕν, εἰς ἔνδειξιν γὰρ τῆς ἀγαθότητος καὶ ἰσχύος τοῦ ποιητικοῦ, οὐδὲν τι συντελέσειαν οἱ πλείους ὑπὲρ τὸν ἕνα. Γ΄. ὅτι καὶ ἡ ἕνωσις ἀγαθὸν, ἤπερ ἡ διάστασις. Δ΄. Κατ' Ἀριστοτέλην ὅτι καὶ ἐκ τῆς τῶν μερῶν τοῦ κόσμου εἰς ἓν συνολώσεως, τὸ ἑνιαῖον τῆς τοῦ Θεοῦ γνωρίζεται φύσεως. Ε΄. Καὶ κατὰ Πλάτωνα ὅτι πρὸς ἓν ἀρχέτυπον. Ἀλλὰ γὰρ τῶν ἐν τῷ δημιουργῷ λόγων ἀπείρων ὄντων, καὶ πολλὰ κατὰ τὸ αὐτὸ ἀρχέτυπον ὑποστῆναι, οὐδὲν κωλύει. Ταύτη τοι οὐδὲ τὸ ἀπαραίτητον ἐντεῦθεν εἰσβαλεῖν ἔνι, ὡς οὐδ' ἐκ τῶν προκειμένων ἄλλου τινὸς, ὑπὲρ τῆς τοῦ Κόσμου ἑνότητος. Ἐμμένειν δὲ τῷ δόγματι δίκαιον, διὰ τὸ τοῦ ἐναντίου ἀποκληρωτικόν· ἐπεικῶς γὰρ τὸ τοῦ Ἐπικουρείου Μητροδώρου ψυχρὸν, ἄτοπον εἰ-
„ ρηκότος (1) ἐν μεγάλῳ πεδίῳ ἕνα στάχυν γεννηθῆναι, καὶ
„ ἕνα Κόσμον ἐν τῷ ἀπείρῳ· εἰμή τις ἀπείρους ἐν τῷ κενῷ τὰς ἀτόμους ἀπείρας ἐπιστήσειεν αὐταῖς τὸ αὐτόματον, κατὰ τοὺς περὶ Δημόκριτον, καὶ Λεύκιππον, καὶ τοὺς ἄλλους ὅσοι πολλῶν ἢ ἀπείρων Κόσμων γενέσθαι λέγονται εἰσηγήτορες, ὡς Ἀναξιμένης, καὶ Ἀναξίμανδρος, καὶ Ἀνάξαρχος.
Περὶ

(1) Πλοῦτ. περὶ Ἀρεσκ. βιβ. α΄. Κεφ. ε΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Περὶ ὧν κ᾽ ἔυμοι δοκεῖ ὁ Νεώτερος εἰκάσας εἰρηκέναι, (1) ὅτι ἐχ ὁλικῶς τὸ πᾶν ἐκδεχόμενοι, τὰ δὲ τέτε μέρη, οἷον τὰ τῶν πλανητῶν σώματα, κοσμοποιεντες, οἱ μὲν εἰς ἀειθμὸν, οἱ δὲ κ᾽ ὑπὲρ ἀειθμὸν ἡμῖν τὸν ἕνα ἐπλήθυναν.

## Θεώρημα Ι΄.

§. φϛ΄. „ Ἅπαν σύςημα κόσμε δυνατε ὄντος ἐν τοῖς τε „ Δημιεργε νοερῶς ἐμπεριέχεται λόγοις. Τὸ δέ τοι ἔξω τε „ δυνατε καθεςάναι, κ᾽ ὑποςῆναι ἕνα, ἢ πλείες, τῆς ἐ-„ κείνε ἔργον παντελεθέρας βελήσεως εἶναι τιθέμεθα.

Διὰ τε §. σξϛ΄. κ᾽ σξζ΄. δείκνυται τὸ Α΄. Ἐκςαίη δ᾽ ἂν τε μηδαμῆ μηδαμῶς εἶναι ταυτὸν εἰπεῖν ἐκ τε μὴ ὄντος εἰς τὸ εἶναι παραχθείη Κόσμος τὶς τῶν δυνατῶν, ὑπὸ μόνε τε Δημιεργε, ( §. σξά. σξβ΄. ) τε ὑπερεσίε τε κ᾽ ἀπειροσθενες· ἐκ ἀναγκαίως δὲ, εἴγε δυνατὴ τέτε ὑποτίθεται ἡ ἀνυπαρξία. ( §. σγ΄. ) Ὥςε παρ᾽ αὐτῷ τῷ κοσμοποιεντι, τὸ τὸ δυνατὸν ὑποςῆσαι· ὥςε τῆς ἐκείνε ἔργον ἐλεθέρας βελήσεως. Ο. Η. τὸ Β΄.

## Θεώρημα ΙΑ΄.

§. φζ΄. „ Ἅπας ὁ κόσμος ὃς ἂν ὑφεςηκὼς ᾖ, εἴη ἂν κ᾽ „ μεταφυσικῶς τέλειος ἐξ ἀνάγκης.

Δείκνυται ἐκ τε υλέ.

## Σχόλιον.

§. φή. Πότερον δὲ ὁ ὑφεςὼς ὅτος Κόσμος παντὸς ἄλλε δυνατε τελειότερος, εἰ κ᾽ τολμηρὸν ζητεῖν, ἐπεὶ μέν τοι καὶ τέτο

(1) Φραγγ. Βαύλ. Φυσ. Μερ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦτο παρατετόλμηται, ῥητέον. Οἱ μὲν οὖν ἐν Γερμανοῖς εὐκλεέστατοι, τούτῳ ἀνενδοιάστως ἀπονέμουσι τὰ πρεσβεῖα, ὅτι τὸ ἀεί ποτε καὶ ἐν ἅπασι τὸ θεῖον (ὡς ὁ ἐκείνων λόγος, αἱρεῖσθαι τὸ ἄριστον. Εἰ μὲν γὰρ δυνατὸς ὁ κρείττων, τὸν χείρονα φασὶν εἵλετο. Εἰ δὲ ὁ ἰσοτελής τε καὶ ὅμοιος τί τούτῳ, ἢ ἐκείνῳ ηὐδόκησεν. Ἔοικε δὲ καὶ τοῖς περὶ Πλάτωνα ἀραρέναι τὸ δόγμα πρὸς ἓν ἀρχέτυπον κοσμοποιοῦσι, καὶ Θεὸν τὸν κόσμον ἀποκαλοῦσιν εὐδαίμονα, καὶ ὅλον ἐξ ὅλων, καὶ τέλειον ἐκ τελείων γινόμενον. (1) Ἕτεροι δὲ πάνθ᾽ ὅσα δυνατὰ ἐστὶ κόσμου συστήματα, ἐπίσης τέλεια οἴδασιν, ὡς ἄρα καὶ τοῖς ἀρχετύποις λόγοις ἐπίσης σύμφωνα. (2) Οἱ δὲ τέως καὶ τούτου δυνατὸν ὑποστῆναι τὸν κρείττονα παρὰ Θεοῦ ὁμόλογον ἔχουσι, κἀκείνου ἔτι τὸν τελεώτερον, καὶ ἔτι ἐπ᾽ ἄπειρον, τὸ ἀπειροσθενὲς τοῦ Δημιουργοῦ, ὡς εἰκὸς ἐξυμνοῦντες, καὶ ἀπειρόσοφον. (3) Ἡμῖν δὲ θαυμάζειν ἔπεισι τῶν πρώτων, τῶν μέσον οἱονεὶ καὶ ὅρον καταθρασυνομένων ἐπιτιθέναι, τοῖς τοῦ Δημιουργοῦ βουλήμασι, καὶ τοὺς λόγους ἀνιχνεύειν, δι᾽ οὓς τὸν ὑφεστῶτα κόσμον ἑλέσθαι πρὸ παντὸς ἄλλου ἔδοξε τῷ Παντεξουσίῳ. Τὸ δὲ, κατὰ τὴν β΄. δόξαν, τῶν δυνατῶν ἁπάντων συστημάτων, ἐπίσης τέλειον διασκοπουμένοις, ὡς μὲν ἐκ τῆς πρὸς τοὺς ἀρχετύπους λόγους συμφωνίας, οὐκ ἀλόγως πρεσβεύεσθαι δοκεῖ· οὕτω γάρ τοι ἐπίσης ἂν τεθείη ἅπαντα τέλεια, ὅτι καὶ ἀληθῆ ὂν ἴσῳ λόγῳ, καὶ τοῖς δημιουργικοῖς λόγοις σύμφωνα. Ὡς δ᾽ ἐκ τῆς τῶν ἰδιαζουσῶν ἑκάστῳ δυνάμεών τε καὶ ἐνεργειῶν, αἷς ἂν διακρίνοιντο γνωριζόμενα, οὐκέτι δή· γένοιτο γὰρ ἂν ὥσπερ οὐσία οὐσίας τελεωτέρα, τῆς μυὸς φέρε, ἡ κατ᾽ ἄνθρωπον, οὕτω τοι καὶ διακόσμου διάκοσμος. Τί δὲ περὶ τῶν ἄλλων ἂν εἴποι τις, τῶν συνεκθέειν οἰομένων τῇ ἀπείρῳ τοῦ ποιητικοῦ δυνάμει, τὰς τῶν δυναμένων ὑποστῆναι τελειότητας, κατὰ τὸ ἀεὶ κρείττονας καὶ ὑπερεχούσας πέρατος αὐτὰς, ὑπ᾽ ἐκείνου ἔχειν οὐσιοποιεῖσθαι;

---

(1) Ὅρα Πρόκλ. ἐν τοῖς περὶ Ἀϊδιότ. Κόσμ. Λόγ. η΄. καὶ θ΄.
(2) Ὅρα Γενουΐν. Μεταφ. Μέρ. α΄. Ἐν Σχολ. Προτ. μα΄.
(3) Φιλόπον. ἐν τοῖς Ἀντιῤῥητ. πρὸς Πρόκλ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θαι; ἢ ὅτι πρέποντα μὲν Θεῷ ὑπολαμβάνουσιν οὗτοι, προσήκοντα δὲ καὶ τῷ Κόσμῳ, εἴγε τὸν μὲν, πεπεράνθαι (ὅς τις ποτ' ἂν ᾖ) τὰς παρ' ἑαυτοῦ ἀρεσάσας οἳ κρίνουσι τελειότητας, τὸν δὲ ἀεὶ παράγειν εἰς ἄπειρον δύνασθαι τελειότερον.

## Θεώρημα ΙΒ'.

§. φθ'. „ Δυοῖν προκειμένων Κόσμων, τὸν κρείττονα τὰς „ τελειότητας ἐξειπεῖν, ἀνθρώποις ἀμήχανον.

Φανερὸν ἐκ τοῦ §. υλϛ'.

## ΚΕΦΑΛΑΙΟΝ Β'.

### Περὶ Ἐκτάσεως πλήρους τε καὶ κενῆς· ἔνθα καὶ περὶ Τόπου, καὶ περὶ Διαμονῆς, καὶ Κινήσεως.

§. φι'. Ἔστιν ἅττα τῆς περὶ τοῦ Κόσμου ἐν φύσει Θεωρίας, ἣν πραγματευόμεθα, οὕτως ἀπαραιτήτως ἐστὶν ἐχόμενα, ὡς οὐδεμιᾷ μηχανῇ παρελθόντας αὐτὰ, ἐπὶ τὴν ἀκρίβωσιν τοῦ προκειμένου ἐξεῖναι ἱκέσθαι· ὧν γὰρ τὰ πράγματα εἶναι χωρὶς οὐ πεφύκασι, τούτων οἱ λόγοι παραιρεῖσθαι τὴν εἰσήγησιν οὐκ ἐθέλουσιν. Ἔστι δὲ ταῦτα τὰ τοῦ συνεχοῦς μάλιστα ποσοῦ εἴδη, τό,τε τοῦ διαμένοντος, καὶ τὸ τοῦ μή· ὧν τῷ μὲν προσιδιάζουσα ἔοικεν ἡ ἔκτασις, τάσις τις οἷον οὖσα μερῶν ἐκτὸς μερῶν, τῶν ἀλλήλοις τε συνημμένων, καὶ ἅμα παρόντων· ἢ βέλτιον ἴσως (οὐ γὰρ ἐγκέκληταί τισι (1) παρὰ τὸ διάλληλον ὁ ἀποδοθεὶς ὁρισμὸς, ὡς ἄρα καὶ τῶν μερῶν αὐτῶν ἐκτάσεως μετειληχότων, καὶ τῆς ἐκτάσεως οὔπω διὰ τῆς ἐκτάσεως γνωριζομένης.) πολλῶν ἅμα τε καὶ κατὰ τὸ αὐτὸ συνύπαρξις, ἀλλήλοις ἐπικειμένων, μηδὲ δι' ἀλλήλων χωρούντων.

---

(1) Μουσχεμβροέκιος. Φυσ. §. 24.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

των. Τῷ δὲ ἐπιλέγεται ἡ διάστασις, ἡ τῶν συνημμένων μὲν, μὴ συνυπαρχόντων δὲ, ἄλλων δὲ μετ' ἄλλα γινομένων διαδοχή. Ἡ τοίνυν ἔκτασις (εἰμὴ ἐξ ἀφαιρέσεώς τις ἀπ' ἀλλήλων διαστήσῃ τὰς διαστάσεις) ἐστὶ τὸ τειχῇ διαστατόν. Τὸ δὲ ἤτοι πλῆρες, καὶ θετικὸν ὂν τυγχάνει, οἷον τὸ ἔνυλον σῶμα, ἢ γοῦν μὴ πλῆρες, καὶ ἀποφατικὸν ἄντικρυς· οἷον τὸ κενόν. Πρὸς ὃ δὴ ἀνάγειν εἰώθασι καὶ τὸν τόπον. Παρατάσεως δὲ εἴδη χρόνος, καὶ κίνησις, περὶ ὧν ὕστερον.

§. φιά. Ἔστιν οὖν ἡ μὲν ὕλη τὸ ἔκτασιν ἔχον, καὶ ταύτην πλήρη, φύσει στερεὰν, καὶ ἀντέχουσαν, ἀδιαχώρητον, διαιρετὴν, μεριστὴν, κινητὴν, καὶ πλειόνων ἄλλων παθῶν δεκτικήν. Καὶ ἔκτασιν μὲν ἔχον, οὐκ ἔκτασις δὲ, πάθος γὰρ τοῦτο, καὶ οὐσιώδης ἐστὶ τῆς ὕλης χαρακτὴρ, οὐχὶ δὲ ἡ ὕλη αὐτὸ χρῆμα. Ἔκτασιν δὲ, οὐ ψιλήν τινα, οὐδ' ἀμυδρὰν, πλήρη δὲ, τουτέστι τὸ εἶναι αὐτὸ μετ' ἐκτάσεως· φύσει δὲ στερεὰν, καὶ ἀντέχουσαν, καὶ ἀδιαχώρητον. Τοιαύτην γὰρ, οἷαν οὐσιωδῶς παχύτητά τινα πεφυκυῖαν, ἀντίβασιν ἔχειν πρὸς παραπλησίαν τὴν παχύτητα, μηδ' ἐνδέχεσθαι, μηδεμιᾷ τῶν ἐν τῇ φύσει δυνάμεων, σὺν ἄλλῃ ἅμα τε καὶ ὁμοῦ ἐντοπί„ζεσθαι. Συνελόντι γὰρ, αὐτὸ τυγχάνειν τὸ τειχῇ δια„στατὸν μετ' ἀντιτυπίας, καὶ ὠγκωμένον. (1) Διαιρετὴν δὲ, τῇ γοῦν ἐπινοίᾳ, καὶ μεριστὴν ὡσαύτως, καὶ κινητὴν, καὶ ἠρεμητὴν, ἅτε δὴ καὶ ἐντοπιστὴν, καὶ σχημάτων δὲ παντοίων ἀντιληπτικήν. Παρὰ μὲν οὖν τοῖς Ἀρχαίοις, ἀνείδεος κομιδῇ καὶ ἄμορφος, καὶ πάμπαν ἀόριστος, οἱονεὶ στοιχεῖόν τι πρώτιστον, εἰς σύστασιν τὴν τῶν συνθέτων προϋποκειμένον, ἐννοουμένη, τοὔνομα τῆς ὕλης κατεῖχε τῆς πρώτης. Κατ' εἶδος δέ τι, καὶ σχῆμα, καὶ μέγεθος, ἤ τινας τῶν ἄλλων, ὧνπερ ἐν μεθέξει γίνεται διαθέσεων διορίζομένη, εἰς τὴν τοῦ σώματος ἐπωνυμίαν μετέπιπτεν. Διὸ καὶ τὴν ὕλην διαιωνίζειν ὑπολαβόντες, τὴν ἐν χρόνῳ σύστασιν παρεῖχον τοῖς σώμασιν.

§. φιβ'. Τὸ δὲ κενὸν, ὃ συνυποστῆσαι τῇ ὕλῃ ἐκ πάσης

---

(1) Πορφύρ. Ὑπομν. β'. εἰς τὸν Τίμ. §. φιβ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σης ἀνάγκης δεῖν ἔγνωσαν, οἵ τε περὶ Δημόκριτον, καὶ Ἐπίκουρον πάλαι, καὶ συχνοὶ τῶν Νεωτέρων ὕστερον, ὀρθῶς ἂν ὁ σείσειας ψιλὴν ἔκτασιν εἶναι, μὴ παντελῶς ἀπουσίας σώματος· ἢ γοῦν, εἴ τι ἐπιβάλλω, ἀκριβῶς ἂν τῆς τοῦ κενοῦ φύσεως ἅψαιο, περάτων θέσιν ὑπογράψας, ἐν ἄρσει τῶν κατὰ τὸ μέσον. Εἰ γὰρ ὅ τινές φασιν, ἁφῇ τε καὶ ὁράσει τὸ πλῆρες κρίνομεν, (1) ἢ ἁφῇ μάλιστα, ὥς ἄλλοι, (2) τὸ τῶν σωματικῶν οὐσιῶν ἀδιαχώρητον, καὶ ἀσύμβατον οὕτω ταῖς τῶν αἰσθήσεων ἀναλήψεσι διδασκόμενοι, καὶ τῷ ἀσυμπτώτῳ πάντως τῶν τοῦ σώματος ὅρων, τῆς ἐκείνου φύσεως, τῇ γοῦν ἐπινοίᾳ, ἐκ μέσου ἀρθείσης, τὸ κενὸν διάστημα φανταζόμεθα.

§. φιγ'. Εἶναι γοῦν, οὕτως ἔχον τὸ κενὸν, ἧπερ εἴρηται, αὐτὸν τὸν τόπον ἐν ᾧ τὰ σώματα, διατείνονται οἱ εἰσάγοντες· (3) τοὺς δὲ ἄλλως πως περὶ τόπου ἀποφαινομένους, καὶ τοῦτον εἶναι λέγοντας τὴν τοῦ περιέχοντος ἐπιφάνειαν, ὡς μόνον οὐκ ἀδύνατα ὑποτιθεμένους, παρὰ τὸ τὰς ἐκτάσεως ἀμοιρούσας οὐσίας, ὑπάρξεως μὲν ἀξιοῦν, οὐδαμοῦ δ' εἶναι ἀναγκάζεσθαι λέγειν, ἅτε μὴ πέρασι περιγράφεσθαι φύσιν ἐχούσας, Οὐδαμίτας παρονομάζειν σκοπτικώτερον χαίρουσιν.

## Θεώρημα ΙΓ'.

§. φιδ'. „Δύω τινὰ ἐκτάσεως ἄμοιρα, ἔκτασιν συνιστᾶν οὐ πεφύκασι.

Οὐ γὰρ οὐδὲ δύω ἐκτάσεις, ἐκ τῶν δυοῖν, ἑτέραν ἐξ ἑτέρου ὑπονοήσειέ τις συνισταμένας, καθ' ὅ,τι ἑκάτερόν τε ἀνέκτατον ὑποτίθεται ὄν, καὶ ἕν, ἡ δὲ ἔκτασις οὐκ ἐξ ἑνὸς, ἀλλ' ἐκ πλειόνων συνυπαρχόντων. (§. φι.) Οὐδ' ἐξ ἀμφοῖν μίαν εἰς ἓν συνιόντων. Ἐὰν γὰρ συναφθῇ, ἤτοι δι' ὅλου

(1) Λώκιος. Βιβλ. β'. Κεφ. δ'. καὶ κγ'.
(2) Γενουΐσ. Μεταφ. Μέρ. ά. Ὀρ. ιζ'.
(3) Γραβεζανδ. Μουσχεμβρ. καὶ τῶν περὶ Νεύτ. οἱ πλεῖους.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὅλου ἕνωσις ἔσται ἡ κατὰ μέρος. Ἀλλ᾽ εἴπερ ἐκεῖνο, δι᾽ ἀλλήλων κεχωρηκότα, ἐκτὸς ἀλλήλων οὐκ ἔσται, καὶ οὐδ᾽ ἔκτασιν δώσει. (§. φί.) Ἔσται δὲ ἐκ τῶν δύω ἓν αὖθις, οἷον καὶ πρὶν, ἀνέκτατον δηλονότι. Εἰ δὲ τοῦτο, μέρος ἕξει μέρους ἐκτὸς, καθ᾽ ὃ ἡ συνάφεια. Καὶ ἔκτασιν ἄρα ἑκάτερον. Τὸ δὲ τὴν ὑπόθεσιν ἀναιρεῖ. Ἄρα κτ.

## Πόρισμα.

§. φιέ. Οὐκ ἄρα ἡ τὴν ἔκτασιν οὐσιωδῶς πλουτοῦσα ὕλη, (§. φιά.) ἐξ ἀνεκτάτων σημείων συσταίη ἄν ποτε, ἀλλ᾽ ἐξ ἐκτεταμένων, καί τοι ἀπλουστάτων πεφυκότων, καὶ ταῖς ἐν τῇ φύσει δυνάμεσιν ἀδιαιρέτων. (§. υθ΄. υί.)

## Σχόλιον.

§. φις΄. Ὁ τὰ μεγέθη εἰς ἀεὶ διαιρετὰ δογματίσας (1) Ἀριστοτέλης, καὶ πρὸ δὴ τούτου Θαλῆς τε, καὶ Πυθαγόρας (2), καὶ πάντες δὲ μονονουχὶ οἱ καθ᾽ ἡμᾶς, προστίθενται τῇ δόξῃ, τῶν ἀδυνάτων ὅλως ἡγούμενοι, ἐξ ὁποσωνοῦν ἀμοίρων ἐκτάσεως προσαθροιζομένων, ἔκτασιν συστῆναι τινὰ, καὶ τὴν τυχοῦσαν· τῶν Παλαιῶν δὲ Ζήνωνα φερόμενον ἴσμεν, τὸν ἐκ σημείων ἀνεκτάτων τε καὶ ἀδιαιρέτων, τοὺς τῶν ἐνύλων τε καὶ σωματικῶν μεγεθῶν, πρῶτον συμπηγνῦναι τολμήσαντα ὄγκους· οὗ τὸ δόγμα ἀπαραλλάκτως μὲν εἰσπεποίηκεν ὁ Νεώτερος Σουεδεμβέργιος (3), μετά τινος δὲ διαφορᾶς ἠσπάσαντο καὶ οἱ περὶ Λεϊβνίτιον, καὶ Οὐόλφιον. Αἱ μὲν γὰρ κατ᾽ ἐκείνους μονάδες, ἀκριβῆ τὴν πρὸς ἀλλήλας ἐμφέρειαν διασώζουσιν, αἱ δὲ κατὰ τούτους, τοὐναντίον, ἐπίσημον ἔχουσι

τὴν

(1) Βιβλ. ά. Περὶ Οὐραν. ἐδ. β΄.
(2) Ἀρεσκόντ. Βιβλ. ά. Κεφ. ις΄.
(3) Περὶ Ἀρχ. Φυσ. §. β΄. Ἀριθ. ζ΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὴν διαφοράν· ἀδύνατον ὄν, ὡς ὁ αὐτῶν λόγος, ἐν τοῖς οὖσιν εἶναι τὰ πάντῃ ὅμοια. Ταύτῃ τοι καὶ ἀρκοῦσι μὲν ἐκεῖναι εἰς ἐκτάσεως παραγωγήν, διὰ τὴν ὁμοιότητα, εὖ μάλα δὲ, ὑπεργοῦσιν αὗται, ὅπερ Οὐόλφιος οἴεται, πρὸς αὐτὸ τοῦτο, κατεχούσης δῆθεν ἐκτὸς ἀλλήλων αὐτὰς τῆς ἀνομοιότητος, μηδ' εἰς ἓν ἐλθεῖν ἐπιτρεπούσης, καὶ τὴν ἔκτασιν οὕτω συνισώσης. Ἀλλ' ὅτι μὲν ἐξ ἀδιαστάτων ὁποσωνοῦν, ὅπως ἂν ἔχοι καὶ πρὸς ἄλληλα ὁμοιότητος ἢ διαφορᾶς, ἔκτασιν συναποτελεῖσθαι ἀμήχανον, μετ' ἀκριβοῦς οἶμαι τῆς ἀποδείξεως πιστωθὲν κεῖται διωρισμένον. (§. φιδ'.) ὅτι δὲ καὶ ψυχρά ἄττα ἐκεῖνοι εἰσὶν ὑπὲρ τῆς ἰδίας προβαλλόμενοι δόξης, καί τι γενναῖα πάνυ οἰόμενοι, ἐντεῦθεν συνιδεῖν ῥᾴδιον. Δεῖν γὰρ, φασὶ (1) τὰς σωματικὰς μονάδας ἐκτάσεως εἶναι καθαρευούσας, εἰ μέλλοι τις ἐξ αὐτῶν οὕτως ἐχουσῶν, λόγον ἀποδώσειν, τῆς τῶν σωμάτων ἐκτάσεως. Τὸ γὰρ λέγειν, ὡς ἐκτεταμένα ταῦτα ἐστὶ, διότι ἐξ ἐχόντων ἔκτασιν, τὸ ἐν ἀρχῇ προφανῶς ἐστὶν αἰτεῖσθαι, μηδὲν λόγου ἄξιον ἐπιφέροντα. Πρὸς ἅπερ ἡμεῖς, γνώρισμα οὐσιῶδες τῇ ἐνύλῳ φύσει (§. φιά.) τὴν ἔκτασιν εἶναι διατεινόμεθα, ὥσπερ οὖν καὶ τῇ αὔλῳ τὴν νόησιν· λόγος τε ἀπαρκῶν ἐπ' ἀμφοῖν, δι' ὃν οὕτως ἔχει, ἐσωτερικῶς μὲν τὸ ἀπολύτως εἶναι δυνατὸν, παρὰ τὸ μηδὲν ἀντιφάσκειν. (§. ρξή.) ἐξωτερικῶς δὲ τὸ κατὰ σχέσιν, διὰ τὸ ἀπειροσθενὲς τοῦ ποιητικοῦ. (§. ροά.) ἐπειδὴ εἰ πάθος οὐσιῶδες τῇ ὕλῃ τὸ ἔχειν ἔκτασιν, τῶν δὲ τοιούτων παθῶν λόγος ἀρχικώτατος ἡ οὐσία, ἧς ἐπὶ ἑκάστου πρῶτον οὐδὲν, τίνα λόγον ἔχει τὸ λόγον ζητεῖν, δι' ὃν ἡ ὕλη ἐκτέταται, παρὰ τὴν οὐσίαν τὴν ἑαυτῆς καθ' ἣν οὐσίωται; ἢ καὶ αὐτοὶ λεγέτωσαν τίς ὁ λόγος, δι' ὃν αἱ κατ' αὐτοὺς μονάδες ἐδυναμώθησαν; ἢ οὐχὶ τὴν οὐσίαν αὐτῶν ὡς λόγον ἀναγκαιότατον ἀποδώσουσιν; Οὕτως οὖν καὶ ἐπὶ παντὸς, ὃ ἂν μόριον ὁποσονοῦν ᾖ τῆς ὕλης, καὶ ἡ κατὰ τὴν ὕλην οὐσία παρέσται, καὶ τὸ κατὰ τὴν

ἐκτα-

(1) Ὅρα τὰς Φυσιολογ. Εἰσηγήσ. τῆς Φιλοσοφ. Φιλοσόφου Κασελλὲτ Κεφ. ζ'. §. 120. κέξ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἔκτασιν οὐσιῶδες πάθος· οὐ γὰρ τὰ μέρη συνιόντα τὴν πρώτην οὐσίαν τοῦ ὅλου χαρίζεται, τὴν ὁλοκληρίαν δὲ εἰ τύχοι, καὶ τὸ μεῖζόν τε καὶ ὑπερέχον τῆς ἐκτάσεως, οὐχὶ τὴν ἔκτασιν. Ἀλλὰ γὰρ τὸ ἐκ μὴ ταύτην ἐχόντων, ὡς ἐκ μερῶν συνιστᾶν ἐθέλειν τὰ ἔχοντα, οὐδὲν ἐστὶν ἀλλ' ἢ συστατικὰ ἡγεῖσθαι τῶν ὄντων τὰ τούτων ἀναιρετικὰ, οἷον τῶν σωματικῶν τὰ ἀσώματα· ὃ γὰρ β. προστιθέασιν (1) οὐδὲν τοῦ πρώτου εὐλογώτερον, τὸ λέγειν δηλονότι, ὅτι καὶ ἐκ μονάδων τὰ πλήθη. Οὐ γὰρ τὸ ἀδιάστατον πρὸς τὸ ἐκτεταμένον, καθὰ τὴν μονάδα πρὸς τὸν ἀριθμὸν ἀντίκειται· ἡ γὰρ μονὰς συνίστησι τὸν ἀριθμὸν ἐπαναληφθεῖσα, καὶ ἐξ ἀνάγκης ἀεὶ συνεισάγεται. (§. τξδ΄.) τὸ δέ τοι ἔκτασιν ἔχον καὶ τὸ μὴ, καὶ τὸ σωματικὸν, καὶ τὸ μὴ, ἀναιρετικὰ ἀλλήλων γινόμενα παντῇ ἀσύστατα. Ταύτῃ τοι καὶ ἐκ μονάδων μὲν ὁ ἀριθμὸς,, ἐξ ,, ἀμερῶν δὲ οὐδὲ σῶμα, οὐδὲ μέγεθος ἂν γένοιτο. (2) Γ΄. δὲ οὐδὲ τὸ ἐκ τῆς πρὸς ἀλλήλας τῶν μονάδων ἐνεργήσεώς τε καὶ ἀντενεργήσεως αὐτὸ τὸ σχῆμα τῆς ἐκτάσεως συνιστᾶν εὔλογον, ἢ ὅλως πιθανόν. (3) Τὸ γὰρ ἐνεργεῖν β. τοῦ εἶναι, διὸ καὶ τούτου, ἄνευ ἐκείνου, ὄντος, εἴη ἂν τὰ σώματα ἐκτάσεως ἄμοιρα, καὶ τοῦ κατ' οὐσίαν αὐτοῖς προσήκοντος πάθους ἐστερημένα· τῷ ὄντι δὲ εἰ τὸ ἐπενεργεῖν τε καὶ ἀντενεργεῖν ἀμοιβαδὸν ἀλλήλοις συστατικὸν ἦν τῆς ἐν τῇ ὕλῃ ἐκτάσεως, ἔδει δήπου ἐκείνων μὲν ἐνεργείᾳ ὄντων, ἀεὶ καὶ ταύτην παρεῖναι, ἀπόντων δὲ ἀπεῖναι κατὰ πᾶσαν ἀνάγκην· νῦν δὲ τοῦτο συμβαίνει μὲν οὐδαμῶς, γίνεται δὲ τοὐναντίον. Σωμάτων γὰρ φέρε ποδιαίων δυοῖν κατὰ τὸ συνεχὲς συνημμένων, καὶ μηδὲ τὸ σύνολον ἀλλήλοις ἐπενεργούντων, τέλεον δὲ ἠρεμεῖν νοουμένων, διποδιαία οὐδὲν ἧττον συστήσεται ἔκτασις· τοὐναντίον δὲ πνευμάτων δυοῖν, καὶ πλειόνων, τῆς κατὰ τὴν ὕλην φύσει καθαρευόντων ἐκτάσεως, καὶ ἀλλήλοις κατ' ἐνέργειαν ἐπεμβαινόντων, οὐδὲν οὐδὲ τὸ τυχὸν ἀνακύψει ἐκτε-

πα-

---

(1) Ἡ Φιλόσοφος Καστελὲτ ἔνθα ἄνωτ.

(2) Πλωτίνου περὶ ψυχ. παρ' Εὐσεβ. Εὐαγγ. Προπαρ. Βιβλ. ιε΄. Κεφ. κβ΄.

(3) Οὔλφ. Κοσμολ. Τμήμ. β΄. Κεφ. γ΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πεμμένον. Ἀλλ' ἐπιεικῶς τουτὶ τὸ δόγμα ὅλην ἄρδην ἀναιρεῖ τὴν σωματοειδῆ φύσιν, καὶ τοιαῦτα πλάττει ἃ παρὰ τὴν κοινὴν τῶν πάντων ἐστὶν ἐνάργειαν.

## Θεώρημα ΙΔ΄.

§. φιζ΄. „Οὐκ ἐν τῷ τριχῇ διαστατῷ, ὡς ἐν εἰδοποιῷ „ὁλοσχερεῖ διαφορᾷ, ἡ πᾶσα οὐσία κεῖται τῆς ὕλης.

Ἔδει γὰρ δήπου τῆς τριττῆς ἀεὶ κειμένης διαστάσεως, ἢ νοουμένης, καὶ τὴν ὕλην αὐτὴν εὐθὺς ὑφίστασθαι, ἢ νοεῖσθαι, εἴπερ αὕτη ἐκείνης οὐσιωδῶς ἐξήρτηται. ( §. σλα΄. σλγ΄. ) Ἤδη δὲ, εἰ καὶ μὴ πράγματι ὑφεστὼς, τῷ γοῦν λόγῳ, καὶ ὕλης οἱασοῦν κενὸν ἔνι νοεῖν τὸ τριττὸν τῆς διαστάσεως· ὡς δῆλον μὲν καὶ καθ' ἑαυτὸ παντὶ ἐπιστήσαντι, ἐφεξῆς δὲ καὶ δειχθήσεται. Ἄρα κτ.

## Σχόλιον.

§. φιή. Τῇ ἐνύλῳ τε καὶ σωματικῇ φύσει, ἰδιάζον προσεῖναι πάθος τὸ τῆς ἐκτάσεως, τοῖς πᾶσιν ὁμόλογον φέρεται ( εἰ μή τις τοὺς περὶ Λειβνίτιον ἐξαιροίη, οἳ ἐκ τῶν ἀδιαστάτων μονάδων συμπλάττειν τὰ σώματα χαίροντες ( §. φις΄. ) οὐκ οὖσαν τῷ ὄντι, ἐπίπλαστόν τινα δὲ, καὶ μόναις ταῖς κατὰ φαντασίαν εἰκόσι δημιουργουμένην, τὴν ἐν αὐτοῖς ἔκτασιν ὀνειροπολοῦσι. (1) Τοῦς τε γὰρ πάλαι κοινῇ τὸ πάθημα προσαπονεῖμαι τῇ ὕλῃ φανερόν· (2) καὶ παρὰ τοὺς ἀοιδίμους δὲ τούτους, καὶ πάντας τοὺς ὕστερον. Ἀλλὰ γὰρ ὁ Γάλλος Καρτέσιος πέραν τοῦ δέοντος τὸ δόγμα προήγαγε, τὸ πρῶτον, καὶ μόνον, καὶ αὔταρκες καθ' ἑαυτὸ εἰς εἰδοποίη-

σιν

---

(1) Ἡ Φιλόσοφος Καστελὲτ §. 134.

(2) Πλουτάρχ. βιβλ. α΄. περὶ Ἀρεσκ. Κεφ. ιβ΄. Καὶ Ἀριστ. βιβλ. γ΄. Φυσ. Ἐδαφ. μγ΄. Καὶ βιβλ. γ΄. Μεταφ. Κεφ. δ΄. Καὶ βιβλ. α΄. περὶ Γεν. Ἐδ. κη΄.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σιν τῆς σωματικῆς οὐσίας, τοῦτί τὸ πάθος τυγχάνειν εἰσηγησάμενος, οὗ τεθέντος ἐκ τοῦ σύνεγγυς παρακολουθεῖ, οὔτε ἀφαιρεθέντος, ἄρδην ἡ τῆς ὕλης περιτρέπεται φύσις. (1) Ἐνθένδε δὲ ὡς ἀπὸ ἀρχῆς ὁρμησάμενος ἀδιασείστου, καὶ τὴν παντὸς σώματος κενὴν διάστασιν, ἐν τοῖς ἁπλῶς ἀδυνάτοις ἔθετο, καὶ ἀπερινοήτοις, ἀντιφάσκον τόγε ἐκείνῳ δοκεῖν, ἔκτασιν εἶναι τῆς ἐνύλου παχύτητος πάντη χηρεύουσαν. Λόγος δὲ ᾧ κατοχυροῦν τὴν περὶ τούτου οἴεται δόξαν, οὗτος μάλιστα „ ὅτι, φησὶν, ἀντιφάσκει τοῦ μηδενὸς ἔκτασιν εἶναι· (2) τῇ γὰρ ἐκτάσει κατὰ τὸ αὐτὸ, καὶ οὐσία ἡ τοῦ σώματος συνεπινοηθήσεται ἐξ ἀνάγκης. Ἀλλ᾽ ἔστω δὴ ταῦτα ἤδη, ὅπως καὶ λέγεται, οὔπω περὶ ἐκτάσεως κενῆς εἰπεῖν προκειμένου· τί δέ τις, εἴπερ ἀπαντήσας τὸν αὐτὸν ὑποβάλοι λόγον, καὶ περὶ τῆς παχύτητος, καὶ τῆς βαρύτητος, καὶ τῶν ἄλλων, τῶν ἐξ ἀνάγκης τῇ ὕλῃ παρεπομένων, οἷς τεθεῖσιν ἐκ τοῦ ἀκολούθου ἡ ἔνυλος οὐσία συνεισάγεται; Ἀλλ᾽ εἰ καὶ ταῦτα, φησὶ, πάντα ἀφέλῃς, ἑνὶ καὶ μόνῳ ἐκείνῳ τῷ γνωρίσματι τῆς ἐκτάσεως ἡ ὕλη συνυπολειφθήσεται, ἀνάπαλιν δ᾽ οὔ. (3) τί γε μὴν ἄλλο λοιπὸν ἐκείνων ἐκ μέσου γενομένων, ἢ ἀβαρής τις, καὶ ἀπαχὴς, καὶ πάντη ἀμενηνὴ ἔκτασις, ταυτὸν δὲ εἰπεῖν ἡ κοῦφη τε καὶ πάντη διάκενος, ἣν οὐδὲ νοητὴν εἶναι βούλεται, ἐγὼ μὲν οὐχ ὁρῶ. Εἰ δ᾽ οὖν καὶ δοίημεν, ἥπερ ἐκείνῳ δοκεῖ, οὐ μὴν ἀλλ᾽ οὐκ ἀσφαλὲς, τῇ ἀφαιρέσει τῶν ἐν τινι ὁποιωοῦν παθημάτων, ἐφ᾽ ἕν τι ἥκοντας, ἐπ᾽ ἐκείνῳ τὴν ὅλην φύσιν ἡγεῖσθαι σαλεύειν τοῦ πράγματος. Εἴη γὰρ αὖ καὶ ἄλλως, σιδηρᾶν φέρε σφαῖραν χειρὶ λαβόντας, καὶ ὀφθαλμοὺς μύσαντας, μηδέν τε περὶ μηδενὸς τῶν αὐτῇ προσόντων, οὐδ᾽ αὐτῆς τῆς ἐκτάσεως, ἐννοήσαντας, μόνης τε, τῆς ἣν τὸ βρῖθος θλῖψιν ἐμποιεῖ τῇ χειρὶ ἠσθημένους, ταύτῃ μόνῃ λοιπὸν τῇ διαφορᾷ ἐπιγνωρίζειν τε καὶ εἰδοποιεῖν τὴν οὐσίαν τοῦ σώματος. (4) Ἀλλ᾽ οὐκ ἔστι ταῦτα.

(1) Ἀριστοτέλ. Μέρ. β'. περὶ Ἀρχ. Ἀριθμ. δ'. καὶ ιά.
(2) Αὐτ. Ἀριθμ. ιϛ'.
(3) Αὐτ. Ἀριθμ. ιά.
(4) Μουσχεμβροέκ. Φυσιολ. §. 18.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τα. Οὐ γὰρ ἐν σύ τινὶ καὶ μόνῳ γνωρίσματι, κεῖσθαι νομιστέον τὴν ὅλην φύσιν τοῦ ἔχοντος, εἰ μήτι τῶν κατ' ἀφαίρεσιν καθ' ἑαυτὸ χωρὶς νουμένων τοῦ ὑποκειμένου τύχοι, οἷον γνώρισμα μᾶλλον εἶναι, ἢ γνωριζόμενον.

## Θεώρημα ΙΕ'.

§. φιθ'. „ Η μετ' παχύτητος ἔκτασις, ἀποχρῶν εἰς ἔννοιαν τῆς ἐνύλου φύσεως ἐστὶ γνώρισμα, οὐμὴν δὲ καὶ τοιοῦτον, οἷον γνῶσιν πλήρη τε καὶ ἀπηκριβωμένην ἡμῖν παρέχειν τῆς κατὰ τὴν ὕλην φύσεως.

Τοῦτο γὰρ τὸ γνώρισμα, ᾧ παντὸς ἄλλου τὸ νοητὸν διακρίνεται. (ὡς ἐν τῇ Λογ.) Ἡ δὲ δὴ μετ' παχύτητος ἔκτασις, οἱασοῦν ἄλλης φύσεως, ἥτις μὴ ἔνυλος ᾖ, τὴν ὕλην διακρίνει τε, καὶ χωρὶς ἵστησι· τῆς τε γὰρ αὔλου, ὡς ἁπαχοῦς (ἐξ ὑποθ.) καὶ τῆς κενῆς διαστάσεως. (§. φιβ'.) οὐδὲν ἧττον. Ἄρα κτ. Ο. Η. τὸ Α'.

Εἰ δὲ τοιοῦτον ἦν τὸ προτεθὲν γνώρισμα ὡς τὴν ὅλην φύσιν τῆς ὕλης δι' αὐτοῦ ἀνελλιπῶς ἀκριβοῦσθαι, πάντα ἂν τὰ λοιπὰ, ὅσα αὐτῇ πρόσεστι δῆλα ὑπῆρχε τὰ λοιπὰ, ἐξ ἐκείνου προεγνωσμένου ἐπιφερόμενα, ὡς δὴ καὶ ἐκ τεθέντος, τῷ τοῦτο εἶναι ἑπόμενα· οἷον ἡ κίνησις, ἡ καλουμένη τῆς ὕλης ἀδρανία, ἡ βαρύτης, ἡ δύναμις ἡ ἐφελκυστικὴ, καὶ ὅσ' ἄλλα αὐτῇ παροπηδεῖν ἔγνωσαι· καθάπερ δὴ καὶ τῆς τοῦ κύκλου φύσεως, καὶ τῆς τοῦ τριγώνου, τὰ τοῖς εἴδεσι τούτοις προσόντα πάθη γνωρίζεται, καὶ ἐκ τῶν προτέρων κατασκευάζεται. Ἀλλ' οὐκ ἔστιν, ὡς δῆλον ἐξ αὐτῆς τῆς περὶ αὐτὰ ἐνασχολουμένης ἐπιστήμης. (1) Ἄρα καὶ τὸ Β'.

Σχό-

(1) Ὅρα Μουχεμβροέκ. Φυσ.' §. 19.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Σχόλιον.

§. φκ΄. Ἐκεῖνο ἄρα ἡμῖν ὡς πρῶτόν τε καὶ εἰδοποιὸν εἰδόσι τῶν ἐν τῇ ὕλῃ, γνώρισμα οἷον ὂν αὐτῆς ἐπισημότατον, τὸ τῆς θετικῆς τε καὶ πλήρους ἐκτάσεως (1) ταὐτὸν εἰπεῖν, „ τὸ τριχῇ διαστατὸν τὸ μετ᾽ ἀντιτυπίας, καὶ ὠγκωμένον, (2) πάνυ δὲ ἴσως πολλὰ οἷς αὐτὴ ἐνουσίωται ἀγνοοῦσι, τὸ βραχὺ οὕτως, ἧς ἔχομεν γνώσεως, κατασέλλον τὸ οἴεσθαι, φρονηματίαις εἶναι τισὶν ἥκιστα ἐπιτρέψει. Εἰ γὰρ οὐδὲ τοῦ σώματος, καί τοι ταῖς αἰσθήσεσι δαδουχούμενοι, τὸ ἀκριβὲς τῆς οὐσίας κατοπτεύειν οὐκ ἐξισχύομεν, πῶς ἂν τῶν ὑπὲρ τὴν αἴσθησιν ἀνενδοιάστως κατατολμῷμεν; Τῶν γὰρ ἐξ ἐπιπολῆς ἐπιτρεχόντων τῇ ὕλῃ μόνων ἁπτόμεθα, καὶ τούτων οὐδὲ πάντων ἀλλὰ τινῶν, τῶν δὲ εἰς βάθος τὴν ἐκείνης οὐσίαν συγκροτούντων ἐπίπαν ἀπολειπόμεθα. Καὶ ὅτι μὲν ἐκτέταται, ὅτι δ᾽ ἀντέχει, καὶ νωθής τις φύσει καθ᾽ ἑαυτήν, καὶ κινήσεως ἐστὶν ἐπιδεκτικὴ, καὶ ἠρεμίας, καὶ σχήματος, βαρύτητός τε οὐκ ἄμοιρος, καί τινος πρὸς ὁλκὴν δυνάμεως, καί τινων παρὰ ταῦτα ἐπουσιωδεστέρων ἄλλων παθῶν ἐν μετουσίᾳ καθίσταται, οἷον στεγανότητος, ὑγρότητος, ἐλατείας, τραχύτητος, ἁπαλότητος, καὶ τῶν τοιούτων, περὶ ὧν τοῖς ἰχνηλάταις τῆς φύσεως ὁ πολὺς γίνεται λόγος, ὁπωσοῦν εἰδέναι οὐκ ἂν ἔξαρνοι εἴημεν. Εἰ δὲ παρὰ ταῦτα καὶ ἄλλων ἡ ἔνυλος οὐσία μετέχει, καὶ τί δήποτε ἄρα ἐστὶ τὸ ταῖς τοιαύταις ἰδιότησιν οἷον ὑποστρωννύμενον, ἐπιεικῶς ἀγνοοῦμεν. Διό μοι καὶ ναυτίαν κινεῖ ὡς εἰκὸς, ὁ ἐπὶ τῶν μεταφυσικῶν θεωριῶν κλεϊζόμενος Λώκιος, ἐν οἷς μονονουχὶ, τὴν ὑπὲρ νοῦν τῆς ὕλης ἐκ τοῦ μὴ ὄντος δημιουργίαν ὑποσχεδιάζων τῷ λόγῳ, εἰ μόνον, φησὶν, διακεκριμένοις τοῦ διαστήματος μέρεσι, τὴν πρὸς ἀντοχὴν ὁ δημιουργὸς ἀπεκλήρου δύναμιν, ὑπέστη ἂν οὕτως ἡμῖν τῆς ὕλης τὸ σχῆμα. Τί γὰρ πρὸς τῆς ἀληθείας,

(1) Ἀριστ. Μεταφ. Β. Κεφ. δ΄. καὶ Ἀλλ.
(2) Πορφύρ. Β΄. Τῶν εἰς τὸν Τίμαι. Ὑπομνημ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θείας, τῶν τοιούτων λέγοιτ' ἂν ἀηδέστερον; τί δὲ θρασύτερον; τὸ γὰρ ἀντέχειν διὰ παχύτητα, ψιλῶς οὕτω καθ' ἑαυτὸ εἰσαγόμενον, ἐν τῷ κατ' αὐτὸν ἀδιαιρέτῳ τε καὶ ἀκινήτῳ καὶ ἀβαρεῖ διαστήματι, καὶ τῶν λοιπῶν γυμνῷ οἷς ἡ ἔνυλος πεπλούτισται φύσις, ὧν τε ἐν γνώσει, καὶ ὧν αὐτοὶ ἐν ἀγνοίᾳ ἐσμὲν παθῶν ἁπάντων πῶς ἂν ὅλως, ἢ πόθεν, χορηγὸν γένοιτο; Εἰ γὰρ τῶν λοιπῶν ἁπάντων παραίτιος ἦν ὁ ὄγκος, συνηρτύετο ἂν τῇ τοῦ αἰτίου θέσει καὶ τὰ ἐξ αὐτοῦ ἐκ τοῦ ἀκολούθου, οἷον τὸ πέρας ἐπιδέχεσθαι, τὸ σχῆμα, τὸ μέτρον, τὸ διαίρεσιν, τὸ θέσιν, καὶ τὰ τοιαῦτα. τὸ δὲ ἐλατήριον πόθεν; τὸ δὲ τοῦ βάρους; τὸ δὲ τῆς ὁλκῆς; καὶ ὅσ' ἄλλα ἐπὶ τούτοις ἤτοι δῆλα, ἢ καὶ λανθάνοντα, πῶς ἂν σὺν αὐτῇ προσαχθείη, τῇ πρὸς ἀντοχὴν δυνάμει, εἰ μὴ καὶ ἐξ αὐτῆς ἠρτημένα δειχθείη πρότερον; Ἀλλὰ τοῦτο δὴ τὸ συμβαῖνον τοῖς ἐν τῷ φιλοσοφεῖν τολμηροτέροις, τοῖς ἐξ ἑνὸς τυχὸν ἢ καὶ δευτέρου πάθους ἃ συνιδεῖν ἔχον, αὐτὴν, ὅ φασιν, ἐξευρηκέναι τὴν πιτυὰν οἰομένοις τοῦ πράγματος.

## Θεώρημα Ις'.

§. φκά. „ Πότερον τῇ νοερᾷ φύσει, ἔκτασίς τις προσή-
„ κουσα ἐστὶν, ἢ μὴ, ἔμοιγε ἄδηλον. Εἰ δὲ καὶ προσήκουσα
„ τεθῇ, ὁ τῆς τοιαύτης ἐκτάσεως τρόπος πάμπαν ἀπερι-
„ νόητος.

Πότερον γὰρ, σημεῖον ἐστὶν, οἷον τὸ Γεωμετρικὸν πᾶσα νοερὰ φύσις; ἢ, ὅτι διὰ τῆς σωματικῆς οὐσίας γινομένη, ἐν τῷ ταύτην εἰδοποιεῖν, φέρει καί τι ἑαυτῇ προσῆκον, παρ' ὃ φαντάζεσθαι πεφύκαμεν, εἶδος ἐκτάσεως; Παροῦσα γὰρ τοῖς σώμασι, καὶ διὰ σωμάτων τὰς κινήσεις περαίνουσα, πότερόν ποτε τῷ ὅλῳ, ἢ τῷ μέρει, ἢ τῷ ἀμερεῖ τῶν κατὰ τὸ σῶμα πάρεστιν; οὐκ ἔχω ὅ,τι καὶ εἴπω. Εἰ μὲν γὰρ τῷ ὅλῳ, καὶ τούτῳ ἄρα πως συνεκτέταται. Εἰ δὲ τῷ μέρει, οὐδὲ τούτου ἀμεροῦς ὄντος, καὶ πάντη ἀδιαστάτου, (§. φιέ. φις'.) ἔοικεν ὡσαύτως κἀκείνῃ μετεῖναι ποιᾶς ἐκτάσεως. Ἀλλὰ τῷ ἀμερεῖ τοῦ σώματος παρέσται, οὐκοῦν οὐδὲ παρέσται πράγματι· οὐδὲ γὰρ οὐδὲ τὸ σῶμα ἀμερές, οὐδὲ τῶν ἐξ ὧν τὸ σῶ-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μα ἐδέν. ( §. Αὐτ. ) Ὥςε εἴγε πάρεςι, ϗ ἐκτέταται ἢ δοκεῖ. Ἀλλὰ γὰρ εἰ τῦτο τεθῇ, καὶ πολλὰ τὰ συμπαρόντα αὐτῇ ἔςαι, ἐξ ὧν αὐτή· τῦτο γὰρ εἶναι βέλεται ἡ ἔκτασις. ( §. φί. ) Καὶ πῶς ἔπειτα τὴν σύνθεσιν παραιτήσεται τὴν ἐκ μερῶν, ἡ φύσις ἡ ἁπλεςάτη, ϗ ἀσώματος; τῦτο ἐκεῖνο, ἔμπροσθεν κρημνὸς, κὄπισθε ῥεῦμα. Ο. Η. τὸ Α΄.

Εἰ δὲ ϗ ἐκτάσεως ἀμοιρῦσα τεθείη, μακρῷ πάντως διαφέρυσα ἔςαι τῆς τῶν σωμάτων, ἡ κατ᾽ ἐκείνην, οἱονεὶ ἔκχυσις· ἧς γὰρ ϗ ἡ διαίρεσις πόρρω ἐλήλαται, ϗ ἡ μερῶν ἐκτὸς ἀλλήλων ϗ ἐπ᾽ ἄλληλα θέσις, ϗ τὸ ὅλον εἰπεῖν, ἡ ἐκ πολλῶν τινων συγκρότησις, ἥτε καὶ τὰ σώματα ὑπὸ τῦ περιέχοντος περιγραφὴ, ϗ ὁ ἐντοπισμὸς, ἀπεριλνόητον ἡμῖν ἐκτάσεως εἶδος τὸ τοιῦτον ἐςὶν, εἰς ἀντιφάσεις προφανεῖς τὸν νῦν συνωθῦν, καὶ ςενοχωρηθῆναι οἷ ἐδαμῦ ἐπιτρέπον. Ἄρα τὸ Β΄.

## Θεώρημα ΙΖ΄.

§. φκβ΄. „ Εἰ μηδὲν ἄλλο παρείη, ἀλλὰ τὸ τῆς ὕλης „ φύσει ἀδιαχώριτον, καθ᾽ ἑαυτὸ, ἤρκεσεν ἂν νοηθὲν εἰς „ κατασκευὴν τῦ ἡμᾶς τε αὐτὲς σωματικὲς τυγχάνειν, καὶ „ τὰς περὶ ἡμᾶς ἐνύλυς ἐσίας ὑφεςάναι, ἀναμφισβητή- „ τως.

Ἐὰν γὰρ τὰς ἰδέας μόνον τις λέγῃ τὰς τῶν σωμάτων, καὶ τὸ γνωςικὸν ἡμῶν τῆς ψυχῆς παρεῖναι, σῶμα δὲ ἐδὲν καθ᾽ αὑτὸ, ὔτε τὸ ἡμῶν αὐτῶν, ὔτε τι τῶν παρ᾽ ἡμᾶς ὑφεςάναι, σχολῇ γ᾽ ἂν ἡμῖν ἰδεᾶσθαι ἀδιαχώριτα παρείη τὰ σώματα· ὐ γὰρ δηλονότι ὐδ᾽ ἐκ τῶν σωμάτων αὐτῶν, ἃ δῆθεν, καὶ τὰς θαυμαςὰς ἰδείτας, ἐςὶν ἀνύπαρκτα· τὸ γὰρ μὴ ὂν ὐκ ἄν τινος εἴη ποιητικὸν ( §. νέ. ) ὐδ᾽ ἐξ αὐτῆς δὴ τῆς ψυχῆς, τῆς καθ᾽ ἑαυτὴν εἰδολοποιεμένης τὰ φάσματα· τῦ γάρ τοι κατ᾽ αὐτὴν γνωςικῦ, τοῖς πᾶσιν ἐξ ἐναργείας αὐτόπιςον ἴδιον ἐςὶ, τὰς μὲν διαφορὰν ἐχέσας τῶν ἰδεῶν, διϊςᾷν ἀπ᾽ ἀλλήλων τε καὶ ἀπάγειν, μηδ᾽ ἂν πάνυ πολὺ ἐθέλῃ, ἐφ᾽ οὗ συνάπτυσαν· τὰς δέ τινα οἰκειότητα, συνάπτειν

κα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καθ᾽ ὅ,τι ὠκείωνται· τὰς δὲ μηδὲν μὲν ὅλως διαφερούσας, πάντη δὲ ὁμοιοτάτας ἐπ᾽ ἀκριβὲς ταυτίζειν, ἑνοειδῶς ἰνδαλλομένην αὐτὰς καὶ ἀδιαστάτως, καὶ ἐν μοναδικῷ οὕτως εἰπεῖν τῷ νοήματι. Ἀλλὰ γὰρ ἔκτασις ἐκτάσεως, ταύτῃ γε ᾗ ἐκτάσεις νοούμεναι, κἂν πλάττειν τις ἕλοιτο, οὐδεμίαν ἔχει διαφοράν. Ἦν ἄρα τοῦ γνωστικοῦ, μηδαμῶς ἐκτὸς ἀλλήλων τὰς ἐκτάσεις, ᾗ ἐκτάσεις ποιεῖν, δι᾽ ἀλλήλων δὲ χωρούσας, ὡς ὑπὸ μιᾷ ἰδέᾳ φαντάζεσθαι αὐτάς, καὶ τὰ ὅλα, καὶ τὰ μέρη, καὶ ἐκ τοῦ ἀκολούθου μηδὲ ἔκτασιν ὅλως νοεῖν, μηδέ τι κατ᾽ ἔκτασιν, τὰ δὲ πάντα ἀδιαστάτως τε, καὶ ἀμερῶς, καὶ κατὰ σημεῖα. Τὸ δὲ ἥκιστα συμβαίνει. Τοὐναντίον μὲν γὰρ ἐπί τε ἡμῶν αὐτῶν, κἀπὶ τῶν παρ᾽ ἡμᾶς, ἔκτασίν τινα ὁμολογουμένην ἐμφαντάζεσθαι ἀναγκαζόμεθα καὶ ἑκόντες καὶ ἄκοντες. Ἐπεὶ ἄρα τοῦτο οὐ κατὰ τὴν τοῦ γνωστικοῦ φύσιν ἐστίν, οὐκ ἄρα αὐτουργεῖ καθ᾽ ἑαυτὴν τὰς τῶν σωματικῶν ὄντων ἰδέας, ἡ τοῦ νοεῖν δύναμις. Ἀλλ᾽ οὐδ᾽ ἐξ ἄλλου τοῦ νοῦ γνωστικῶς ἐπενεργοῦντος πορίζεται αὐτάς, διὰ γὰρ τὸ ἀποκληρωτικὸν εἶναι ὃ λέγεται, καὶ παντός ἐστι νοῦ τὸ ἀπ᾽ ἀλλήλων μὲν διϊστᾶν ταῖς ἐννοίαις τὰ διαφέροντα, ἑνοειδῶς δὲ συνειλοχέναι τὰ μή· ἐν τούτῳ γὰρ ἡ γνῶσις ἡ οὐκ ἄνευ κρίσεως. Λείπεται τοίνυν, ἔκ τινος ὃ μὴ γνωστικὸν ᾖ, πεφυκὸς δὲ ἐκτὸς ἀλλήλων ἔχειν τὰ ὅμοια (ὅπως ἂν τοῦτο καὶ γίγνοιτο) τὴν ψυχὴν ἀποφέρεσθαι τὸ εἶδος τὸ κατὰ τὴν ἀδιαχώρητον ἔκτασιν. Τοιοῦτο δὲ ἡ σωματικὴ φύσις καὶ ἔνυλος (§. φιά.) τὸ δέ πως ἐνεργοῦν, καὶ ὑπάρχει. (§. νέ.) Ἄρα κτ.

## Σχόλιον.

§. φκγ΄. Καινόν τι τοῦτο, καὶ κομιδῇ ἐν ταῖς τῶν φιλοσοφούντων διατριβαῖς ἀνήκουστον, τὸ περὶ τοῦ σωματοειδοῦς Κόσμου, εἰ τῷ ὄντι ὑφέστηκεν, ὁ καθ᾽ ἡμᾶς ζητεῖν ἐτόλμησε χρόνος, τοῦ φιλοκαίνου ὡς οἶμαι Καρτεσίου, εἰς τοῦτο πρώτου κινήσαντος, τῷ περὶ πάντων ἅπαξ γοῦν χρῆναι ἀμφισβητεῖν παραινέσαι, οὐδ᾽ αὐταῖς πειθομένους ταῖς ἐναργεστάταις τῶν αἰσθήσεων ἀντιλήψεσιν. Ἐντεῦθεν γοῦν, ὡς εἶχεν ὀξέως πρὸς φαντασίαν ὁ Μαλεβράγχιος ἐκεῖνος ὁρμησάμενος, αὐ-

τός

τός τε παίζων τε φασὶ καὶ σπουδάζων, ἐν ἀμφιβόλοις τὴν τῶν σωμάτων ὕπαρξιν εὐθὺς ἔθετο, καὶ πλείους ἢ αὖτις πιστεύσειε, συμφαντιᾶν ἑαυτῷ συναπέπεισε. Καὶ εἰσὶν ἄρα οἱ τοῦ δόγματος ἀμφοῖν ταῖν χερροῖν λαβόμενοι πάνυ πολλοὶ, οἷς ἀναπόδεικτον ὅλως δοκεῖ, καὶ πάντη ἄδηλον εἴτι σῶμα ὑφεστηκὸς ἐν τοῖς οὖσιν ἐστίν. Οὐδὲ γὰρ αἰσθήσει τοῦτο φανερὸν εἶναι φασὶν, οὔτε διανοίᾳ ληπτόν. Καὶ αἰσθήσει μὲν οὐχὶ, ὅτι δι' αὐτῶν μόνην τὴν τῶν αἰσθημάτων, ἤτοι τὴν τῶν ἰδεῶν καρπούμεθα γνῶσιν, ἀνατυπούμενοι μὲν γνωστικῶς νοερὰς οἱόν τινας εἰκόνας, εἰδέναι δ' οὐκ ἔχοντες, εἰ καὶ ἐκτὸς ἡμῶν ὑφεστῶτα ἐστὶ τὰ τῶν τοιούτων ἀνατυπωμάτων, οἷον ἀρχέτυπα. Ἀλλ' οὐδὲ κατὰ διάνοιαν καὶ συλλογιστικῶς, ἐκ τῶν αἰσθημάτων δὴ τούτων, τὴν σωματικὴν οὐσίαν ὑφεστάναι, τοῦ νοῦ εἰσβάλλοντος. Καὶ γὰρ καὶ οἱ ὑλῖται αὐτοὶ ( οὕτω γὰρ καλεῖν χαίρουσι, τοὺς μὴ κατ' αὐτοὺς ἀνυπόστατον ἡγουμένους τὴν οὐσίαν τὴν ἔνυλον. ) πῶς τὸ σῶμα ἐπενεργεῖν οἷον ἐστὶ τῇ φύσει τῇ ἀσωμάτῳ, εἰπεῖν οὐκ ἔχουσι, καὶ τούτων εἶναι μεταξὺ ἀναγκαίως ἐμφιλοχωροῦσαν τινὰ σχέσιν τε καὶ συμφυΐαν ἀγνοεῖν ὁμολογοῦσι. Ἐπεὶ καὶ ἐν ὕπνοις, καὶ ἐν παραφροσύναις, καὶ μανίαις, καὶ ἐκστάσεσι, καὶ τοῖς παραπλησίοις συμπτώμασι, πολλαὶ μὲν αἱ κατὰ τὸν νοῦν παριστάμεναι ἰδέαι, οὐδὲν δὲ ὑφεστὸς τοιοῦτον ὁμολογουμένως ἐκείνων ἐστὶ παραίτιον. Καὶ δυνατῆς ἄρα οὔσης τῆς τῶν ὄντων φαντασίας καὶ χωρὶς τῆς αὐτῶν πραγματιώδους ὑπάρξεως, οὐκ ἀναγκαῖον ἐστὶ ταῦτα ὑφεστάναι λέγειν, ὡς αὖ ἐκ τούτων, καὶ αἱ ἰδέαι συστῶσιν ἃς φέρομεν. (1) Καὶ ἄλλως δὲ ἐξ ἁπλῶν ἐπιβολῶν, ἡ τῶν σωμάτων ὕπαρξις ἀναμφιλέκτως οὐ συνάγεται· οὐ γὰρ ὅτι νοῶ τρίγωνον φέρ' εἰπεῖν, ἢ κύκλον, κατ' αὐτὸ καὶ ὑπάρχει. Ἐντεῦθεν γὰρ ὅτι δυνατὸν, καὶ πλέον οὐδὲν, τὸ νοούμενον. Ἀλλ' οὐθ' ὅτι δικάσειέ τις τυχὸν ἀποφηνάμενος τί περί του. Οὐδ' εἰ συλλογισμῷ ἐκ κειμένων, ποικίλα περὶ σωμάτων ἀποδεικνύοι, εὐθὺς καὶ ταῦτα ἐν τοῖς οὖσιν εἶναι ἐπάναγκες. Ἐπεὶ καὶ πάντα τὰ ὑπὸ τῶν μαθηματικῶν,

καί

(1) Ὅρα Βερκελεΐν, περὶ Ἀρχ. τῆς ἀνθρωπίνης γνώσεως.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καίτοι ἐν ἀκριβέσι καὶ ἀναντιρρήτοις ἐπιφοραῖς, καὶ ἀπαραίτητον τὴν συγκατάθεσιν ἀπαιτούσαις, κατασκευαζόμενα, καὶ ἀποδεικνύμενα, οὐκ ἐκ τοῦ ἀκολούθου καὶ ὕπαρξιν κατηγορεῖ καθ᾽ ὧν ἀποδείκνυται. Μόνη ἄρα, ἡ καθ᾽ ἣν νοεῖν πεφύκαμεν δύναμις, καθ᾽ ἑαυτὴν οὐχ οἷα τε ἐστὶν, ὅτι ὑπάρχει τὰ σώματα ἀναδιδάξαι καὶ πεῖσαι. Κἂν γὰρ τοῦτο δοίημεν, ἔμφυτον ἡμῖν ἐκ γενετῆς ἐνεῖναι τὴν τοῦ σώματος ἔννοιαν, τί μὲν ἐστὶ τὸ σῶμα ἴσως νοήσομεν, ὅτι δὲ καὶ ἐστὶν οὐκ ἐντεῦθεν εἰσόμεθα. Κείσθω γὰρ δὴ νοῦς τὴν ἔννοιαν ταύτην πλουτῶν τὴν τοῦ σώματος, καὶ μηδὲν ἕτερον παρὰ τοῦτον ὑποτιθέσθω. Καὶ πολλὰ μὲν οὗτος περὶ τῆς τοῦ σώματος φύσεως, καὶ τῶν παρεπομένων αὐτῇ παθῶν ἀποφαινέσθω, πολλὰ δὲ καὶ διανοητικῶς περὶ αὐτῶν συλλογιζέσθω· τί δῆτα; γνώσεται μὲν ἀσφαλῶς ὁ τεθεὶς νοῦς τὰ νοούμενα, καὶ ἐξ αὐτῶν, καὶ περὶ αὐτὰ συλλογιεῖται ἀπταίστως, οὐμὴν ἀλλ᾽ οὐκ ἂν εἰσβάλλοι ποθὲν καὶ τῶν νοουμένων τὴν ὕπαρξιν, εἰ μὴ λάθοι παραλογιζόμενος καὶ τὰ μὴ ὄντα ὀντοποιεῖν. Ἁπλοῦς ὁ μῦθος φασίν. Αὐτὰ δὴ, περὶ ὧν ζητοῦμεν, τὰ σώματα, ὑπ᾽ οὐδενὸς ἀναγκαίως τῶν ὅσα ἴσμεν συνίσταται, ἐπεὶ καὶ εἴπερ εἶναι τεθῇ, ἐνδεχομένως τὸ εἶναι ἕξει, εἶναί τε καὶ μὴ, ἐπίσης δυνάμενα. Καὶ μάταιοι ἄρα, οἱ τὰ μηδὲ καθ᾽ ἑαυτὰ ἀναγκαίως ὄντα, μηδ᾽ ὑπό του ἀναγκαίως εἰσαγόμενα, γνώσει ἀδιαπταίστῳ κατὰ τὸ ὅτι ἐστὶν εἰδέναι κομπάζοντες. Καὶ αὕτη μὲν ἡμῖν ἡ τῆς τῶν ἰδειτῶν τύπων δόξης συνηγορία. Ἔστι δὲ πρὸς αὐτὰ ἐκεῖνο πρῶτον ἀπαντῶντας εἰπεῖν, ὡς οὐδ᾽ ἐκ τοῦ ἀναγκαίως ὑφεστάναι τὰ σώματα (οὐ γὰρ πρὸς ἡμῶν τοῦτο, τῶν ἐνδεχομένην αὐτῶν εἰδότων τε καὶ διατεινομένων τὴν ὕπαρξιν.) οὐδ᾽ ἐκ τοῦ ἁπλῶς νοεῖσθαι, καὶ ποικίλας περὶ αὐτῶν ἤτοι κρίσεις, ἢ συλλογισμοὺς ἀποδίδοσθαι, ἐντεῦθεν καὶ ὑπάρχειν αὐτὰ φαμὲν, ἀλλ᾽ ἐξ αὐτῶν δὴ τῶν ἐνεργημάτων ὧν τὰς προσλήψεις φέρομεν, ὡς οὐδαμόθεν ἄλλοθεν ἐκ δὲ τῶν σωμάτων ὡς παραιτίων ἂν εἴη, ὑφεστάναι ταῦτα λέγειν ἀναγκαζόμεθα. Οἷον (ὥσπερ ἐν τῷ Θεωρήματι) ἀδιαχώρητα οἶδα ὄντα τὰ σώματα, τὸ δὲ ἰδεᾶσθαι τὸ δυεῖν ὁμογενῶν ἐκτάσεων ἀδιαχώρητον, οὐδ᾽ ἐκ τῆς ψυχῆς ἂν εἴη, οὐδ᾽ ἐκ τοῦ μηδενὸς, οὐδ᾽ ἐξ ἄλλου του, ὃ ἂν ἁπλῶς γνωστικὸν ᾖ, ἐξ ἄρα ἐκείνων αὐτῶν, ἅπερ ἐστὶ φύσει

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σει τοιαῦτα, ταὐτὸν εἰπεῖν σώματα. Ἀλλὰ γὰρ ἄνωθεν ληπτέον τὸν λόγον, καὶ ἐπὶ τῶν λοιπῶν αἰσθημάτων διασκεπτέον· τοῦτο γὰρ οὐδ᾽ ἂν εἰ βούλοιτό τις ἐπιεικῶς οὐ καταινοῦσει, μὴ οὐχὶ πολλὰς τοῖς αὐτοῦ αἰσθητηρίοις προσβολὰς ἐμποιεῖσθαι, καθ᾽ ἃς αἱ ποικίλαι ἀντιλήψεις ἐκτάσεων, σχημάτων, κινήσεων, χρωμάτων, ἤχων, ὀσμῶν, καὶ παντοίων ἄλλων διαθέσεων, κατὰ νοῦν αὐτῷ ἐπεγείρονται. Τὰς δέ γε ἀνατυπώσεις ταύτας, ὧν οὐδεὶς ἐστὶ καθ᾽ ἑαυτὸν ὃς οὐκ αἴσθεται, πᾶσα ἐστὶν ἀνάγκη ἔκ τινος αἰτίου γίνεσθαι (§. νέ.) καὶ ἤτοι ἐξ ἡμῶν αὐτῶν, ταὐτὸν δὲ εἰπεῖν, οἴκοθεν ἐκ τοῦ καθ᾽ ἡμᾶς γνωστικοῦ, δύνασθαι, ἢ γοῦν ἔκ τινος τῶν παρ᾽ ἡμᾶς, ἐν ἡμῖν αὐτοῖς ἐνεισάγεσθαι. Ἀλλ᾽ ἡμῶν ἡ ψυχὴ τῶν τοιούτων οὐκ ἂν εἴη παραίτιος. Α΄. ὅτι τοῖς πεπηρωμένοις ἐν ὁποιονοῦν τῶν αἰσθητηρίων, τὰς κατ᾽ ἐκεῖνο γινομένας ἰδέας, ἐχρῆν οὐδὲν ἧττον παρεῖναι, τῆς ψυχῆς ἀκμαζούσης, οἷον τυφλοῖς μὲν τὰς τῶν χρωμάτων, κωφοῖς δὲ τὰς τῶν ἤχων, καὶ τ. λ. Β΄. ὅτι τῶν αἰσθήσεσι ποτὲ προσπεσόντων φερόμεθα τὰς ἐμφάσεις, τῶν δὲ μή, οὐχί, καὶ τῶν μὲν ἀρτίως καὶ πολλάκις νεαρὰς καὶ ζωηροτέρας, τῶν δὲ πρὸ χρόνου, καὶ σπανιάκις, ἀμυδροτέρας, τῶν δὲ ἐνεργείᾳ προσπιπτόντων ἀκμαιοτάτας, καὶ σφοδροτάτας. Γ΄. ὅτι καὶ πάνυ πολλὰς ἰδέας, αἳ θορυβοῦσι τὴν ψυχήν, καὶ ταράττουσι, καὶ ἀηδῶς διατιθέασι, καὶ ἀλγεῖν ποιοῦσιν, ἀποσκευάσασθαι οὐκ ἔχομεν, ἀλλ᾽ ἡμῶν καὶ ἄκον τὸ γνωστικὸν φέρει, ὑφ᾽ ὧν ἂν λυπηθείη, καὶ κακῶς πάθοι· τοὐναντίον δὲ ἄλλων τινῶν ἀντιλαμβάνεσθαι ἡ ψυχή, σφόδρα ἐφιεμένη, οἷον ἐσθίειν μέν, ὅτε πεινῶμεν, πίνειν δέ, ὅτε συνεχόμεθα δίψει, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως, ἀδυνατεῖ. Δ΄. ὅτι καὶ αἱ μνῆμαι καὶ φαντασίαι, καὶ μὲν δὴ καὶ αἱ κατὰ τοὺς ὕπνους ὀνειροπολήσεις, καὶ αἱ τῶν παραπαιόντων μανικαὶ ἐκστάσεις, οὐ καινάς τινας ἰδέας ἐκφέρουσι περὶ ἃ δέ, καὶ ἐξ ὧν αἱ προλαβοῦσαι αἰσθήσεις ἀναστρέφονται· τὰ ἐγκαταλείμματα δηλονότι, ὁποῖα ποτ᾽ ἂν ᾖ, κινοῦσαί τε, καὶ παραμορφάζουσαι. Καὶ οὐδεὶς δὲ ἐστὶν ὃς οὐκ ἐπιγινώσκει, ὅσον μνήμης τε καὶ αἰσθήσεως τῆς κατ᾽ ἐνέργειαν τὸ διάφορον. Ταῦτ᾽ οὖν καὶ ὅσα τούτοις ἐοικότα, ἀναντιρρήτως κατασκευάζει, μὴ τὴν ψυχὴν αὐτήν, ἄλλο δέ τι παρ᾽ αὐτὴν εἶναι τῶν ἰδεῶν τούτων τὸ αἴτιον. Τὸ δὲ καὶ ἐξ ἀνάγ-

κης

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κης ὑφεςηκὸς ἂν εἴη, εἰ τὸ μὴ ὄν, ὀδὲ ἐνεργεῖν ὅλως οἷον ἐςί. ( §. νέ. ) Δεῖ δὲ τὸ αἴτιον τοῦτο μὴ ὂν τυγχάνειν ἀσώματον, ὀδὲ οἷος ὁ ἐν ἡμῖν νοῦς, τοῦτο μόνον δηλ. νοεῖν τε καὶ βούλεσθαι πεφυκὼς καὶ δυνάμενος· ἤτοι γὰρ οὐδ' ἐκεῖνος, ἢ καὶ ὁ ἐν ἡμῖν οὗτος εἰς τὸ ταῦτα ποιεῖν, ἤρκεσεν ὁ ἡμέτερος, ὅτι καὶ τῶν αἰτιατῶν τοῦ αὐτοῦ γένους, τὰ αὐτὰ ἐςὶν αἴτια (1). Ἀλλὰ μή ποτε δυνάμεώς τινος τὰ τοιαῦτα, ὡς ἄν τις εἴποι, κρείττονος ἢ καθ' ἡμᾶς παιδιά, τοῖς ἀνυπάρκτοις δὴ τούτοις, ὡσανεὶ φάσμασιν ἐξαπατᾶν ἡμᾶς εἰς τὸ διηνεκὲς χαιρούσης, καὶ παιζόμεθα ἄρα οἱ δείλαιοι, περὶ τῶν πάντῃ ἀνυποςάτων, τοιαῦτ' ἄττα πάσχειν δοκοῦντες; Ἀλλ' ὁ λόγος οὕτω προϊὼν τῷ ἀγαθῷ δημιουργῷ ἀναθήσει τὴν τερατείαν, καὶ τῷ παναληθεῖ προσείψει τὴν ἐξαπάτην εἴτε αὐτῷ ἀμέσως, εἴτ' οὖν καὶ διά τινος τῶν ὑπ' αὐτοῦ, τὰ καθ' ἡμᾶς οἷον ὑποκρινομένῳ καὶ παίζοντι. „ Θεὸς δὲ ἁ-„ πλοῦν τε καὶ ἀληθὲς ὄν, οὔθ' ἑαυτὸν, οὔτ' ἄλλους ἐξαπατᾶν „ οἷός τε ἐςὶν οὔθ' ὕπαρ, οὔδ' ὄναρ. Καὶ εἰ μὴ ἄρα περὶ τὰς αἰσθητικὰς τῶν ἀντιλήψεων ἀπατώμεθα, ( τοῦτο γὰρ περὶ τοῦ ἀγαθοῦ δημιουργοῦ ὑπονοεῖν πέρα τὸ βλάσφημον εἶναι, καὶ ἀλογίας μεςόν. ) ὑφ' ἑνὸς μηδενὸς, τῆς ψυχῆς αὐτουργεῖν τὰς ἰδέας ταύτας ( ὡς δέδεικται ) ἀδυνατούσης, λειπόμενον ἐςὶν ὑφεςάναι ἐξ ἀνάγκης τὰς σωματικάς τε καὶ ἐνύλους τῶν οὐσιῶν, ὑφ' ὧν, ἔνυλοί τε καὶ σωματικοὶ, τό γε μέρος, καὶ αὐτοὶ πεφυκότες, διὰ σώματος μεσιτεύοντος παντοίως κινούμεθα, καὶ τῶν προσπιπτόντων τούτων κινημάτων ἐν ἐπιγνώσει γινόμενοι, αἰσθητικοὶ καὶ ἐσμὲν καὶ λεγόμεθα.

## Θεώρημα ΙΗ'.

§. φκδ'. „ Τὸ κενὸν διάςημα καὶ πάνυ δυνατὸν εἶναι ἀ-„ ποφαινόμεθα.

Δυ-

---

(1) Νόμος οὗτος φέρεται παρὰ τῷ Νεύτωνι ἐν τοῖς οὖσι „ τῶν ὁμο-„ γενῶν αἰτιατῶν, αἴτια εἶναι τὰ αὐτά.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δυνατὸν γὰρ σώματα δύω ἀλλήλων ἀφεστάναι, καὶ χωρὶς κείμενα, εἴγε θατέρου θάτερον κατὰ τὸ εἶναι οὐδαμῶς ἤρτηται (§. σβ΄. σγβ΄.) Δυνατὸν δὲ καὶ τρίτου αὐτῶν παρεμπεσόντος αὐτοῖς προσεῖναι τὴν ὕπαρξιν, διὰ τὸν αὐτὸν λόγον. Ἆρα κτ.

## Σχόλιον.

§. φκέ. Τίποτε οὖν πρὸς ταῦτα οἱ ἀμφὶ τὸν Καρτέσιον φήσουσιν; ἢ ὅτι σῶμα, εἰ καὶ διάστημα, καὶ οὐδὲ σῶμα εἴγε κενόν, ἵν' οὕτω συρράπτοντες τ' ἀντιπίπτοντα, ἀδύνατον δείξωσιν; Ἀλλ' ἡμῖν τὴν τῆς ὕλης φύσιν, μὴ ἁπλῶς ἐν τῷ τριχῇ διαστατῷ κεῖσθαι, ἐκ πολλοῦ τοῦ παρελθόντος ἀποδειχθέν, (§. φιζ΄. φιή.) τὸ κενόν, τοῦ κατὰ τὸ σῶμα πλήρους διαστήματος τῷ παντὶ διέσταλται. Εἶτα καὶ εἰ ἀδύνατον, οὐδὲ νοητὸν ἄρα· ὥστε δυνατόν, ἐπεὶ καὶ νοητόν. Νοητὸν δὲ οὕτω. Παριστάσθω δὴ τῇ ἐπινοίᾳ σημεῖον τὸ Α, καὶ τούτου ἀπέχον τὸ Β. Καὶ μηδενὸς τούτων μεταξὺ νοουμένου, πάρεστι δὴ διάστασις πρώτη καὶ ἁπλουστάτη ἡ κατὰ μῆκος. Καὶ ἄλλη δὲ διάστασις ταύτῃ παραπλησία, ἐξ ἀντιθέτου κείσθω παραλλήλως νοουμένη, καὶ μηδενὸς παρεμπίπτοντος, ἀνακύψει δὴ ἡ κατὰ μῆκος καὶ πλάτος διάστασις δευτέρα. Ἀντιπαρακείσθω δὲ καὶ ταύτῃ ὁμοία, καὶ τὸ τριχῇ διαστατὸν οὕτω περιληφθήσεται. Οὐδὲν δὲ οὐδαμοῦ ταῖς διαστάσεσι ταύταις σῶμα συμπροσελήφθη. Παρέστη ἄρα νοηθεῖσα ψιλὴ ἡ τριττὴ διάστασις ἄνευ σώματος, ἣν κενὸν ὀνομάζομεν. (1) Καὶ πραγματικώτερον δ' αὖτις οὐχ ἧττον ἢ κατ' ἰδέαν, δυνατὸν εἶναι τὸ κενὸν διάστημα, κατασκευάσειεν ἂν ὧδε· ὅτι παρὰ τὸν ὑφεστῶτα τόνδε κόσμον, καὶ ἕτερον ὑποστῆναι δυνατόν, οὐδ' ἂν Θρασύμαχός τις, πρὸς τὸ πανσθενὲς τοῦ ἀπείρου δημιουργοῦ ἀπιδών, ἔξαρνος ἂν γένοιτο. (§. φβ΄. φγ΄.) Νοείσθω τοίνυν, καὶ ἕτερος Κόσμος ὑφεστὼς σφαιροειδὴς κατὰ τοῦτον. Σφαῖραι δὲ οὖσαι κἂν

τε

---

(1) Μουσχεμβροίκ. περὶ Κενοῦ Κεφ. γ΄. §. 67. κτ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τε προσεχεῖς καὶ ἁπτόμεναι, κἂν τ᾽ ἐπιποσὸν ἀλλήλων ἀφιστάμεναι, διάστημα δώσουσιν τὸ ἐναπειλημμένον, σώματος παντὸς ἄμοιρον· ἢ κείσθω δὴ σφαῖρα, καὶ ἐν αὐτῇ ἅπαν σῶμα, καὶ ταύτης ἐκτὸς μηδὲν εἶναι· μέρος δὲ ὁποσονοῦν τῶν ἐν αὐτῇ σωμάτων εἰς τὸ μηκέτ᾽ εἶναι ἐκρεπέσθω. Καὶ ὑποστήσεται οὕτω τὸ κενὸν ἐκ πάσης ἀνάγκης. Ἢ τέως, ὁ ἐν τῷδε τῷ καταγωγίῳ ἀὴρ εἰς τὸ μηδὲν οἰχέσθω, καὶ οὐδὲν ἕτερον σῶμα ἀντ᾽ αὐτοῦ εἰσαγέσθω, οὐχὶ καὶ οὕτω κενὸν ἀκριβῶς καταλειφθήσεται τὸ δωμάτιον; Ἢ ἐπανάγκες ἐστὶ συνιζῆσαι ἀλλήλοις μηδενὸς παρεγχωροῦντος τὰ σώματα; ἢ καὶ εἰς τὸ μὴ εἶναι εἰ τύχοι καὶ θάτερον, θατέρου ἀφανισθέντος, ἕπεσθαι; Ἀλλ᾽ ἀναιδῶς οὕτω λόγου ἄνευ, τὰ μηδαμῶς ἀντιφάσκοντα ὁμολογεῖν παραιτούμενοι, ἄδειαν ἐπισπῶσι ταῖς ἀλογίαις. τί γὰρ δὴ καὶ συνιζήσει ὑπὸ μηδενὸς ἐπειγόμενα; ὁ γὰρ αὐτὸς λόγος ὁ τὰ μεταξὺ ἀφαιρῶν, καὶ τὸ ἑκατέρωθεν καταῤῥάξον καθέξει, καὶ ἀποστήσεται· τί δὲ καὶ θάτερον θατέρῳ συνεξαρθήσεται, εἰ μὴ καὶ θάτερον εἰς ὕπαρξιν ἀναγκαῖον φήσωσι τοῦ ἑτέρου; Ἐκεῖνο δὲ πάλιν ὅτι καὶ εἰ διάστασίς τις μεταξὺ δυοῖν σωμάτων τεθῇ, σῶμα καὶ αὐτὴ ἔσται, τὸ κατὰ τοῦ κενοῦ τῷ ὄντι κενόφθεγκτον, διαφερόντως ἄτοπον. Πόθεν γὰρ αὐτοῖς τὸ σῶμα ὑπὸ μηδενὸς γινόμενον; (§. ιή. ιθ΄.) Αὐτοὺς δὲ καὶ τοῦτο λανθάνει ὅτι μηδ᾽ αἰθάλην ὑπιοῦσαν φεύγοντες, ἐπὶ τὴν ἀνθρακιὰν περιπίπτουσιν· οἷς γὰρ τὴν διάστασιν ὀῤῥωδοῦσιν (ὡς τοὺς Σχολαστικοὺς αὐτοὶ τὴν φύσιν λέγοντας ἐν χλεύῃ τιθέασι.) τὸ μηδὲν ἄτοπον, σῶμα ἔπειτα τὸ ἀνούσιόν τε καὶ ἀνυπόστατον, ὃ τῆς ἐσχάτης ἀτοπίας ἐστὶν, οὐ δειμαίνουσιν. Ἀπόστασιν μὲν γὰρ τὴν δυοῖν τινων ἀπ᾽ ἀλλήλων, ἐκ τοῦ μηδενὸς παρεμβεβληκότος, καὶ νοεῖσθαι καὶ εἶναι δυνατόν. Σῶμα δὲ, τὴν τοῦ ὄντος ψιλὴν ἀπουσίαν, τὴν μεταξὺ τῶν χωρὶς ἀλλήλων ὑφεστώτων, καὶ τοῦτο ἀπαχὲς, ἀβαρὲς, καὶ πάντῃ κοῦφόν τε καὶ διάκενον, καὶ οὐδ᾽ ὅθεν εἰπεῖν ἔχοντες παρηγμένον, καὶ πλάττειν γελοῖον, καὶ φαντασίᾳ ἐξεικονίζειν ἀμήχανον.

Θεώ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Θεώρημα ΙΘ΄.

§. φκϛ΄. „ Ἡ κατὰ τὸ κενὸν ψιλὴ λεγομένη ἔκτασις, „ κυρίως ἔκτασις οὐκ ἔστι, τὸ δὲ μὴ συνεχῶς, ἢ προσεχῶς συνημμένων διάστασις.

Ἡ γὰρ κυρίως ἔκτασις πολλῶν ἅμα τε, καὶ κατὰ τὸ αὐτὸ συνύπαρξις ἐστίν. ( §. φί. ) Ἡ δὲ ψιλὴ ἔκτασις οὐκ οὐσία τις ἐστὶν, οὐσίας δὲ ἀπουσία. ( §. φιβ΄. ) Ἄρα τὸ Α΄.

Διάστασις δὲ ἐστὶν, ἡ τοῦ παρεμπεσεῖν τι μεταξὺ τινῶν ὡς ὅρων δεξιότης· ἢ ( ὃ ταὐτὸν ἐστὶν ) τὸ τινῶν ὡς ὅρων ἀπεχόντων ἀσύμπτωτον, καὶ ἀσύμβατον. ( ἐξ ὑποθ. ) Ἀλλὰ τοιαύτη ἡμῖν ὀρθῶς παρίσταται ἡ κατὰ τὸ κενὸν ψιλὴ ἔκτασις. ( §. φιβ΄. ) Ἄρα κτ. Ο΄ τὸ Β΄.

## Πορίσματα.

§. φκζ΄. Α΄. Ἐπὶ ἄρα τοῦ κενοῦ διαστήματος, τὸ μέν τι θετικῶς ὂν ἐπιθεωρεῖται, καὶ τοῦτο τὰ περατοῦντα καὶ ὁρίζοντα σώματα· τὸ δὲ τι ἀποφατικῶς, καὶ τοῦτο ἡ, ἐκείνων μεταξὺ, τοῦ σωματικοῦ ὄντος ἀπουσία. ( §. φιβ΄. )

§. φκή. Β΄. Οὕτω δέ τοι περιτρέπεται καὶ ὁ περὶ ἀμφὶ Καρτέσιον ἀσάλευτος ( ὡς οἴονται ) λόγος. Ἐπεὶ γὰρ οὐκ ἄκρατον ἐπὶ τοῦ κενοῦ ὑποτίθεται τὸ μηδὲν, ( §. φκζ΄. ) μετὰ τινων δὲ θετικῶν οἷς παρέπεται τὸ τῆς διαστάσεως, οὐκέτι πρὸς ἡμᾶς ἡ δοκοῦσα ἀντίφασις, (1) τοῦ τῷ μηδενὶ προσεῖναί τι πάθος. Οὐ μόνον γὰρ οὐδὲν θετικὸν ἡ καθ᾽ ἡμᾶς αὕτη διάστασις φέρει, ψιλή τις οὖσα συναφείας στέρησις, ἀλλὰ καὶ θετικόν τι εἶναι λεγομένη, οὐχὶ τῷ μηδενὶ, τοῖς δὲ περατοῦσιν, ἅτινα ἐστὶ τὰ διεστῶτα, ἔσται προσήκουσα.

§. φκθ΄. Γ΄. Οὐδ᾽ ἄρα τὸ Κενὸν, οὐσία τις οὖσα ἐστὶ παρὰ τὰ σώματα, τὰ ἀλλήλων ἀφεστῶτα μηδενὸς παρεμπίπτον-

(1) Μέρ. β΄. περὶ Ἀρχ. Ἀειθμ. ιϛ΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πτοντος. Εἴτι γὰρ ἐςὶν ἐν αὐτῷ θετικὸν, ταῦτα ἐςὶν, ἢ περατοῦντα καὶ διορίζοντα. Εἴτι δ' ἀποφατικὸν, ἀπουσία οὐσίας. (§. φκζ'.)

§. φλ'. Δ'. Ἐπεί τε δυνατὸν πληθύνεσθαι τοὺς ὅρους τῶν ὑποςάσεων, οὐδὲ ἓν τὸ κενὸν ἐξ ἀνάγκης, ὅτι μὴ εἴδει.

§. φλα'. Ε'. Διότι δὲ ἐξ ὅρων τε, καὶ τῆς ἐν αὐτοῖς ἀποςάσεως, οὐδ' ἁπλοῦν ἔςαι.

§. φλβ'. ς'. Κινητῶν δὲ τῶν ὅρων ὄντων, καὶ ἐγγίον ἢ ἀπώτερον ἀλλήλων γίνεσθαι δυναμένων, τῷ ἐκείνων λόγῳ οὐδὲ τὸ κενὸν ἀκίνητον ἐςὶν οὐδ' ἀδιαίρετον.

§. φλγ'. Ζ'. Καὶ σώματος ἄρα οὐδενὸς ὑφεςῶτος οἷον πρὸ καταβολῆς ὄντων, κενὸν οὐδὲν ἦν. (§. φκς'. φκζ'.) Ταύτῃ δέ τοι οὐδὲ αἰώνιον τὸ κενὸν, οἵ τε Παλαιοὶ ταῖς ἀτόμοις συνδιαιωνίζον ὑποτιθέμενοι, σύμφωνα κατεψεύδοντο. Καὶ οὐδ' αὐθύπαρκτον δηλονότι, οὐδὲ καθ' ἑαυτὸ ὑφιςάμενον, εἴγε ἐκ τῶν συνιςώντων περάτων ἤρτηται, καὶ οὐδ' ἀναγκαῖον, οὐδ' ἄφθαρτον, οὐδ' ἄπειρον, οὐδ' οὐδὲν, τῶν οἷς θειότερόν τι οἱονεὶ χρῆμα ὑπὸ τῶν Νεωτέρων ὑπερσεμνύνεται.

## Σχόλιον.

§. φλδ'. Καὶ οὕτως ἄρα ἐκ βάθρων αὐτῶν ἡμῖν ἀνέσκαπται, καὶ ἡ τοῦ διαβεβοημένου καθ' ἡμᾶς ἀνὰ πᾶσαν τὴν Εὐρώπην διαςήματος δόξα, ἡ τοσοῦτον θροῦν διεγείρασα. Ἧς Μόρος τε, καὶ Νεύθων, καὶ Κλάρκιος, καὶ Ῥαφσώνιος, καὶ οἱ πολλοὶ τῶν παρ' Ἄγγλοις φιλοσοφούντων προέςησαν. Οὓς, καί τοι μεγαλονοίᾳ τε καὶ λόγων δυνάμει πολὺ διαφέροντας, ἐν πολλοῖς ἂν εὕροις φαντιῶντας δεινῶς, καὶ διὰ θράσους περιουσίαν, ἐπὶ τὰ ἀτοπώτατα ἐκτραχηλιζομένους. Οἷον δὴ καὶ περὶ τὸ κενὸν πεπόνθασιν· ὃ παρὰ τῶν πάλαι Ἐπικουρείων δεξάμενοί τε καὶ εἰσποιησάμενοι, οὐκ ἐπὶ τὸν ἀμείνονα λόγον ἐρρύθμισαν, ἀλλ' ἐπὶ τὸν χείρω, καὶ ἀλογίας μεςὸν, οὐκ ἔςιν εἰπεῖν ὅσης, καὶ ἀσεβείας, μετήνεγκαν, παραδόξως ὑπερθειάσαντες, καὶ Θεὸν ἄντικρυς τὸ κενὸν τοῦτο διάςημα ἀναδείξαντες. Τοιάδε γοῦν ἡμῖν περὶ τούτου ὁ πολὺς τὸ κλέος ὑπέ-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὑπέθετο Νεύτων. (1) „ Ὁ Θεὸς, φησὶν, αἰώνιος ἐστὶ, καὶ „ ἄπειρος. Πάντα μὲν εἰδὼς, καὶ πάντα δυνάμενος, διαμέ- „ νων δὲ ἐξ αἰῶνος εἰς αἰῶνα, καὶ παρὼν ἐξ ἀπείρου εἰς „ ἄπειρον. Πάντα ἰθύνων, πάντα γινώσκων, τὰ γινόμε- „ να, καὶ τὰ γνωσθῆναι δυνάμενα. Οὐκ ἔστιν αἰωνιότης, ἢ „ ἀπειρία, οὐκ ἔστι διαμονὴ, ἢ διάστημα, διαμένει δὲ καὶ πά- „ ρεστι. Διαμένει μὲν ἀεὶ, πάρεστι δὲ πανταχοῦ, καὶ ἀεὶ μὲν „ ὢν, καὶ πανταχοῦ, τήν τε διαμονὴν, καὶ τὸ διάστημα, τήν τε „ αἰωνιότητα, καὶ τὸ ἄπειρον συνίστησι. Πῶς οὖν συνίστησιν; εἰ γὰρ ὅτι συμπεριάγει αἰώνιος μὲν αὐτὸς ὢν, τὸν χρόνον τοῖς κατὰ χρόνον, πανταχοῦ δὲ παρὼν, τὸν τόπον τοῖς κατὰ τόπον, εὖ ἂν ἔχοι. Εἰ δ' ὅτι ἀπότμημά πως, οὕτω φάναι, τῆς μὲν κατὰ τὸν Ὕψιστον αἰωνιότητος, τὸν χρόνον, τῆς δὲ κατ' αὐτὸν ἀπειρίας τὸν τόπον νοητέον ἐστὶν, οὕτω συνίστησιν, ἀτοπώτερα τούτων οὐκ ἂν ἔχοι λέγειν ὁ ἐπὶ Σοφίᾳ θρυλλούμενος. Τοῦτο δὲ μόνον μετριώτερα δόξειεν ἀσεβεῖν, ὅτι οὐκ ἀναφανδὸν, κατὰ τὸν Μόρον οὗτος ἀσεβῶν ἐλέγχεται, τὸν τὰ ἀπονεμόμενα τῷ ὑπερτάτῳ καὶ ὑπερτελεῖ Ὄντι ὑπὸ τῶν Μεταφυσικῶν, οἷον τὸ ἓν καὶ μοναδικὸν, τὸ ἁπλοῦν, τὸ ἀκίνητον, τὸ αἰώνιον, τὸ ἄλλου μηδενὸς ἐξηρτημένον, τὸ ἀφ' ἑαυτοῦ εἶναι, τὸ καθ' αὑτὸ ὑφίστασθαι, τὸ ἀναλλοίωτον, καὶ ἄφθαρτον, τὸ ἀναγκαῖον, τὸ ἄπειρον, τὸ ἄκτιστον, τὸ ἀπερίγραπτον, τὸ ἀκατάληπτον, τὸ πανταχοῦ παρεῖναι, τὸ ἀσώματον, τὸ διὰ πάντων διήκειν, καὶ πάντα συνέχειν, τὸ εἶναι ὂν κατ' οὐσίαν, ὂν ἐνεργείᾳ, ἄκρατον ἐντελέχειαν, ἅπαντα τῷ ἀπείρῳ τῷδε διαστήματι, ὡς κυριώτατα προσήκοντα περιάψαι ἀποτολμήσαντα. (2) Καὶ ἀτελεστέραν εἶναι τινὰ ταύτην ὑπογραφὴν τῆς ἀρρήτου οὐσίας εἰπόντα, ᾗ τὰς ζωτικὰς μόνας τῶν ἐνεργειῶν προσεθεῖναι εἰς πλήρωμα λείπεται. (3) Τούτοις οὖν, καὶ Κλάρκιον ἀδελφὰ ἰδεῖν ἔστι ἀποφαινόμενον. (4) Τὰ γεμὴν κατὰ Μουχεμβροέκιον πολὺ μετριώ-

(1) Περὶ Ἀρχ. ἐν τῷ κατὰ γένος Σχολίῳ.
(2) Ἐν τῷ Ἐγχειριδίῳ Μέρ. α. Κεφ. η. §. η.
(3) §. ιέ.
(4) Περὶ ὑπάρξ. Θεοῦ καὶ προσόντ. ἐπιστ. πρὸς Λεΐβνίτ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

[illegible], τὴν μὲν θειοτέρων ἐκείνων αὐτὸ ἀπογυμνώσαντα, μόνῃ δὲ τῇ ἀπειρίᾳ καταπλουτίσαντα (1). Ἀλλ' αὐτοὶ καὶ τὸ κενὸν κατασκευάζοντες, τὰς ἐκ τοῦ κενοῦ ἀτοπίας ἀποσκευαζόμεθα, ἰδίαν τε δόξαν ἡμῶν περὶ ἐκείνου, ἣν παρ' οὐδενὶ εὕρομεν, στήσαντες, καὶ οὐδὲ τοῖς ὑπὲρ ἐκείνου ἁπλῶς, οὐδὲ τοῖς κατ' ἐκείνου φερομένοις πεισάμενοι, καθ' ἑκατέρου τοῦ κόμματος τὸν ἀγῶνα ἀποδυσάμενοι ἀνειλήμμεθα, τήν τε φιλοκένων τούτων, σὺν Θεῷ, τὴν τερατείαν ἐπίσης, καὶ τὴν ἐκ διαμέτρου μισοκένων τὸ κοῦφον, λόγοις, ἢ δοκοῦμεν, κρατίστοις ἐλέγξαντες.

## Περὶ Τόπου.

§. φλέ. Καὶ περὶ τόπου δὲ διαφορώτατα αὖτις εὕροι τὴν φιλοσοφησάντων τούς τε πάλαι, καὶ τοὺς ὕστερον ἀποφαινομένους. Πλάτωνι καὶ γὰρ (2) „ τὴν ὕλην, καὶ τὴν χώραν ταὐτὸν εἶ„ ναι λέγοντι, τὸ μεταληπτικὸν τῶν εἰδῶν ὁ τόπος ἐστίν. Ἄλλῳ δέ τῳ δόξειεν ὡς Ἀριστοτέλης φησὶ (3) τὸ εἶδος καὶ „ τὴν μορφὴν ἑκάστου τὸν τόπον εἶναι, ᾧ ὁρίζεται τὸ μέ„ γεθος, καὶ ἡ ὕλη τοῦ μεγέθους. Αὐτῷ δὲ (4) ὁ τόπος ἐστὶ, τὸ πέρας τοῦ περιέχοντος σώματος, ἀκίνητον πρῶτον· οἷον ἂν εἴπομεν τὸ ὕδωρ, καθ' ἣν τοὺς ἐν αὐτῷ ἰχθῦς περιέχει ἐπιφάνειαν πρώτην, τόπον εἶναι τῶν ἰχθύων, καθάπερ οὖν καὶ ἡ τοῦ περιέχοντος ἀέρος, τόπος ἐστὶ τῶν ἐν αὐτῷ σωμάτων, καὶ τὸ κοῖλον τοῦ ἀμφορέως, ὁ τόπος τοῦ ἐν αὐτῷ οἴνου. Οἱ δ' ἀμφὶ τὸν Καρτέσιον περὶ τόπου τῷ Σταγειρίτῃ συσπένδουσιν, αὐτὰς εἶναι φρονοῦντες καὶ αὐτοὶ τὰς τοῦ περιορίζοντος καὶ περιγράφοντος σώματος ἐγγύτητας, τὸν ἐκτὸς, καὶ ἀληθῆ παρ' αὐτοῖς ἀκούοντα τόπον· ὡς ὅγε ἐσωτερικὸς, ἤ φασιν, ὅσπερ τὸ ὑπὸ τοῦ σώματος τυγχάνει κατει-

τει-

(1) Περὶ Κενοῦ Κεφ. γ'. §. 89. 90.
(2) Ἐν Τιμαίῳ.
(3) Φυσικ. βιβλ. δ'. Κεφ. β'.
(4) Αὐτ. Κεφ. δ'.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τειλημμένον διάστημα (φιγ΄.) οὐκ ἂν κυρίως τόπος εἶναι λέγοιτο κατ᾽ αὐτοὺς, αὐτόχρημα τὸ σῶμα ὂν τὸ ἐν τόπῳ, ἀσώματον οἰομένους (§. φιή. φκέ.) καὶ εἶναι καὶ νοεῖσθαι διάστημα σώματος ἄμοιρον. Τοὺς δὲ περὶ Λεϊβνίτιον, καὶ αὐτὴν τὴν ἔκτασιν τὴν σωματικὴν, ὅν εἶναι τι τῶν κατ᾽ ἐπίνοιαν εἰσηγουμένους (§. φιή.) πολλῷ δὴ μᾶλλον τοιοῦτον ὑπολαμβάνειν τὸν τόπον εἰκός. Ἔνθεν τοι καὶ ἡ κατ᾽ αὐτοὺς τοῦ τόπου ἀπόδοσις „ λόγον εἶναι ὡρισμένον τοῦ συ-
„ νυπάρχειν τι τῶν ὄντων τοῖς λοιποῖς· οἷον ἡ ὡρισμένη θέσις, ἣν ἔχει ἡ τράπεζα φέρε, πρὸς τὰ ἄλλα τὰ ἐν τῷ οἰκήματι, τοῦτο αὐτοῖς ὁ τόπος. Ἐπὶ ταύταις ἡ δόξα καταλεγέσθω, τῶν οἰομένων τόπον εἶναι τὸ διάστημα τὸ κενόν. Εἴποις δ᾽ ἂν ἀρχαίαν εἶναι τὴν αὐτὴν καὶ νέαν. Τὸ μὲν, ἅτε Λευκίππῳ, Δημοκρίτῳ, Ἐπικούρῳ, καὶ τοῖς Στωϊκοῖς, τὸ δὲ Γασσένδῳ, Μαγνιανῷ, Νεύτωνι, καὶ πᾶσι μικροῦ τοῖς Ἄγγλοις καὶ Βαταβοῖς καθ᾽ ἡμᾶς πρεσβευομένην. Καὶ γὰρ καὶ οἱ Νεώτεροι οὗτοι, συμφώνως τοῖς Ἐπικουρείοις „ Κενὸν
„ ἄμεσον ἐνδεχόμενον (τουτέστι δεκτικὸν) σωμάτων, καὶ ἀ-
„ νευ τούτων, τὸν τόπον ἀπέδωκαν. Καὶ κατὰ τοὺς Στωϊκοὺς,
„ τὸ ἐχόμενον ὑπὸ τοῦ σώματος. Καὶ κατὰ Πρόκλον „ σῶ-
„ μα (ὅπερ ἐστὶ διάστημα) καθαρώτατον, ἀκίνητον, ἀδιαί-
„ ρετον, ἀμέτοχον ὕλης, τῶν ὑλικῶν σωμάτων δεκτικόν.

§. φλς΄. Τούτων ἡ δόξα, καθ᾽ ἣν ὑπεθέμεθα τοῦ κενοῦ σημασίαν (§. φκς΄. κξ.) καὶ ἡμῖν ἐγκριτέα δοκεῖ, ὡς τάς τε κατὰ τὰς ἄλλας ἐκκλίνουσα ἀτοπίας, καὶ παρ᾽ ἑαυτῆς οὐδὲν παρὰ χορδὴν ᾄδειν ὑπαγορεύουσα, καὶ μὴν, καὶ ὅσα δήποτε περὶ τὸν τόπον ἀπαραιτήτως νοεῖται, κυροῦσα καὶ διασώζουσα. Ἔστι δὲ ταῦτα. Α΄. τὸν τόπον ἕτερόν τι εἶναι παρὰ τὸ ἐν τόπῳ, καὶ τούτου χωριστόν. Β΄. τὸ μὴ συγκινεῖσθαι τούτῳ ἐκεῖνον, μηδὲ συμμεθίστασθαι. Γ΄. τὸ μὴ τὸν αὐτὸν εἶναι τόπον ἅμα σωμάτων δυοῖν, ὡς οὐδὲ τόπους κατὰ τὸ αὐτὸ πλείονας τοῦ αὐτοῦ σώματος. Δ΄. τὸ συνεξισοῦσθαι τῷ ἐντοπιζομένῳ τὸν τόπον, καὶ τοῦ μὲν μείζονος εἶναι μείζονα, τοῦ δ᾽ ἐλάσσονος ἐλάσσονα. Ε΄. τὸ παντὸς σώματος εἶναι τόπον. ς΄. τὸ τοῦ τόπου μὴ εἶναι τόπον. Ζ΄. τὸ τοῦ μὲν ὅλου, εἶναι τὸν ὅλον τόπον, τοῦ δὲ μέρους τὸ μέρος, ὅπερ ἐκ τοῦ Δ΄. καὶ τοῦ Ε΄. ἐστὶ συμφανές.

Θεώ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Θεώρημα Κ'.

§. φλζ'. „ Οὔθ' ἡ ὕλη τόπος ἐστὶν, οὔτε τὸ εἶδος.

Ἐὰν γὰρ ἡ ὕλη ὁ τόπος εἶναι τεθῇ, ἐπεὶ καὶ τὸ ἐν τόπῳ ὕλη τις ἐστὶν, ἔσται δὴ τὸ αὐτὸ ἐν τόπῳ ἅμα καὶ τόπος, κατὰ τοῦ Α'. τῶν τεθέντων. ( §. φλς'. ) καὶ χωρὶς δὲ τούτου, καὶ τοῦ τόπου τόπος, κατὰ τοῦ ς'. Οὐκ ἔστι δέ. Ἄρα κτ. Ο. Η. τὸ Α'.

Ἐὰν δὲ τὸ εἶδος, ἐπεὶ τὸ εἶδος συνουσίωται τῷ ἔχοντι, ἤτοι τῷ ἐξ αὐτοῦ εἰδοπεποιημένῳ, ἐκείνῳ καὶ συγκινηθήσεται κινουμένῳ, καὶ μεθισταμένῳ συμμεταστήσεται. Κατὰ τοῦ Α', καὶ τοῦ Β'. Ἄτοπον δέ. Ἄρα καὶ τὸ Β'.

Ἄλλως. Παντὸς σώματός ἐστὶ τόπος ἐν ᾧ· διὰ τὸ Ε'. Σῶμα δὲ τὸ ἐξ ὕλης καὶ εἴδους. ( ἐξ ὑποθ. ) Τῆς ἄρα ὕλης καὶ τοῦ εἴδους συνάμα τόπος ἐστὶ παρ' αὐτά· διὰ τὸ Α'. Καὶ οὔτε ἄρα ἡ ὕλη τόπος, οὔτε τὸ εἶδος. Ὃ τὸ Α'. καὶ τὸ Β'.

## Σχόλιον.

§. φλή. Καὶ εὐλόγως τοίνυν ἄμφω τὰς δόξας ὁ ἐκ Σταγείρων ἀποσκευάζεται· (1) „ τὸ μὲν γὰρ εἶδος καὶ ἡ ὕ-
„ λη, φησὶν, οὐ χωρίζεται τοῦ πράγματος ( νόει μοι τοῦ σώ-
„ ματος τοῦ ἐν τόπῳ ὄντος ) τὸν δὲ τόπον ἐνδέχεται. Ἀλλ' ἀπορήσειε τις, πῶς ὁ Πλάτων εἰς τοῦτο δόξης ἐγένετο, ὡς τὸν τόπον αὐτὸν τὴν ὕλην εἶναι ὑπολαβεῖν; Ἢ ἐξ ἀναλόγου πως αὐτῷ, καὶ καθ' ὁμοίωσίν τινα, τὸ λεχθὲν ἂν εὐοδωθείη κατὰ τὴν πρὸς ἐκεῖνα σχέσιν, χώραν τε καὶ δεξαμένην τῶν εἰδῶν, ὡς πεφυκυῖαν ὑποδέχεσθαι αὐτὰ, τὴν ὕλην ἀποκαλοῦντι. Μαρτυρεῖ γὰρ καὶ Πλούταρχος (2) „ ὅτι τὸ
„ μεταληπτικὸν τῶν εἰδῶν, μεταφορικῶς τὴν ὕλην ὁ Πλά-
„ των

(1) Φυσικ: βιβλ. δ'. Κεφ. θ'.
(2) Περὶ Ἀρεσκ. Βιβ. α. Κεφ. ιθ'.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ των εἴρηκε, καθάπερ τινα τιθήνην καὶ δεξαμενήν· ὥσπερ γὰρ ἐν τῷ τόπῳ τὸ ἐν αὐτῷ, οὕτω πως καὶ ἐν τῇ ὕλῃ τὸ εἶδος. Ἐπίσης τε ὁ μὲν σωμάτων, ἡ δὲ εἰδῶν δεκτικὴ ἐστί· καὶ τῷ γε τόπῳ, τῷ νῦν μὲν ὑπὸ τοῦδε, νῦν δ' ὑπὸ ἄλλου σώματος κατειλημμένῳ, οὐκ ἀλόγως ἔοικεν ἀπεικασθεῖσα ἡ ὕλη, ἥτις ἄλλοτε ὑπὸ ἄλλου εἴδους καὶ αὐτὴ κρατεῖται τελειουμένη, καὶ μορφουμένη καλλύνεται.

## Θεώρημα ΚΑ'.

§. φλθ'. „ Οὐκ ἔστιν ὁ τόπος τὸ πέρας τοῦ περιέχοντος.

Α'. Εἰ γὰρ τόπος ἡ περατοῦσα καὶ περιέχουσα ἐπιφάνεια, ἐν τόπῳ πάντως ἔσται ἡ περιεχομένη. Δεῖ γὰρ τοῦ μὲν τόπου λέγειν εἶναι τὸ περιέχειν, τοῦ δὲ ἐν τόπῳ τὸ περιέχεσθαι. Ἀλλὰ γὰρ οὐχὶ τὸ σῶμα ἡ ἐπιφάνεια ἐστίν. Οὐκ ἄρα τὸ σῶμα ἐν τόπῳ. Ὃ κατὰ τοῦ Ε'. ἐστί. (§. φλς'.)

Εἰ δ' εἴποι ὡς τῷ λόγῳ τῆς περιεχομένης ἐπιφανείας, καὶ τὸ πράγματι ἐκείνης ἀδιάσπαστον σῶμα ἐν τόπῳ ἐστίν· ἀπαντητέον ἄρα δι' ἴσου, καὶ τῷ λόγῳ τῆς περιεχούσης, τὸ κἀκείνης πράγματι ἀδιάσπαστον σῶμα, τὸν τόπον εἶναι. Διὰ γὰρ τῶν ἐπιφανειῶν ἄμφω, τὸ μὲν περιέχει, τὸ δὲ περιέχεται. Καὶ ὁ τόπος ἡμῖν οὕτως ἔσται τὸ σῶμα, καθάπερ καὶ τὸ ἐν τόπῳ. Ταῦτα δὲ τῶν κειμένων (§. φλς'.) τό, τε Α'. ἀναιρεῖ, καὶ τὸ ς'.

Β'. Ἤτοι φυσικῶς ἐκληπτέον τὴν ἐπιφάνειαν, ἢ γεωμετρικῶς. Ἀλλ' ἐκείνως μὲν, ἤτοι σῶμα ὁ τόπος, ἢ οὐδὲν ἐστίν. Οὕτω δέ τοι ἄμφω αἱ ἐπιφάνειαι (τὴν τοῦ περιεχομένου φημὶ καὶ τοῦ περιέχοντος) μία ἔσονται. Καθάπερ γὰρ σημεῖον σημείῳ ἐφαρμοσθὲν, ἀδιάστατον αὖθις σημεῖον συνίστησιν, οὕτω τοι καὶ εἰ γραμμὴ γραμμῇ ἐφαρμοσθείη, γραμμὴν συστήσει, καὶ ἐπιφάνεια ἐπιφανείᾳ ἐπιφάνειαν. Καὶ ἡ αὐτὴ ἄρα συστῶσα τῇ συνεφαρμόσει ἐπιφάνεια, ἔνθεν μὲν θάτερον, ἔνθεν δὲ θάτερον, ταὐτὸν εἰπεῖν ἑκάτερον περιέξει· τόπος τε ἔσται ὁ αὐτὸς σωμάτων δυοῖν. Ἄτοπον δὲ, διὰ τὸ Γ'. Ἄρα... κτ.

Γ'. Ἡ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Γ'. Ἡ περιεχομένη ἐπιφάνεια ἤτοι τόπος ἐστὶν, ἢ ἐν τόπῳ, ἢ οὐδέτερον, ἢ ἑκάτερον. Ἀλλὰ γὰρ ἑκάτερον οὐκ ἂν εἴη, ( διὰ τὸ Α'. ), οὐδὲ μὲν οὖν οὐδέτερον, οὐδαμοῦ γὰρ ἔσται. Ἢ τὸ ἕτερον ἔσται δῆθεν. Οὐκοῦν δὲ ὁ τόπος ( τοῦτο γὰρ ἡ περιέχουσα. ) ἐν τόπῳ ἄρα. Εἰ δὲ τοῦτο, καὶ σῶμα· τῆς γὰρ σωματικῆς φύσεως τὸ ἐν τόπῳ εἶναι. ( διὰ τὸ Ε'. )

Πρὸς ταῦτα οὐκ ἐν τόπῳ μὲν πάντως ἐρεῖ καθ᾽ αὑτήν, ἀλλὰ τῷ λόγῳ τοῦ σώματος, ᾗ δὴ καὶ κινεῖσθαι φύσιν ἔχει, καὶ τέμνεσθαι. Ἤ, ὡς ἄμεινον αὐτῷ ἔδοξεν ἀπαντῆσαι τῷ Ἀριστοτέλει, ἔστι μέν που καὶ ἡ ἐπιφάνεια, ὥσπερ καὶ τὸ σημεῖον ( οὐδὲ γὰρ οὐδαμοῦ. ) Ἀλλ᾽ ὡς πέρας ἐν τῷ περατουμένῳ. Ἀλλ᾽ εἰ ὡς πέρας, καὶ τόπος ἄρα ἐστὶ τῷ σώματι ἡ ἐπιφάνεια ἡ αὐτοῦ. Εἰ δ᾽ οὐχὶ τοῦτο, διὰ τὸ βούλεσθαι τὸν τόπον χωριστὸν εἶναι, ἤτοι πάντως ἔσται δισσὰ τὰ πέρατα τοῦ ἐν τόπῳ, τὰ μὲν χωριστά, τὰ δ᾽ ἀχώριστα ( ὅπερ ἄτοπον ) ἢ τῶν περάτων πέρατα ἔσται τῶν ἀχωρίστων τὰ χωριστά. Καὶ οὕτως αὖθις ἡ ἀχώριστος ἐπιφάνεια, ὡς ὑπὸ τῆς χωριστῆς περιεχομένη, εἰς τόπον ἐγκυλισθήσεται. Καὶ σῶμα ἔσται, διὰ τὸ Ε'.

Δ'. Καὶ εἰ τόπος ἡ περιέχουσα ἐπιφάνεια ἐστὶν, ὁ Κόσμος οὐκ ἔστιν ἐν τόπῳ. Οὐδὲν γὰρ ἐστὶ δηλονότι ( ᾗ καὶ αὐτῷ δοκεῖ ) σῶμα τῆς ἐξωτάτω σφαίρας ἐκτὸς, οὗ ἂν τὸ πέρας ἐκείνην περιέχοι. Ἀλλὰ τὸ μηδαμῶς ἐν τόπῳ λέγειν εἶναι τὸν ὅλον Κόσμον, μὴ καὶ καταγέλαστον ᾖ ( διὰ τὸ Ε'. ) Ἄρα κτ.

Ἐκκλίνει δὲ τὴν ἀπορίαν οὐδαμῶς, ἐπάγων Ἀριστοτέλης (1) „ ὅτι οὐ πᾶν τὸ ὂν ἐν τόπῳ, ἀλλὰ τὸ κινητὸν σῶμα. Ἔστι γὰρ δήπου καὶ κατ᾽ αὐτὸν τὸ σῶμα ἐν τόπῳ ( οἷον ὁλικῶς ἡ γῆ ) καὶ μὴ κινούμενον, ὅτι ἐν τῷ περιέχοντι. Διαφέρει γὰρ τῷ παντὶ, τὸ εἶναι ἐν τόπῳ, τοῦ διὰ τόπου φέρεσθαι. Καὶ εἰ μή που ὁ οὐρανὸς, οὐδαμοῦ ἄρα, καὶ οὐδὲ ἔσται ὅλως, καὶ οὔπω τὰ τῶν Οὐδαμιτῶν ἐκείνων ( §. φιγ'. ) πολ-

(1) Φυσ. Δ. Κεφ. Ε'.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πολλῷ φορητότερα. Οὐδὲν γὰρ ἐςὶ λέγειν λόγου ἐχόμενον, ὅτι ὡς ὅλον ἐςὶν ἐν τοῖς μέρεσιν· οὐδὲ γὰρ τόπος ἐςὶ τὰ μέρη τοῦ ὅλου· καὶ οὐδὲ ἕτερον ἐκείνων τοῦτο· δεῖ δὲ τὸν τόπον τοῦ ἐν τόπῳ ἕτερον εἶναι. ( διὰ τὸ Α΄. ) Καὶ εἰ τὰ μέρη ἐν τόπῳ, καὶ τὸ ὅλον ἄρα. Ἐςι γοῦν οὕπω παρὰ τὴν κοινὴν ἐνάργειαν τὸ εἰς ἀναίρεσιν τῆς ἀπαντώσης ἀπορίας προχειριζόμενον, ὡς μηδὲ δεῖσθαι πολλῶν τὸν ἐξ Ἀφροδισιάδος, πρὸς τὸ ἡμᾶς πεῖσαι, ὅτι ἡ δόξα ἡ περὶ τῶν οὐρανίων ὅτι „ οὐκ ἔςιν ἐν τόπῳ, οὐδενὸς ἄλλου τῶν πρὸ Ἀριςοτέλους ἐ„ ςὶν, ἀλλ᾽ αὐτὸς αὐτὴν πρῶτος εἰσηγήσατο. (1) Πρῶτος γὰρ δηλονότι καὶ μόνος, κατακολουθῶν τοῖς περὶ τόπου αὐτῷ τεθεῖσιν, ἐκτοπίσαι τὴν σωματικὴν φύσιν, παρ᾽ ὃ φύσιν ἔχει, ἠνάγκασται.

Ε΄. Ἡ τοῦ περιέχοντος ἐπιφάνεια ἴση ἐςὶ τῇ τοῦ περιεχομένου· τὰ γὰρ ἐφαρμόζοντα ἴσα ἐςί. Ἐὰν οὖν τεθῇ σώματα δύω ἰσομεγέθη μὲν, ἀνομοιοσχήμονα δὲ, ἀνίσους δὲ ἐκ τοῦ ἀκολούθου καὶ τὰς ἐπιφανείας ( ὡς ἐν τοῖς Γεωμετρικοῖς δείκνυται ) ἔχοντα, αἱ περιέχουσαι αὐτὰ ἐπιφάνειαι, ὡς δὴ ταῖς περιεχομέναις ἀνίσοις οὔσαις, ἑτέρα τῇ ἑτέρᾳ συνεξισούμεναι, ἄνισοι ἔσονται καὶ αὐταί. Εἰσὶ δὲ αὗται κατ᾽ Ἀριςοτέλην οἱ τόποι, ἄνισοι ἄρα τῶν ἰσομεγεθῶν σωμάτων, ἤτοι τῶν ἐν τόπῳ οἱ τόποι. Ἀλλ᾽ οὐκ ἔςι τοῦτο ( διὰ τὸ Δ΄. ), οὐδ᾽ Ἀριςοτέλει δοκεῖ „ τὸν α. τόπον μήτε μείζω, „ μήτε ἐλάσσω τοῦ ἐν τόπῳ ἀξιοῦντι τυγχάνειν. (1)

Ἢ ἔσω μὲν ἄνισα τὰ ἐν τόπῳ τοὺς ὄγκους, ἴσα δὲ τὰς ἐπιφανείας, ἀνομοιοσχήμονα ὄντα. Καὶ τῶν ἀνίσων αὖθις τοῦ μὲν μείζονος, τοῦ δ᾽ ἐλάσσονος, ἴσοι ἔσονται οἱ τόποι.

Ἢ καὶ τῶν σωμάτων τοὺς ὄγκους βραχυνομένων, ταῖς κατὰ λόγον αὐξομέναις ἐπιφανείαις, συναυξηθήσονται καὶ οἱ τόποι. Καὶ τοῦ αὐτοῦ ἄρα οἱ τῶν δύω ἡμιτόμων τόποι ἅμα, μείζονες ἔσονται, ἢ ὁ τοῦ ἐκ τῶν ἡμιτόμων ὅλου. Οἱ δὲ τῶν β΄. τεταρτημορίων, ἔτι μείζονες, καὶ ἐπ᾽ ἄπειρον. Τὰ δ᾽ ἐπίλυσον, καὶ χρυσοῦς ὀλυμπιάσι, φασὶ, ςάθητι.

ς΄. Εἰ

(1) Παρ᾽ Ἀμμων. ἐν τῷ περὶ ψυχ. βιβλ. α΄.
(2) Φυσικ. Δ. Κεφ. δ΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ϛ'. Εἰ δεῖ τὸ πέρας τοῦτο εἶναι ἀκίνητον „ βούλεται γὰρ, „ φησὶν (1) ἀκίνητος εἶναι ὁ τόπος. Σῶμα ἄρα τὸ ἐν ποταμῷ καταδεδυκὸς, περιρρεόντων αὐτὸ ἐνδελεχὲς τῶν ὑδάτων, ἤτοι ἐν τόπῳ οὐκ ἔςαι, ἢ γοῦν ἀεὶ κινηθήσεται, εἰ καὶ τῷ ὄντι ἀκινητοῦν, παρὰ τὸ διηνεκὲς τῆς τοῦ περιέχοντος μεταςάσεως.

Ὃ γὰρ φασὶν ἀπαντᾶν οἰόμενοι (2), ὡς ἄρα μεταβάλλει οὕτω κινούμενον τὸ περιέχον ὑλικῶς ἢ ὄν, οὐκ εἰδικῶς ἤ γε περιέχον, κἂν γέλωτα κινήσειεν. Οὐ γὰρ οὐδ' ἐπὶ τῶν κινουμένων αὐτῶν, καὶ ἐκ τόπου εἰς τόπον κυρίως μεθισαμένων ἡ μεταβολὴ εἰδικῶς συμβαίνει, τοῦ τόπου οὐχ ἥκιςα ἀμειβομένου. Αὐτὸ δὲ τοῦτο, καὶ πρὸς τοὺς οἰομένους ἐκκλίνειν τὴν ἀπορίαν, τῷ λέγειν ὅτι τὰ ἐν ποταμοῖς οὕτω κείμενα, τὸν μὲν φυσικὸν ἀμείβει, τὸν δὲ μαθηματικὸν οὐδαμῶς. (3) Πρὸς οὓς καὶ τοῦτο αὖτις προσθείη, ὡς οὕτω μαθηματικῶς μὲν, τουτέςι τῇ ἐπινοίᾳ, οὐ κινηθήσεται, φυσικῶς δὲ, ὅπερ ἐςὶ πράγματι κινηθήσεται τὰ τῷ ὄντι ἀκίνητα.

Ζ'. Καὶ τὰ ἐν τῷ βάθει δὲ μέρη τοῦ σώματος οὐκ ἔςαι ἐν τόπῳ, ὃ κατὰ τὸ Ζ'. τῶν τεθέντων (§. φλϛ'.) ἐςίν. Εἰ μὴ δέοι λέγειν, ὡς αὐτὸ τῶν μερῶν αὐτοῦ, τουτέςιν αὐτὸ ἑαυτοῦ, τὸ ὅλον σῶμα τόπος ἐςὶν, ὅπερ αὖθις κατὰ τὸ Α'. φέρεται, καὶ τὸ Β'. τῶν ἅπερ ὡμολόγηται ἀναγκαιότατα εἶναι τοῦ τόπου γνωρίσματα.

## Θεώρημα ΚΒ'.

§. φμ'. „ Ὁ κατὰ τοὺς Γερμανοὺς ὡρισμένος λεγόμενος „ λόγος, τοῦ πλείω τινὰ συνυπάρχειν τόπος οὐκ ἔςι.

Τὸ μὲν γὰρ συνυπάρχειν ἐπισυμβέβηκεν ἐνδεχομένως τοῖς

(1) Φυσ. Δ. Κεφ. Ε'.
(2) Γουδῖνος Φυσ. Μέρ. α'. Διαλέξ. γ'. Ζητ. δ'. Ἄρθρ. α'.
(3) Περχότ. περὶ τόπου φυσ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῖς πλείοσι, δυνατὸν γὰρ εἶναι αὐτὰ καὶ χωρὶς ἀλλήλων. Τὸ δὲ ἐν τόπῳ εἶναι ἐξ ἀνάγκης τῇ σωματικῇ φύσει προσῆκον ἐστί, διὰ τὸ Ε΄. ( §. φλς΄. ) Ἄρα κτ.

Β΄. Καὶ σῶμα δέ τι καθ᾽ ἑαυτὸ ἐν ὑποτεθὲν, οὐκ ἂν εἴη ἐν τόπῳ. ( κατὰ τὸ Ε΄. )

Ἀλλ᾽ εἴη ἂν ἐροῦσιν ὅτι καὶ ἐπὶ ἑνὸς καὶ μόνου σώματος, εἴη ἂν πλείω τὰ συνυπάρχοντα, καὶ τὴν ὡρισμένην θέσιν πρὸς ἄλληλα ἔχοντα, οἷαι αἱ μονάδες. Οὐκοῦν ( αὐτοὶ ) εἰ θέσιν ἔχει ἑκάστη καθ᾽ ἑαυτὴν, τὴν πρὸς τὰς ἄλλας, καὶ κείσεταί που, καὶ ἐν τόπῳ ἔσται. Καὶ δὴ καὶ σῶμα· τῶν σωμάτων γὰρ τὸ ἐν τόπῳ εἶναι κατὰ τὰ σώματα. ( διὰ τὸ Ε΄. ) Ἄλλως τε καὶ τὰς ἀδιαστάτους ταύτας μονάδας ἐξ ὧν τὰ σώματα, πλασματώδεις τε εἶναι, καὶ λόγῳ μηδενὶ στερρῷ βεβηκείας, φθάσαντες ( §. φιδ΄. φιέ. κτ. ) ἀπεδείξαμεν. Καὶ τῶν μονάδων δὲ οὕτως εἶναι τε καὶ ἐν τόπῳ μένειν συγχωρουμένων, αὐταὶ μὲν ὡς τὴν θέσιν ἔχουσαι καὶ ἐν τόπῳ ἔσονται, τὸ δ᾽ ἐξ αὐτῶν σῶμα ὡς ἓν καθ᾽ ἑαυτὸ, οὔ.

Γ΄. Τὸ θέσιν ἔχειν ὡρισμένην οὐδὲν ἄλλο ἐλέγχει, ἢ τὸ ὧδε εἶναι, ἢ ὧδε τὸ ἔχον, πρὸς ἄλλα παρατιθέμενον, καὶ ἤτοι ἄνω εἶναι, ἢ κάτω, ἢ ἔμπροσθεν, ἢ ὄπισθεν, ἢ κατὰ τὰς ἄλλας τοῦ τόπου διαφοράς. Ὥστε ἐπεὶ τὸ γένος τοῦ εἴδους φύσει πρότερον ( §. ιζ΄. ), καὶ τὸ ἄσχετον τοῦ κατὰ σχέσιν, προτερεύει ἄρα φύσει ὁ τόπος, τῆς κατ᾽ αὐτὸν ὡρισμένης τε, καὶ κατὰ σχέσιν θέσεως.

Δ΄. Ἡ δὲ σχέσις αὕτη, καὶ ταύτῃ ποσοῦ ἀνεπίδεκτος· ὁ δὲ τόπος ποσόν τι ἂν εἴη, αὐτῷ γὰρ τὸ ἴσον παρακολουθεῖ, καὶ τὸ μή. Καὶ τὸ μεῖζον, καὶ τὸ ἔλαττον. (διὰ τὸ Δ΄.)

Ε΄. Ὅ,τε Κόσμος ὁλικῶς ληφθεὶς θέσιν οὐκ ἔχει, πρὸς τίνα γὰρ ἕτερον ἕξει; καὶ οὐδ᾽ ἐν τόπῳ ἔσται. ( κατὰ τὸ Ε΄. )

Εἰ δὲ φαῖεν ὅτι τὰ μέρη ἐξ ὧν συναρμολογεῖται θέσιν ἔχει πρὸς ἄλληλα· ἀπαντήσομεν ὅτι καὶ ταῦτα ἐν τόπῳ ἔσται ἐκ τοῦ ἀκολούθου, τὸ δὲ ὅλον οὔ. Παρ᾽ ὃ καὶ ὅσα κατὰ τοῦ Ἀριστοτέλους ἀνωτέρω λυέχθη ( §. φλθ΄. ἐν Ἀριθμ. Δ΄. ) καὶ τούτους αὐτοὺς περιίσταται.

ς΄. Καὶ δυνάμεις δὲ ἀσώματοι, καὶ σημεῖα τῶν πάντη ἀδιαστάτων, οἷα τὰ Γεωμετρικὰ, θέσιν ἔχειν πρὸς ἄλληλα ὑπο-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὑποτίθεται, ϗ συνυπάρχοντα εἶναι. Ὥςε ϗ ἐν τόπῳ εἰσὶ κατὰ τὰ σώματα. ( κατὰ τὸ Ε΄. )

Ζ΄. Καὶ ἑνός τινος ἄρα τῶν συνυπαρχόντων καθ' ὑπόθεσιν εἰς τὸ μηδὲν ἐξαπιόντος ἐπεὶ τὴν πρὸς αὐτὸ τὰ λοιπὰ θέσιν, ἣν εἶχον ἀπέθεντο, καὶ τὸν τόπον αὐτῇ συναπέθεντο, ἢ γοῦν μετέβαλον, ὡς οὐκ ἔτι ἔχοντα θέσιν οἵαν ϗ πρότερον. Ἡ δὲ μεταβολὴ τοῦ τόπου τῶν κινουμένων, οὐ τῶν ἀκινητούντων.

Ἢ ϗ τῶν ἄλλων κινουμένων, ἑνὸς δέ τινος μένοντος κατὰ χώραν, ἐπεὶ οὐδὲν μᾶλλον ἐκεῖνα τὴν πρὸς τοῦτο, ἢ τὴν πρὸς ἐκεῖνα τοῦτο, θέσιν τοιῷδε λόγῳ ἀμείβεται, ἐξ ἴσου συνεκτοπισθήσεται τοῖς κινουμένοις, ϗ τὰ μὴ κινούμενα.

## Θεώρημα ΚΓ΄.

§. φμά. „ Τόπος ἐςὶ τὸ διάςημα τὸ ὑπὸ τοῦ σώματος „ ἐπεχόμενον.

Οὕτω γὰρ ϗ τοῦ ἐν τόπῳ ὁ τόπος ἕτερον ἐςί. Κατὰ τὸ Α΄. ( §. φλς΄. ) τὸ μὲν γὰρ ἔκτασις ἐςὶ πλήρης· ( §. φιά. φιθ΄. ) ἡ δὲ ψιλή τις ἐςὶ καθ' ἑαυτὴν διάςασις. ( §. φιβ΄. φκς΄. ) Καὶ οὐδὲ ἐκείνῳ οὕτως συμμεταςήσεται. ( κατὰ τὸ Β΄. ) Τῶν γὰρ περατούντων τὸ διάςημα κατὰ χώραν μενόντων, ϗ συνακινητούσης οὕτως αὐτοῖς, καὶ τῆς μεταξὺ διαςάσεως, δυνατὸν ἐκςῆναι τὸ μεταξὺ, καὶ ἀλλαχῇ πῃ ἐντοπισθῆναι, διάςασιν ἄλλην καταλαβόν. ( §. φλβ΄. ) Καὶ ἀδύνατον δὲ τὸ αὐτὸ διάςημα ὑπὸ δυοῖν σωμάτων ἐπέχεσθαι κατὰ τὸ αὐτὸ ( ὅπερ ἦν τὸ Γ΄. ) τῆς σωματικῆς οὐσίας φύσει ἀδιαχωρήτου ὁμολογουμένης. ( §. φιά. ) Καὶ συνισοῦται δὲ οὕτως ἀκριβῶς ἀεὶ ϗ τῷ ἐν τόπῳ ὁ τόπος, καὶ μείζων μὲν ἐςὶν ὁ τοῦ μείζονος, ἐλάσσων δὲ ὁ τοῦ ἐλάσσονος. ( κατὰ τὸ Δ΄. ) Καὶ ἅπαν δὲ σῶμα ἐξ ἀνάγκης οὕτω τόπον ἐπέχει, καὶ αὐτὸ τὸ πᾶν. ( κατὰ τὸ Ε΄. ) οὐδὲν γὰρ σῶμα ἀδιάςατον. Καὶ οὐδὲ τοῦ τόπου τόπος ἔςαι ( κατὰ τὸ ς΄. ) Μία γὰρ ϗ ἡ αὐτὴ ὑπολειπομένη ψιλὴ διάςασις, τοῦ ἐν αὐτῇ ὄντος σώματος, ἤδη μετακεχωρηκότος. Καὶ οὐδὲ τὰ μέρη

ἐν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐν τῷ ὅλῳ αὐτῶν ὡς ἐν τόπῳ (κατὰ τὸ ζ'.) ἀλλὰ τοῦ μὲν ὅλου ὁ ὅλος τόπος, τοῦ δὲ μέρους τὸ μέρος. Ἄρα κτ.

## Σχόλιον Α'.

§. φμβ'. Οὐδὲν ὅ,τι καὶ λόγου ἄξιον, κατὰ τοῦ οὕτως ὑποτεθέντος τόπου, ὁ Ἀριστοτέλης ἔσχεν ἐπαπορῆσαι, εἰμὴ δύο τινά, οἷς ῥᾶστα ἂν καὶ ὁ τυχὼν ἀπαντήσειε. „ Τὸ μέν, ὡς „ εἴπερ ἐστί τι τὸ διάστημα τὸ πεφυκός, καὶ μένον ἐν τῷ αὐ„τῷ τόπῳ, ἄπειροι ἂν ἦσαν οἱ τόποι. Τὸ δέ, ὅτι καὶ ὁ „ τόπος ἔσται μεταβάλλων, καὶ ὡς ἔσται καὶ τοῦ τόπου ἄλλος „ τόπος· καὶ πολλοὶ τόποι ἅμα ἔσονται. (1) Οὐδὲν οὖν ἐκ τούτων ἀποφῆσασι τὸ διάστημα ἐν τόπῳ εἶναι, ὅπερ αὐτὸς ὑποτίθησι. Πῶς γὰρ ἐν τόπῳ, εἴπερ ὁ τόπος αὐτός; πῶς δ' εἰ μὴ σῶμα, τῶν δὲ σωμάτων χωρητικὸν λέγεται; μὴ ὂν τοιγαροῦν ἐν τόπῳ τὸ διάστημα, οὐδ' ἐν τῷ αὐτῷ μένει τόπῳ, οὐδὲ τόπον μεταβαλεῖγε κυρίως εἰπεῖν (ἢ τῷ λόγῳ τῶν περιοριζόντων σωμάτων τοῖς ἐφ' ἑαυτοῖς πέρασιν, ὡς εἴρηται (§. φλβ'.) ἥτε τῶν τόπων ἀπειρία, ἡ ἐκ τοῦ ἐν τόπῳ ὑποτίθεσθαι τὸ διάστημα, ἄτοπος τῷ ὄντι ἐλέγχεται. Οὐδὲν γὰρ ἀπέοικε τὸ σόφισμα τοῦτο, τοῦ ὑποθεμένους τὸν χρόνον εἶναι ποτέ, κἀντεῦθεν τοῦ χρόνου χρόνον εἶναι εἰσβάλλοντας, ἐντεῦθεν πολλοὺς χρόνους κατὰ τὸ αὐτὸ ἄλλον ἄλλου συνείρειν ἐπ' ἄπειρον.

## Σχόλιον Β'.

§. φμγ'. Διαιρεῖν οὖν καὶ ἡμῖν ἔσται τὸν τόπον εἰς τὸν μὲν ἀπόλυτον, τὸν δὲ σχετικόν. Καὶ ἀπόλυτος μέν ἐστιν, αὐτό, ὅπερ ἂν ἐπέχοι τι σῶμα τὸ διάστημα (§. φμά.) θεωρούμενον καθ' αὐτό, σχετικὸς δὲ ἐστίν, ἡ τοῦ σώματος,

πρὸς-

(1) Φυσικ. Δ. Κεφ. δ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

παραθέσει τῇ πρὸς τὰ λοιπὰ τῶν ἐν τῷ παντὶ, σχέσις· τόπων δὲ τὸν μὲν ἀπόλυτον, τὸν καὶ μάλιστα τόπον ὄντα τε καὶ λεγόμενον, ὃν ἐξ ἀνάγκης παντὸς σώματος ἀπαιτοῦντος (κατὰ τὸ Ε'. τῶν ἐν §. φλς'.) τοῦ κατὰ σχέσιν, καταχρηστικώτερον λεγομένου τόπου, ἀμοιρεῖν τὸ σῶμα ἐνδέχεται· οἷον δὴ τὸ πᾶν ἐν τόπῳ μὲν εἶναι φαμὲν ἀπολύτως, ἅτε δὴ τοσαύτην πληροῦν διάστασιν, ὅσην ἂν ἰσομέγεθες ἕτερον, εἴγε παρείη, ὑποχωρήσειέ τε τὸ ἤδη ἐπέχον, κατάσχοι· ἐν τόπῳ δὲ σχετικῶς οὐχὶ, ὡς οὐδὲν πρὸς ἕτερον θέσιν κεκτημένον τινά. Σχετικοῦ δὲ τόπου δοθέντος, ἐὰν τὸ ἐν τόπῳ παραβάλληται πρὸς ἀκίνητα κινούμενον, ἅμα τῷ ἀπολύτῳ συμμεταβαλεῖγε καὶ τόπον τὸν σχετικόν. Ἐὰν δὲ πρὸς κινούμενα κινούμενον, ἐνδέχεται τὸν μὲν σχετικὸν σώζειν τὸν αὐτὸν, τὸν δὲ ἀπόλυτον ἕξει ἕτερον. Ἐὰν δὲ πρὸς κινούμενα ἀκίνητον, τὸν μὲν ἀπόλυτον οὐκ ἀμείψει, μεταβαλεῖ δέ γε τὸν σχετικόν. Ἡ δὲ κίνησις ἀπαραιτήτως, τῇ κατὰ τὸν ἀπόλυτον μεταβολῇ τοῦ ἐν τόπῳ συνῆπται. Ταύτῃ τοι καὶ ὁ ἐπιβάτης ἐν τῇ νηῒ πλεούσῃ καθήμενος, τὸν μὲν ἄσχετον ἐστὶ μεταμείβων, τὸν δὲ κατὰ σχέσιν, πρὸς μὲν τὴν ναῦν, καὶ τὰ ἐν αὐτῇ μὴ κινούμενα οὐδαμῶς· συγκινεῖται γὰρ αὐτῷ καὶ ταῦτα, καὶ θέσιν τὴν αὐτὴν τῇ συμπεριφορᾷ διασώζει. Πρὸς δὲ τὰ στερεὰ λεγόμενα τῶν ἐν τῷ παντὶ σημείων, οἷαι λέγονται αἱ ἰσημεριναὶ ἀνατολαὶ καὶ δυσμαὶ, καὶ τὰ κατὰ τοὺς πόλους, φανερὸν ὅτι, ἀμειβομένης τῆς θέσεως μεταβάλλει. Ἀλλὰ καὶ περὶ Τόπου τοσαῦτα.

## Περὶ Διαμονῆς, ἔνθα καὶ περὶ Χρόνου.

§. φμδ'. Διαμονή ἐστὶν ἡ κατὰ τὸ συνεχὲς παράτασις τῆς τοῦ ὄντος ὑπάρξεως. Τὸ γὰρ ὑπάρχον ταύτῃ καὶ διαμένει, ἢ παρατείνει τὴν ὕπαρξιν, ἤτοι ταῖς ἑαυτοῦ, ἢ καὶ ταῖς ἄλλων τινῶν παρ' αὐτὸ ὄντων κατὰ διαδοχὴν κινήσεσιν, ἢ καὶ πλείοσιν ἐννοίαις τοῦ περὶ αὐτοῦ εἰ τύχοι, ἢ ἄλλαις τοῦ διασκεπτομένου, ἀντιστοιχοῦσαν πως καὶ συμπαραθέουσαν. Διὸ καὶ τὴν διαμονὴν ὀρθῶς, καθ' αὑτὴν μὲν, ἡ διάρκειά τις ἐστὶ

τοῦ ὑπάρχοντος ἄχετον προσεῖπον, σχετικὴν δὲ, τὴν κατὰ παράθεσιν πρὸς ἄλλα τινὰ, διαμένοντα καὶ αὐτὰ, ἀναλογιζόμεθα. Ἡ ἄχετος μὲν ἡ διαμονὴ ἐστὶν ἡ παρεκοῦσα τῷ διαμένοντι, μετὰ σχέσεως δὲ ἡ ληπτή πως ἡμῖν γινομένη, πρὸς τὰ συνυπάρχοντά τε καὶ συνδιαμένοντα ἀφορῶσι. Καλεῖται δὲ ἡ μὲν ἄχετος καὶ ἀληθὴς, καὶ μαθηματικὴ, ὅπιστης τε καὶ δίχα ἀνωμαλίας προβαίνουσα, εἰκάσαι τῇ τοῦ σημείου ῥοῇ τῇ συνεχεῖ τε καὶ ἀπλουστάτῃ, τῇ μήτ' ἐπιταχυνομένῃ, μήτ' ἐπιβραδυνομένῃ, καὶ τὴν κατ' ἐπίνοιαν εἰς ἄπειρον τομὴν ὑποδεχομένῃ. Σημεῖον δ' ἐπὶ ταύτης νοεῖται τὸ ἀκαρὲς νῦν· ὥσπερ γὰρ ἡ τοῦ γεωμετρικοῦ σημείου ῥύσις, τὴν γραμμὴν, οὕτως ἡ τοῦ νῦν, τὴν διαμονὴν συνίστησιν. Ἡ δὲ κατὰ σχέσιν λέγεται καὶ φαινομένη, ἡ κατὰ τὴν διαφορὰν τῶν αἷς ἡ παράθεσις γίνεται ἐννοιῶν, εἴτ' οὖν ἐπιστάσεων, πολὺ παραφυόμενον ἔχουσα τὸ ἀνώμαλον.

§. φμε'. Καθ' αὑτὴν οὖν ἡ διαμονὴ ἐκληφθεῖσα, ἤτοι ἀρχῆς ἐστὶν ἅμα καὶ τέλους ἐπέκεινα, καὶ αἰωνιότης καλεῖται, ἡ μόνῳ τῷ Ὄντι τῷ καθ' ὕπαρξιν ἀναγκαίῳ προσήκουσα. Ἡ γοῦν ἀρχὴν εἰληφυῖα τέλος οὐκ ἕξει, καὶ αἰδιότης ἀκούει (καίτοι ἀδιαφόρως πολλάκις τὰ ὀνόματα ταῦτα ἐκλαμβάνεσθαι εἴωθεν) καὶ τὰ κατ' αὐτὴν διαμένοντα αἴδια· οἷον τὰ ἀμιγῆ ὕλης εἴδη γεραίρεται. Ἡ πέως κατ' ἀρχήν τε καὶ τέλος ἑκατέρωθεν περατουμένη, χρόνος ὠνόμασται, ἐν ᾧ πάντα τὰ ἐν γενέσει τε καὶ φθορᾷ τὸ εἶναι ἔχοντα τέτακται.

§. φμς'. Ἕτεροί γε μὴν ἄλλως πως γνωρίζειν χαίρουσι τὸ αἰώνιον, καὶ τῶν αἰδίων, καὶ τῶν ἐν χρόνῳ ἀντιδιαστέλλειν. Ἐκείνου γὰρ φασὶν ἡ διαμονὴ ἅμα πᾶσα, καὶ οὐδὲ κατὰ τὸ πρότερον, καὶ ὕστερον τι διαρκεῖν ἔχουσα· τῶν δὲ ἐν χρόνῳ κατὰ διαδοχὴν, καί πως ἐν ῥύσει τινὶ τὰ τῆς καθ' ὕπαρξιν παρατάσεως. Εἰσὶν ἀλλ' οὖν οἱ μηδὲ τὸ ἐν Αἰωνιότητι ἱδρυμένον, διαδοχῆς οἰασοῦν ἀπαλλάττειν ἀξιοῦντες· οὐ γὰρ δὴ τῆς μεταφυσικῶς νοουμένης, τῆς πολλαῖς μὲν νοήσεσι, πολλαῖς δὲ κινήσεσι τῶν καθ' ἡμᾶς ἐκ μεταβάσεως γινομέναις οἷον εἰπεῖν ἀντιστοιχούσης τε καὶ συμπαραθεούσης· μόνης δὲ τῆς φύσει, φασὶν, ἥτις τὰ οὕτως ἔχοντα μεταβάλλειν διηνεκῶς παραίτιος γίνεται, μὴ ἀεὶ ὡσαύτως πεφυκότα. Ἐκεῖνο δὲ παν-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

παύτη παύτως μεταβολῆς ὑπεξίδρυται: „ Ἰδιότης γὰρ αἰῶνος „ τὸ ἀρχαῖον καὶ ἀναλλοίωτον. (1)

§. φμζ΄. Ἀλλ᾽ ὅπως ἂν ἔχοι τὸ περὶ τούτου, ἐκεῖνο παύτη φανερὸν, ὡς ἐπὶ τοῦ αἰῶνος, τὸ ἐν ἀμερεῖ σῳ πᾶν τὸ εἶναι συνειλοχέναι, κατανοεῖν αὐτοὶ δύναμιν οὐκ ἔχοντες, μετά τινος διαδοχῆς μερῶν κατὰ τὸ πρότερον καὶ ὕστερον οἷον ἀλληλουχημένων, καὶ τὴν κατὰ τὸ ἀεὶ ὂν παράτασιν, ἣ δὴ καὶ τὴν χρονικὴν πεφύκαμεν, ἐννοεῖν πως ἀναγκαζόμεθα. Ὅτι γὰρ δὴ, τῇ ὡς ἡμῖν τυγχάνει ληπτῇ, καὶ ἐν σχέσει, καθάπερ εἴρηται, διαμονῇ, διαδοχή τις ἐνουμένη, παρακολουθεῖ ἐκ τοῦ συνεγγυς, πᾶς τις ἂν οἶμαι τῇ κατ᾽ αὐτὴν ἐπιστήσας ἐννοίᾳ ῥᾷστα ὁμολογήσειε. Τὸ γάρ τι διαμένειν, τουτέστι τὸ διαρκεῖν εἰς τὸ εἶναι, οὐκ ἄλλως περισκοποῦμεν, ἢ μόνῃ τῇ προόδῳ τε καὶ παρατάσει τῇ ἀλληλοδιαδόχως ἡμῖν κατὰ νοῦν γινομένων προσέχοντες. Ἐὰν γὰρ ἔν τινι τῷ τυχόντι τὸν λογισμὸν προσερείσας, καὶ τούτου τῇ οὐσίᾳ, ἢ τοῖς παθήμασιν, ἀτενεῖ τε καὶ ἀῤῥεμβάστῳ τῇ θεωρίᾳ, ἐπὶ ποσὸν ἐμβατεύσας, οὐδὲ βραχὺ γοῦν ἐπιστήσω, ὅτι μετέβαλέ πως, καὶ ἐξηλλοίωται, οὐθ᾽ ὅτι αὐτὸ, οὐθ᾽ ὅτι ἕτερον, οὐθ᾽ ὅτι τόδε μετὰ τόδε ἐγένετο, καὶ εἰσέτι διαρκεῖ τε, καὶ διαμένει, οὐδ᾽ εἴσομαι ὅλως, ὅτι χρόνος τις ἐν μέσῳ παρήλασε. Χαλεπὸν δὲ τοῦτο, διὰ τὸ τοῦ νοῦ εὐπερίσπαστον. Οἷς δ᾽ ἂν πρὸς βραχὺ συμβῇ, τούτοις καὶ τὸ μεταξὺ τῆς διαμονῆς ἀνεπίκειτον. ὃ καὶ Λωκίῳ τῷ Νεωτέρῳ (2) καὶ πολὺ πρότερον Ἀριστοτέλει παρατετήρηται. (3) „ Ὅταν γὰρ αὐτοὶ μηθὲν „ μεταβάλλωμεν τὴν διάνοιαν, ἢ λάθοιμεν μεταβάλλοντες, „ οὐ δοκεῖ ἡμῖν γεγονέναι ὁ χρόνος.... Συνάπτομεν γὰρ τὸ „ πρότερον νῦν, τῷ ὑστέρῳ νῦν, καὶ ἓν ποιοῦμεν ἐξαιροῦντες, „ διὰ τὴν ἀναισθησίαν τὸ μεταξύ. Ὡς εἴγε τῇ κατὰ τὸ εἶναι πλειόνων διαδοχῇ ἐπιβάλλοιμι, ἐνθυμηθεὶς ὅτι τὸ β μετὰ τὸ α, καὶ μετὰ τὸ β τὸ γ, μεθ᾽ ὃ τὸ δ ἑξῆς, μηδ᾽ ὁτιοῦν ἕτε-

(1) Ἀρεοπαγ. Διον. περὶ θείων ὀνομ. Κεφ. ί.
(2) Βιβλ. β΄. Περὶ Νοῦ Ἀνθρ. Κεφ. ιδ΄. §. 3. 4.
(3) Φυσικ. Βιβλ. δ΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἕτερον περὶ αὐτῷ ἀνασκέψωμαι, ἢ ὅτι θάτερον μετὰ θάτερον, ἔννοιαν οὕτως ἀποίσομαι προόδου τινὸς, ἣ χρόνος καλεῖται ἀρχήν τε καὶ τελευτὴν ἔχουσα. ( §. φμέ. )

§. φμή. Εἰώθασι δὲ τὸν χρόνον διαιρεῖν εἰς ἀόριστον, καὶ ὡρισμένον. Καὶ ἀόριστος μὲν ἔσαι, τοῖς μόνην τὴν τοῦ ὑπάρχειν παράτασιν ἐπί τινος καθ' ἑαυτὴν διενθυμουμένοις, μηδέ τινι ἄλλῃ παρατάσει αὐτὴν, ἤτοι ἴσῃ, ἢ μείζονι, ἢ ἐλάττονι παρατιθεμένοις. Ἀλλ' ὅτι τόδε μετὰ τόδε, καὶ πλέον οὐδὲν ἐφισῶσιν. Ὡρισμένος δὲ ἔσαι, τοῖς παράτασιν παρατάσει παραττοῦσί τε καὶ ἀντεξετάζουσι, καὶ ἴσην, ἢ μείζονα, ἢ ἐλάσσονα κατὰ λόγον ὡρισμένον εὑρίσκουσιν. Ἡ δὲ παραληφθεῖσα ἄλλη παράτασις, εἰ μὲν ἀόριστος τύχοι καὶ αὐτὴ οὖσα, ἐναλλὰξ ὑπὸ τῆς αὐτῇ διοριζομένης διορισθήσεται, ἄλλοθεν δὲ τοῦ διορισμοῦ πρὸς ἄλλην λαχοῦσα, καὶ ἐλάσσων οὖσα, ὡς ἐπανειλημμένως ποσάκις λαμβανομένη τῇ προκειμένῃ· τέως συνεξισοῦσθαι, καὶ ταύτην καταμετρεῖν, μέτρον κληθήσεται.

## Θεώρημα ΚΔ΄.

§. φμθ΄. „ Οὐδέν τι ἐσὶν ἡ διαμονὴ πράγματι διακεκριμένον τοῦ διαμένοντος.

Διαμονὴ γὰρ ἐσὶν ἡ συνεχὴς τῆς ὑπάρξεως παράτασις. ( §. φμδ΄. ) Διαμένει δὲ τὸ ἐν παρατάσει ὑπάρχον. ( §. Αὐτ. ) ὑπάρχον δὲ ἐσὶ τὸ ἐνεργείᾳ μεμοιρημένον τοῦ εἶναι· ἡ γὰρ ὕπαρξις αὐτὴ τοῦ εἶναι ἐσὶν ἡ ἐντελέχεια. ( §. ρπδ΄. ) Ὥσπερ οὖν τοῦ ὑπάρχοντος ἡ ὕπαρξις οὐδαμῶς διακρίνεται, οὕτως οὐδὲ ἡ διαμονὴ τοῦ διαμένοντος. Ο. Ε. Δ.

Ἄλλως. Καὶ εἰ πράγματι τοῦ διαμένοντος ἡ διαμονὴ διεκρίνετο, ἦν ἂν καὶ διαμονή τις αὐτὸ τοῦ διαμένοντος τὴν ὑπόσασιν ἔχουσα, καὶ τὸ διαμένον τῆς διαμονῆς αὐτό. ( §. συβ΄. ) Οὗ τί ἂν λέγοιτο ἀτοπώτερον; Ἄρα κτ. ( §. λ΄. )

Ἄλλως. Διακρινέσθω εἰ δυνατὸν τοῦ διαμένοντος πράγματι ἡ διαμονὴ, καὶ ὑφισάσθω καθ' ἑαυτὴν, οὐκοῦν οὕτω καὶ διαμένον τι ἔσαι ἡ διαμονὴ, καὶ μὴ διαμένον, ὡς ἄρα διακρινομένη τοῦ διαμένοντος, ὅπερ ἀντίφασις κατὰ τὴν ἀνωτέρω σα-

φής. (§. λ'.) Εἰ δέ τι διαμένον αὐτὴ, καὶ τῆς διαμονῆς διαμονὴ ἔσαι ἐπ' ἄπειρον. Ἄρα κτ.

## Πόρισμα.

§. φν'. Οὐκ ἄρα οὔθ' ἡ αἰωνιότης τοῦ προαιωνίου Θεοῦ, πράγματι διακείνεται, οὔθ' ἡ ἀϊδιότης τῶν ἀϊδιαζουσῶν φύσεων, οὔθ' ὁ χρόνος αὐτὸς τῶν ἐν χρόνῳ πράγματι ἕτερος. (§. φμέ.) Ἀλλ' ἡ μὲν αὐτὸς ἐςὶν ὁ Θεὸς ὁ ἀεὶ ὢν, ἀρχῆς τε καὶ τέλους ἐπέκεινα, καὶ μεταβολῆς οἱασοῦν ὑπέρτερος· ἡ δὲ αὐτὰ δὴ τὰ ἀΐδια, ἃ τῶν φυσικῶν ἀλλοιώσεων καὶ φθορῶν τίθεται κρείττονα. Ὁ δὲ χρόνος αὐτὰ τὰ ἐν διηνεκεῖ ῥοῇ μεταβάλλοντα, ἀρχήν τε εἰληφότα τοῦ εἶν[illegible]λος ἕξοντα.

## Σχόλιον.

§. φνά. „ Ἄρισα καὶ Ἀριςοτέλης μηδὲν [illegible] „ τὸν ἀπέδειξε τὸν χρόνον, οἷς ἀνάγκη τῆς κινή[illegible] αὐ„ τὸν εἶναι ἔφθη κατασκευάσας. (1) Εἰ γὰρ μηδ' ἡ κίνησις αὐτὴ, ἧς ἐςί τι ὁ χρόνος, καθ' ἑαυτὴν χωρὶς τοῦ κινουμένου γένοιτο, σχολῇ γ' ἄν τις ὑπολειφθείη λόγος, ὅςτις ἂν τὴν γε τὸν χρόνον διαμονὴν καθ' ἑαυτὴν χωρὶς τοῦ διαμένοντος ὑποςήσειεν. Ἀλλ' εἰ καὶ τῶν ἐν χρόνῳ οὐκ ἔςιν ὁ χρόνος πράγματι ἕτερον (ταυτὸ δὲ ῥητέον καὶ περὶ τῶν ἄλλων τῆς διαμονῆς εἰδῶν) ἔςι πως ἀλλ' οὖν τῷ λόγῳ διαφέρον. Καὶ καθάπερ τὸν ἀριθμὸν, κατ' ἀφαίρεσιν ἀπὸ τῶν ἀριθμητῶν ἀναλογιζόμεθα, καίτοι τοῦτον αὐτὰ τὰ ἀριθμητὰ εἰδότες, τυγχάνοντα, ἢ ἅμα ἤθροισαι. Καὶ τὸ ποσὸν δὲ τῶν οἷς πρόσεσι, καίτοι καὶ αὐτὸ ταῦτα ὂν, ἧπερ ἐπὶ τοσοῦτον φέρε, ἢ τοσοῦτον ἐκτέταται. Καὶ αὐτὴν δὲ τὴν κενὴν διάςα-

σιν

σιν οὐδὲν εἶναι φαμέν, ἀλλ᾽ ἢ τὰ σώματα αὐτά, ἅπερ ἀλ-
λήλων διέστηκε, μηδενὸς παρεμπίπτοντος (§. φκθ΄.) με-
ταξὺ σώματος, οὕτω τοι καὶ τὸν χρόνον τῷ λόγῳ χωρὶς τῶν
ἐν χρόνῳ ἔπεστι θεωρεῖν, καί τοι αὐτὰ ταῦτα ὄντα, ἣ συ-
νεχῶς παρατείνει ἣν ἔχει ὕπαρξιν. Ὥστε οὐδὲ χρόνος ἂν
εἴη μηδενὸς ὑφεστῶτος τῶν κατὰ χρόνον, καὶ οὐδὲ ἦν τις ὅλως
πρὸ τῆς τῶν δημιουργημάτων συστάσεως. Διό μοι οὐδὲ ὀρθῶς
ἔχειν δοκεῖ, ὅπερ ἐρέσθαι φέρεται τὸν Λεϊβνίτιον ὁ Κλάρ-
κιος. „ Τί μὴ τὸ Θεῖον πρὸ ἑξακισχιλίων ἐνιαυτῶν, τὸν
„ κόσμον ὑπέστησεν; οὐ γὰρ ἦν δηλονότι χρόνος τοῦ παντὸς
ἀρχαιότερος. (1) Ἀλλὰ τίνι δή ποτε λόγῳ καὶ ὁ Πρόκλος
„ ἀπεφήνατο πάντων μὲν τῶν αἰωνίων προϋπάρχειν τὸν
„ αἰῶνα, πάντων δὲ τῶν κατὰ χρόνον προϋφεστάναι τὸν χρό-
„ νον; (2) ἢ τοὺς κατ᾽ ἰδέαν καὶ κατ᾽ εἶδος, (ἅτε δὴ Πλα-
τωνικὸς) προόντας αἰῶνά τε καὶ χρόνον, τοὺς μετεχομένους τε
καὶ ἀμεθέκτους, πρὸ τῶν μετεχόντων εἶναι εἰσηγούμενος. „ Εἰ γὰρ
„ πανταχοῦ φησὶ πρὸ τῶν μετεχόντων ἐστὶ τὰ μετεχόμενα,
„ καὶ πρὸ τῶν μετεχομένων τὰ ἀμέθεκτα, δῆλον ὅτι ἄλλο
„ μὲν τὸ αἰώνιον, ἄλλο δὲ ὁ ἐν τῷ αἰωνίῳ αἰών, ἄλλο δὲ
„ ὁ καθ᾽ αὑτὸ αἰών, τὸ μὲν ὡς μετέχον, τὸ δὲ ὡς μετε-
„ χόμενον, ὁ δὲ ὡς ἀμέθεκτος. Καὶ τὸ ἐν χρόνῳ ἄλλο
„ μετέχον γάρ, καὶ ὁ ἐν τούτῳ χρόνος ἄλλος, μετεχόμενος
„ γάρ, καὶ ὁ πρὸ τούτου χρόνος ἀμέθεκτος ὤν. Εἰκὸς δ᾽ ἂν εἴη
ἐνταῦθα τὸ προϋπάρχειν ἀντὶ τοῦ φύσει πρότερον εἶναι ἐκ-
δέξασθαι, πῶς γὰρ ἐνδέχεται τοῦ αἰωνίου τὸν αἰῶνα πρότερον
ὑπάρχειν, καὶ πρόγε τοῦ ἐν χρόνῳ τὸν χρόνον; ὅπου γε καὶ ὁ
„ αὐτὸς ἐν ἄλλοις (3) διαῤῥήδην ἀξιοῖ, ὅτι ἅμα ὁ οὐρανὸς
„ χρόνῳ, καὶ οὐρανῷ χρόνος, μέτρον γὰρ ἐστὶ τῆς τοῦ οὐρανοῦ
„ κινήσεως, ὡς ὁ αἰὼν τῆς τοῦ αὐτοζώου ζωῆς.

Θεώ-

(1) Ἐν Ἐπιστολ.
(2) Θεολογικ. Εἰσαγ. νγ΄.
(3) Πρόκλ. Λογ. Ε΄. Περὶ Ἀϊδιότ. Κόσμου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Θεώρημα ΚΕ'.

§. φνβ'. „ Η διαμονὴ καὶ διαδοχὴ νουμένη, τοῦ μᾶλ-
„ λον καὶ ἧττον πάμπαν ἐςὶν ἀνεπίδεκτος.

Ἐφ' ὧν γὰρ πλείους ἢ ἐλάσσονες μοῖραι ἅμα τε καὶ ὁμοῦ τῆς ἑνώσεως τελειότητος πεφύκασιν εἶναι, ἐπιτάσεώς τε καὶ ἀνέσεως τὰ τοιαῦτα, ταὐτὸν εἰπεῖν τοῦ μᾶλλον καὶ ἧττον τυγχάνειν ἀνωμολόγηνται ἐπιδεκτικά. ( ἐξ ὑποθ. ) ἐπὶ δὲ τῆς διαμονῆς ἐν διαδοχῇ νουμένης τῆς καθ' ὕπαρξιν παρατάσεως, οὐκ αὖ ἐν τῷ αὐτῷ πλείους γένοιντο τοῦ εἶναι μοῖραι, ἢ ἐλάσσονες· οὐ γὰρ ἐν ταυτῷ θάτερον τοῦ εἶναι μέρος ἐν θατέρῳ, ἀλλ' ἐκτὸς θατέρου, ἤτοι παρὰ θάτερον. ( τοῦτο γὰρ ἡ παράτασις ἐννοεῖν δίδωσι ) καὶ μετὰ θάτερον. ( τοῦτο γὰρ ἡ διαδοχή. ) ( §. φμζ'. ) Ἄρα κτ.

## Πόρισμα Α'.

§. φνγ'. Ἀπὸ τοίνυν τῆς αἰωνιότητος, τῆς διαδοχῆς, ἥτισι δοκεῖ ( §. φμς'. ) κομιδῇ ἀρθείσης, ἐπεὶ καὶ τὸ αὐτὸ ἅπαν τὸ εἶναι αὐτῇ, ὡς ἐν ἀπεράντῳ τινὶ σημείῳ, οὕτως εἰπεῖν, συμφορεῖται, ἡ κατ' ἐπίτασιν τὴν ἀκροτάτην, διαμονὴ πρόσεςαι, ἡ κυριώτατα καὶ μάλιςα διαμονὴ, καὶ αὐτὸ συνελόντι φάναι τοῦ εἶναι τὸ πλήρωμα. Ταύτῃ γὰρ δὴ „ τὴν αἰωνιότητα ἀπεράντου ζωῆς ὅλην ἅμα, καὶ ὑπερτελῆ ἀπέδωκαν ἕξιν. (1) ὡς ἅτε δὴ ἠθροισμένον πως ἔχουσαν τὸ „ εἶναι, καὶ ὁμοῦ πᾶν, καὶ ὅλην καθ' ἑαυτὴν οὖσαν. (2) καὶ τοῦ προτέρου τε καὶ ὑςέρου ἁπλῶς ἀνεπίδεκτον.

Πό-

---

(1) Βοέτιος ἐν παραμυθ. τῆς Φιλοσοφ. Προτ. ς'.
(2) Πρόκλ. ὁ Διάδ. ἐν Εἰσηγήσ. Θεολογ. νέ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Πόρισμα Β'.

§. φνδ'. Τῆς δὲ κατὰ διαδοχὴν νοουμένης διαμονῆς καὶ τὸ τάχιον, ἢ βράδιον ἰέναι ἀπέοικεν, ὥσπερ εἴρηται. (§.φμδ'.) Τὸ μὲν γὰρ μοιρῶν πλειόνων τοῦ παρατεινομένου ἐμφαίνει παρέλευσιν, τὸ δ' ἐλασσόνων. ( ἐξ ὑποθ. ) Κατὰ τὸ αὐτὸ δέ, τουτέστιν ἅμα πλείονας, ἢ ἐλάσσονας ἐπενθυμεῖσθαι μοίρας τοῦ εἶναι, ἐπὶ τῆς ἐν διαδοχῇ ὑπάρξεως, ἐν ᾗ τοῦ εἶναι θάτερον μόριον μετὰ θάτερον, ( §. φμζ'. ) τῶν ἀδυνάτων ἐστίν. Ἄρα κτ.

## Θεώρημα Κϛ'.

§. φνέ. „Ἡ κατὰ τὴν αἰωνιότητα διαμονὴ τὸ μεῖζον καὶ „ἔλαττον οὐ προσίεται· αἱ δὲ κατὰ τὰ λοιπὰ εἴδη, καὶ μάλα. Ἄπειρος γὰρ ἐκείνη, ἀρχῆς ἐπέκεινα οὖσα καὶ τελευτῆς. ( §. φμέ. ) Τὸ δ' ἄπειρον ἀναύξητόν τε καὶ ἀμείωτον ὄν, ( §. τπζ'. ) πῶς ὅλως τὸ μεῖζον εἶναι προσήσεται, ἢ τὸ ἔλαττον; Ἄρα ἡ κατὰ τὴν αἰωνιότητα διαμονὴ κτ. Ο. Η. τὸ Α'.

Τῶν δὲ ἡ μὲν ἑτέροθεν πεπέρανται, ἡ δὲ καὶ ἑκατέροθεν. ( §. φμέ. ) Διὸ καὶ τῇ μὲν ἑτέροθεν αὖ τὰ τῆς μειαυξήσεως ἐπιγένοιτο, τῇ δ' ἑκατέροθεν. Ἄρα καὶ τὸ Β'.

## Σχόλιον.

§. φνς'. „Ὀρθῶς οὖν τὸ μὲν αἰώνιον ἀνελαττώτως ἔ„χειν καὶ ἀνεπιτάτως, τῷ Πρόκλῳ (1) εἴρηται. Τὸ δὲ παρ' ἔλλειψιν τελευτῆς ἀϊδιάζον, πρεσβύτερον καὶ τοῖς καθ' ἡμᾶς θεσπεσίοις Πατράσιν (2) ἐπιλέλεκται. Τῶν δὲ ὑπὸ χρόνον

---

(1) Θεολογ. Εἰσηγήσ. νβ'. (2) Βασίλ. Ἑξαημ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νον τὰ μὲν μακροχρονιώτερα, τὰ δὲ βραχυχρονιώτερα οἱ πάντες φασί.

## Θεώρημα ΚΖ'.

§. φνζ'. „ Η κατὰ τὴν αἰωνιότητα διαμονὴ τῆς μὲν „ κατὰ φύσιν διαδοχῆς πάντη πάντως ὑπερίδρυται. Εἰ δὲ „ καὶ τῆς μεταφυσικῆς λεγομένης, τοῦτο λείπεται λέγειν, ὅ- „ τι τὸ χρῆμα οὐ καταληπτόν.

Ἐκείνη μὲν γὰρ μεταβολὴν εἰσάγει, καὶ ἑτεροίωσιν ἐν τῷ διαμένοντι. (§. φμς'.) Ἄπειρος δὲ οὖσα ἡ αἰωνιότης, ὡς ἀρχῆς τε καὶ τέλους ἐκτός. (§. φμέ.) „ πᾶσα γὰρ ἀϊδιό- „ της ἀπειρία τίς ἐστιν (1). Εἴη αὖ ἐκ τοῦ ἀκολούθου ἀμετά- βλητός τε καὶ πάντη ἀνετεροίωτος. (§. τγζ'.) „ Ἰδιότης γὰρ „ αἰῶνος τὸ ἀρχαῖον καὶ ἀναλλοίωτον (2). Ἄρα τὸ Α'.

Ἄλλως. Τὸ καθ᾽ ὕπαρξιν ἀναγκαῖον αὐτὸ τοῦτο ἄτρεπτόν τε εἶναι θέλει καὶ αἰώνιον. (§. σιέ. κξ'.) ὥστε ἴδιον τῆς αἰωνιότητος, τὸ οἱασοῦν ἑτεροιώσεως κρείττονα ἀναδεικνυμένην, καὶ τῆς κατὰ φύσιν εἰρημένης διαδοχῆς τυγχάνειν ἀνεπίδεκτον. Ὃ τὸ Α'.

Ἐπεὶ δ᾽ οὐκ ἄλλως οἷόν τε διαμονῆς λαβεῖν ἔννοιαν, εἰμὴ διὰ τοῦ προτέρου καὶ τοῦ ὑστέρου. (§. φμζ'.) Εἴγε καὶ τῆς μεταφυσικῆς ταύτης λεγομένης διαδοχῆς, (§. φμς'.) ἡ κατὰ τὴν αἰωνιότητα διαμονὴ ὑπέρκειται, εὔδηλον ὅτι τὸ χρῆμα τῆς αἰωνιότητος ὑπὲρ τὴν ἡμετέραν ἐστὶ κατάληψιν. Ἄρα καὶ τὸ Β'.

## Σχόλιον.

§. φνή. Τὴν κατὰ τὸ πρότερον καὶ ὕστερον τοῦ εἶναι μεταβα-

(1) Πρόκλ. Θεολογ. Εἰσηγ. ϙδ'.
(2) Ἀρεοπαγ. Περὶ Θείων Ὀνομ. Κεφ. ί.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βασιν, Πλάτων τε αὐτός, (1) καὶ ὅσοι κατ᾽ ἐκεῖνον φιλοσο-
φεῖν εἵλοντο, τοῦ αἰωνίου ἀπεσκεδάσαντο. „ Πᾶν γὰρ τὸ αἰώ-
„ νιον ὅλον ἅμα ἐστί, φασίν. (2) Εἴτε τὴν οὐσίαν ἔχει
„ αἰώνιον, ὅλην ἅμα παροῦσαν αὐτὴν ἔχον, καὶ οὐ τὸ μὲν
„ αὐτῆς ὑποστὰν ἤδη, τὸ δὲ εἰσαῦθις ὑποστησόμενον, ὃ μή-
„ πω ἐστίν. Ἀλλ᾽ ὁπόσον εἶναι δύναται τοσοῦτον ὅλον κεκ-
„ τημένον ἀνελαττώτως, καὶ ἀνεπιτάτως. Εἴτε τὴν ἐνέργειαν
„ πρὸς τὴν οὐσίαν, καὶ ταύτην ἀθρόαν ἔχον ἐν τῷ αὐτῷ
„ μέτρῳ τῆς τελειότητος ἑστηκυῖαν, καὶ οἷον παγεῖσαν κα-
„ θ᾽ ἕνα τὸν αὐτὸν ὅρον ἀκινήτως, καὶ ἀμεταβάτως. Καὶ
„ διττή τις ἡ ἀϊδιότης (ἀϊδιότητα τὴν διαμονὴν καθόλου ἀ-
ποκαλοῦντες (3). Αἰώνιος μὲν ἄλλη, κατὰ χρόνον δὲ ἄλλη.
„ Ἡ μὲν ἑστῶσα ἀϊδιότης, ἡ δὲ γινομένη. Καὶ ἡ μὲν ἠ-
„ θροισμένον ἔχουσα τὸ εἶναι, καὶ ὁμοῦ πᾶν, ἡ δὲ ἐκχυ-
„ θεῖσα, καὶ ἐξαπλωθεῖσα κατὰ τὴν χρονικὴν παράτασιν.
„ Καὶ ἡ μὲν ὅλη καθ᾽ αὐτήν, ἡ δὲ ἐκ μερῶν, ὧν ἕκαστον
„ χωρὶς ἐστὶ κατὰ τὸ πρότερον, καὶ ὕστερον. Κατὰ γὰρ ταῦτα
καὶ τὸ ἀξιούμενον, ὡς ἐν τῷ αἰῶνι οὔτε παρελήλυθεν οὐδέν,
„ οὔτε μέλλει, ἀλλὰ μόνον ὑφέστηκεν. (4) Ἐδοκίμασαν δὲ
καὶ οἱ παρ᾽ ἡμῖν θεοφόρητοι Ἄνδρες τὸ δόγμα, καὶ ὡς ὀρ-
θὸν ἠσπάσαντο, τό,τε μέλλειν, καὶ τὸ παρῳχηκέναι, ὡς
πορρωτάτω τῆς ὑπερτάτης οὐσίας στησάμενοι, καὶ τὸ ἦν καὶ ἔ-
σται, τοῦ καθ᾽ ἡμᾶς εἶναι χρόνου τμήματα, καὶ τῆς ῥευστῆς ἀ-
ποφηνάμενοι φύσεως. (5) Τούτων ἀλλ᾽ οὖν, οὐδὲν ἧττον, τἀ-
ναντία ἐστὶν οἷς τῶν Νεωτέρων κρατιστεύειν δοκεῖ· οὐχ ὅτι γὰρ
πρὸς τὴν μεταφυσικὴν ἀκούουσαν διαδοχήν, οὐκ ἀποπέφυκε,
φασί, τὸ αἰώνιον, (§. φμς'.) ἀλλὰ καὶ οἰκειοῦσθαι αὐτὴν
διατείνονται ἐξ ἀνάγκης, εἰ μέλλοι τις καὶ αὐτὸ διαμονὴ εἶ-
ναι.

---

(1) Ἐν Τιμαίῳ.
(2) Πρόκλ. Θεολογ. Εἰσηγ. νβ'.
(3) Αὐτ. νε'.
(4) Φίλων Βιβλ. Περὶ Κόσμου.
(5) Νύσσ. εἰς ψαλμ. Κεφ. ια'. Ναζιανζ. Λόγ. λη'. Καὶ Αὐγουσ. Βιβλ. θ'. τῶν Ἐξομολογήσ. Κεφ. ι'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ναι. (1) ὧν δή τις καὶ ἰταμώτερον τῶν ἄλλων πρὸς τὴν κατὰ τὰς Πλατωνικὰς ἔννοιαν τοῦ αἰωνίου φερόμενος, μηδενὶ λόγῳ παγιουμένην κατειληφέναι φησίν (2). Οὐ γὰρ δηλονότι τὸ λεγόμενον, ὡς εἰ κατὰ διαδοχήν τινα εἶναι τεθῇ ἡ αἰωνιότης, καὶ ἀρχὴν ἕξει, συνιέναι οἷός ἐστί. πόθεν γάρ; οὐκ ἐξικνοῦμαι φησὶ τὸ ἀκόλουθον. Ἀλλ᾽ ἐξικνουμένῳ δὴ ἔοικεν ὁ Πρόκλος, εἰ μὴ κατ᾽ ὀρθὴν ἐπιφορὰν, ἐξ ἀπαγωγῆς γε μὴν τῆς εἰς ἄτοπον. „ Εἰ γὰρ αἰώνιον, ὡς καὶ τοὔνομα ἐμφαί-
„ νει, τὸ ἀεὶ ὄν. Τὸ δὲ εἶναι καὶ τὸ γίνεσθαι ἕτερον τοῦ ἀεὶ
„ ὄντος, οὐ δεῖ τὸ μὲν πρότερον εἶναι, τὸ δ᾽ ὕστερον. Γένε-
„ σις γὰρ ἔσται, καὶ οὐκ ὄν. ὅπου δὲ μήτε τὸ πρότερον καὶ τὸ
„ ὕστερον, μήτε τὸ ἦν καὶ τὸ ἔσται, ἀλλὰ τὸ εἶναι μόνον ὃ
„ ἐστὶν ὅλον, ἅμα ἐστὶν ἕκαστον, ὃ ἐστίν. (3) ὥστε ἐνέσται συμπεράναι σὺν Ἰωάννῃ τῷ Σκυθοπολίτῃ (4) „ ὡς αἰὼν
„ ἐστὶν ὅτι αἰεὶ ὤν· ὅπερ γὰρ μήτε ἦν μήτε ἔσται, ἀλλ᾽ ἔ-
„ στι μόνον, τοῦτο ἑστὼς ἔχει τὸ εἶναι. Ἀλλὰ γὰρ κἂν οὕτω δοίημεν ἔχειν, ᾗ ταῦτα λέγεται, ἐπὶ τῆς αἰωνιότητος, τὸν γε μὴν νοηματώδη λόγον, ὃν αὐτῆς ἔχομεν, μὴ πάσης ἐξῃρῆσθαι διαδοχῆς τῆς κατὰ τὸ πρότερον καὶ ὕστερον, παντὶ οἶμαι συμφανὲς τῷ ταῖς αὐτοῦ ἐπινοίαις προσέχοντι. Τὸ γὰρ ἀπέραντον ἐκεῖνο νῦν, καὶ ὅλον ἑστὼς, ὅλον τε ἅμα, ὑπὲρ νοῦν εἶναι ἡγούμεθα τὸν ἡμέτερον, ἀμήχανον ὂν ἡμῖν, μὴ ῥύσιν τινὰ καὶ ἐπ᾽ αὐτοῦ νοήσαντας, ὅπως συνεκθέει τε τῷ τοῦ χρόνου ῥῷ, καὶ ὑπὲρ τὸν χρόνον γίνεται, ὡς πρόγε τούτου, καὶ μετὰ τοῦτον, διενθυμηθῆναι. Διό μοι δοκεῖ καὶ ὁ πολὺς τὴν θύραθεν οὐδὲν ἧττον, ἢ τὴν ἔσω σοφίαν, ( τὸν ἐκ Ναζιανζοῦ λέγω ) Γρηγόριος „ τὸν αἰῶνα μήτε χρόνον, μήτε
„ χρόνου τι μέρος, οὐδὲ γὰρ μετρητὸν, ἀποφηνάμενος, οὐκ ἔχειν, ἥπερ ἡμῖν νοητὸς καθίσταται, τὸν ἀτρεμῆ τε καὶ πάγιον καθ᾽ ἑαυτὸν αἰῶνα ἔξω οἱασοῦν διαστατικῆς θέσθαι κινήσεως, ἀλλὰ τῷ χρόνῳ οἷον συμπαρεικάσας, ὡς ἂν ἡμῖν τοῖς ὑπὸ δι

(1) Γενουΐνσ. Μεταφ. Βιβλ. ά. Προτ. ϟή.
(2) Αὐτ. Αὐτ. ἐν τῷ Σχολίῳ.
(3) Πρόκλ. Θεολογ. Εἰσηγήσ. νβ'.
(4) Περὶ Θείων Ὀνομάτ. Κεφ. Ε'.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δὶ ἀσθένειαν πεφυκόσι νοεῖν, δῆλος ὅπωσοῦν γένηται, αὐτῷ τούτῳ καὶ συνεκίνησε, προθεὶς „ ὡς ὅπερ ἡμῖν ὁ χρό-
„ νος ἡλίου φορᾷ μετρούμενος, τοῦτο τοῖς ἀϊδίοις αἰὼν, τὸ
„ συμπαρεκτεινόμενον τοῖς οὖσιν, οἷόν τι χρονικὸν κίνημα καὶ
„ διάστημα. (1)

## Πόρισμα.

§. φνθ'. Ἀμεταβάτως καὶ διαδοχῆς παντοίας ἐκτὸς ληφθείσης τῆς αἰωνιότητος, ἡ διαμονὴ οὐχ ὡς γένος εἰς εἴδη, τὴν διαίρεσιν ἕξει τὰ ἀνωτέρω. (§. φμέ.) Ἀλλ' ὁμωνύμως κατ' ἐκείνων ῥηθήσεται, τοῦ αὐτοῦ λόγου μὴ σωζομένου. Ἔνθεν τοι καὶ διαμονὴ μὲν ἔσται μάλιστά τε καὶ κυριώτατα, ἡ ἅμα πᾶσα τοῦ εἶναι σύλληψις, αἱ δὲ τῶν δημιουργημάτων ἐν ἀστάτῳ ῥοῇ σαλευοῦσαι τῶν ὑπάρξεων παρατάσεις καταχρηστικώτερον διαμοναὶ λέγοιντο ἄν. Ταύτητοι καὶ τὸ μὲν κατ' ἐκείνην διαμένον, κυρίως ὄν, τὰ δὲ κατὰ ταύτας, κατὰ λόγον ὑφειμένον, καὶ οὐ συνωνύμως ἐκείνῳ, τῆς ὀντότητος ἐν μετουσίᾳ τυγχάνειν, ἀλλαχοῦ (§. ρνζ'.) ἡμῖν εἴρηται.

## Θεώρημα ΚΗ'.

§. φξ'. „ Τῶν διαμενόντων οὐκ ἔστιν ἐκ διαλειμμάτων τὰ
„ τῆς διαμονῆς.

Εἰ γὰρ κατὰ τὸ συνεχὲς αὐτοῖς παρατείνει τὸ εἶναι (§. φμδ'.) φανερὸν ὅτι καὶ ἀδιαλείπτως.

Ἄλλως. Κείσθω ἡ διαμονὴ ἔνθα μὲν λήγει α, ὅθεν δ' αὖ ἀρχὴν λαμβάνει β, ὥστε τὸ μεταξὺ α καὶ β ἐγχωρεῖν διάλειμμα. Ἤτοι γοῦν κατὰ τὸ διάλειμμα τόδε, ἐξάπη εἰς τὸ μὴ εἶναι ἁπλῶς τὸ διαμένον, ἢ ἔτι περίεστιν. Ἀλλ' εἰ μὲν ἐκεῖνο οὐδ' ἔσται ὅλως τὸ διαμένον, οὐθ' ὑπέστη οὔπω
τὴν

(1) Ναζιανζ. Λόγ. λη'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὴν διάλειψιν ἡ τούτου διαμονὴ, τῷ δὲ τοῦ εἶναι ἐκπεσόντι συνδιεξέλιπεν. Εἰ δὲ τοῦτο, ἤτοι πάντως ἐκείνου παρελθόντος πράγματι, ἡ διαμονὴ ἀπεγένετο, ἢ οὐχί. Τὸ δὲ Α'. ἀδύνατον ( §. φμθ'. ) τὸ Β'. ἄρα. Ἐπεὶ δὲ ταύτῃ καὶ ἀπὸ τοῦ α ἕως τοῦ β τὰ τῆς διαμονῆς σώζεται, οὐκ ἄρα διακέκοπται. Ἄρα Ο. Ε. Δ.

## Θεώρημα ΚΘ'.

§. φξα'. „ Δυνατός ἐστι χρόνος κενὸς ἐκ διαλείμματος „ τῶν ἐν χρόνῳ παρυφισαμένων.

Δυνατὸν γὰρ τὸ ἐν χρόνῳ, εἰς τὸ μὴ ὂν ἐξαπιὸν, ἀρχὴν εἰσαῦθις λήψεσθαι ὑποστάσεως, ( §. φμε'. ) ἤτοι αὐτὸ, ἢ ἐξ ὑπαρχῆς ἕτερον. οὕτω δὲ, ὡς μὴ κατὰ τὸ συνεχὲς παρ' αὐτὸ τῆς ἐξουδενώσεως, προσυφίστασθαι τῷ παυομένῳ τοῦ εἶναι, τὸ μεταλαγχάνον, διαλείπειν δὲ, ὅσον ἂν ἀποχρήσειεν, εἰς τὴν ἄλλου του, μεταξὺ, εἴγε παραχθείη ( καίτοι μὴ παραγομένου ) διάρκειαν. Τὸ τοίνυν τῆς μεταξὺ τοῦ ὑφεστῶτος μὲν, ἀπολήξαντος δὲ, καὶ τοῦ ὑποστησομένου μὲν, οὔπω δὲ, οὕτως εἰπεῖν ἀνυποστασίας διάλειμμα, ὅτι μὲν παράτασίς τις ἐστὶ, καὶ διάρκεια, ἀρχήν τε καὶ τέλος ἔχουσα, χρόνος ἂν εἰκότως ῥηθείη ( §. φμε'. ) ὅτι δὲ τοῦ μηδενὸς, χρόνος κενός. Ἄρα κτ.

## Σχόλιον.

§. φξβ'. Θαυμαζέτω δῆτα μηδεὶς, καὶ χρόνον κενὸν ἡμῶν ἀκούων εἰσηγουμένων, τὸν παρ' οὐδενὶ τυχὸν ἄλλῳ, οὔτε τῶν πρὶν, οὔτε τῶν ὕστερον, ἀκουόμενον. Οὐδ' ὡς καινοτόμοις ἡμῖν, καὶ ὥσπερ δὴ κενοτόποις, οὔπω τοι καὶ κενοχρόνους τινὰς ἐν τῷ φιλοσοφεῖν ὡς δυνατοὺς παρεισάγουσιν ἐπιμεμφέσθω. Εἰ γὰρ ἀκριβεῖ νοῦ πλάστιγγι ταλαντεύσαι τις ἐθελήσειε τὰ λεγόμενα, συνεπινεύσει τάχα ἡμῖν, ὡς οὐδὲν ἀδύνατον ὑποτιθεμένοις, καὶ τῆς οὐκ ἀλόγου συμπροστήσεται δοξασίας. Τί γὰρ ἐστὶν ὃ φαμέν; Εἰ τόδε τὸ πᾶν εἰς τὸ μὴ ὂν ἐν

ὑπο-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὑποθέσει οὐκ ἀσυστάτῳ (§. σγ΄. σκγ΄. σξγ΄. σξδ΄. σξέ. υϟς΄. υϟζ΄. υϟή. υϟθ΄.) ξαπείη, ( καὶ δέος οὐδὲν τοῖς ὑποτιθεμένοις, μὴ τοί γε σκιαὶ ἀΐξωσι, περὶ δυνατοῦ γὰρ ὁ λόγος ) μηδὲν δ' ἐκ τοῦ συνεχοῦς τὸ παραυτίκα, ἀντεισενεχθείη ἕτερον σύνταγμα. Διαρκούντων δὲ μεταξὺ τῶν αὔλων ἀϊδίων εἰδῶν, μετὰ πάροδον ὁποσηνοῦν τῆς τούτων αὐτῶν διαρκείας, κόσμος ἕτερος, παρὰ τοῦ δοῦναι δυναμένου, τύχοι ὑπάρξεως, ( ἢ ταῦτα τῆς ὑγιοῦς ἀπᾴδοντα ἐροῦσι Φιλοσοφίας, ἀλλ' οὕτως αὖ τοῖς ἐν χρόνῳ τὸ ἀναγκαῖον καθ' ὕπαρξιν πρυτανεύσειεν, αἰώνια ἀντὶ ἐγχρόνων αὐτὰ ἀναδείξαντες. (§. σβ΄.) Τὸ κατὰ τὴν ὑπόθεσιν μεταξὺ τῆς τοῦ Α΄. καὶ τοῦ Β΄. Κόσμου ὑποστάσεως διάλειμμα χρόνος πάντως τις κενὸς, τὸ μὲν διὰ τὴν ἀρχὴν καὶ τὸ τέλος, καὶ τὴν ἐν τούτοις παράτασιν τοῦ διαλείμματος, τὸ δὲ παρὰ τὴν ἀπουσίαν τοῦ ἐν χρόνῳ, καὶ πάνυ εἰκότι λόγῳ νοοῖτ' ἂν καὶ λέγοιτο. Καὶ δύω ἄρα ταῦτα ἡμῖν ὑποκείσθω πολὺ τὸ ἐμφερὲς ἔχοντα, τόπος τε καὶ χρόνος· ἄμφω τε ἐπὶ τὸ γένος τοῦ συνεχοῦς ποσοῦ ( εἰ καὶ τὸ μὲν κατὰ διαμονὴν, τὸ δὲ κατὰ διαδοχὴν ) ἀναγόμενα, καὶ τοῦ μὲν μᾶλλον καὶ ἧττον οὐχὶ, τοῦ δὲ μεῖζόν τε καὶ ἔλαττον δεκτικὰ, καὶ ἤτοι πλήρη ὄντα, ἢ κενὰ πάντῃ νοούμενα. ἑκάτερά τε τοῖς οὖσιν ( ὅπως ποτ' ἂν ἔχῃ ) παρυφιστάμενα. Καὶ εἰ μὲν πλήρη ᾖ ταυτιζόμενα τοῖς ἐπέχουσι σώμασι, καὶ ἑνιζόμενα, εἰδ' οὖν κενὰ, τούτοις αὐτοῖς περατούμενά τε καὶ διοριζόμενα. Καὶ ὁ μὲν πλήρης τόπος λεγέσθω ἔκτασις, ὁ δὲ κενὸς διάστημα. Ἐξ ἴσου τε ὁ μὲν πλήρης χρόνος παράτασις καλείσθω, ὁ δὲ κενὸς διάλειμμα. Τί γὰρ τὸ ἐν τόπῳ εἶναι, ἀλλ' ἥπερ ἡ ἔκτασις τῆς ἐνύλου οὐσίας, καθ' ἣν διάστημά τι ἴσον ἐπέχουσα, ἐκτὸς τοῦ μηδαμοῦ εἶναι νοεῖται καὶ λέγεται; ᾗ γὰρ κεῖταί που, τὸ ἐκτεταμένον ἐστὶν ἐν τόπῳ. Τί δὲ τὸ ἐν χρόνῳ; ἀλλ' ἡ παράτασις τῆς ῥεούσης φύσεως, καθ' ἣν διάλειμμά τι ἴσον πληροῦσα, ἔξω τοῦ μηδέποτε εἶναι νοεῖται καὶ λέγεται; ᾗ γὰρ ἐστί ποτε τὸ οὕτω διαμένον, ἐστὶν ἐν χρόνῳ. Ἀλλ' ὥσπερ δὴ τὸ ποῦ χωριστὸν νοεῖται τοῦ ὧδε ἐκτεταμένου, καθ' ὅτι γε καὶ τούτου μεθισταμένου διὰ κινήσεως, κατὰ τὸ αὐτὸ ποῦ, τὴν ἔκτασιν ἔχειν δυνήσεται τὴν αὐτοῦ, ἄλλο τι τῶν σωματικῶν, οὕτω τοι τὸ ποτὲ χωριστὸν καὶ αὐτὸ νοεῖται τοῦ

ἤδη

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἤδη ὑπάρχοντος, καθ᾽ ὅτι γε καὶ τούτου παρῃρημένου τὸ εἶναι, κατὰ τὸ αὐτὸ ποτὲ τὴν ἰδίαν παράτασιν ἔχειν δυνήσεται, ἕτερόν τι τῶν χρονικῶν. Μηδὲν ἔνυλον ἔσω, οὐδὲ τόπος ἔσται. Παρήχθω δὴ τῶν ἐκτεταμένων καὶ ἅμα ἐφέξει τόπον. Ἐν ἀδιαιρέτῳ τὶ ἐχέτω τὸ εἶναι, οἷον σημεῖον, καὶ ἐν τόπῳ οὐκ ἔσται. οὐ γὰρ τὸ ἀδιάστατον οὐδὲ τόπον, οὐδὲ τόπου τι μέρος καθέξει. Προεκτεινέσθωσαν εἰ δυνατὸν τινὸς αἱ διαστάσεις, ἢ γοῦν συστελλέσθωσαν, τῇ μὲν κατὰ τὸ μεῖζον χωρεῖσαι, τῇ δὲ κατ᾽ ἔλαττον, ἔσται δὴ μείζων, ἢ ἐλάσσων, καὶ ὁ κατ᾽ αὐτὸ, ὃν ἐπέχει τόπος. Ἐκ παραλλήλου μηδὲν ὑπαρχέτω, καὶ οὐδὲ χρόνος ἔσται. Ἀρξάσθω τὶ τοῦ εἶναι, καὶ ἅμα ἄρξεται καὶ ὁ κατ᾽ αὐτὸ χρόνος. Ἐν ἀκαρεῖ παραχθὲν, εἰς τὸ μὴ ὂν τρεπέσθω, οὐκ ἔχει χρόνον. Τὸ γὰρ νῦν οὐδὲ χρόνος, οὐδὲ χρόνου τι μέρος. Παρατεινέσθω ἐπὶ ποσὸν, ἢ μειούσθω, ἡ τούτου ὕπαρξις, τῇ μὲν κατὰ τὸ μεῖζον, τῇ δὲ κατ᾽ ἔλαττον, καὶ πολὺς ἔσται, ἢ βραχὺς ὁ χρόνος. Ἀλλ᾽ ἐκκείσθω διῃρημένα ἀλλήλων σώματα, καὶ χωρὶς κείμενα, μηδέν τε τούτοις μεταξὺ παρεγχωρείτω σῶμα ἕτερον. Τὰ μὲν ἐπεχόμενα ἐκείνοις διαστήματα πλήρη, τὸ δὲ μεταξὺ, καὶ μὴ, κενόν· ἢ, ὅπερ εἰς ταυτὸ φέρει, τὰ μὲν τόποι εἰσὶν ἐνεργείᾳ, οἱ δὲ τόποι δυνάμει. Ὡσαύτως δέ τι ὑπαρχέτω ἐκ διαλειμμάτων, ἐναλλὰξ τοῦ εἶναι τυγχάνον τε καὶ στερούμενον, καὶ τὸ μεταξὺ τῆς τε Α'., καὶ τῆς Β'. τούτου ὑπάρξεως, μηδέν. Οἱ μὲν καθ᾽ οὓς αὖ ὑπάρχοι, χρόνοι ἔσονται πλήρεις, οἱ δὲ καθ᾽ οὓς αὖ ἀνύπαρκτοι ἢ κενοί· ἢ γοῦν, ὃ εἰς ταυτὸ τείνει, οἱ μὲν χρόνοι ἐνεργείᾳ, οἱ δὲ δυνάμει. Τὸ τοίνυν παράλληλον ἐν ἀμφοῖν ταῖς ὑποθέσεσιν οὕτως ἀκριβῶς διασώζεται. Πλὴν ὅσον δύω μὲν ὁμοῦ κατὰ τὸ αὐτὸ ἐντοπίζεσθαι οὐ πεφύκασι, διὰ τὸ τῆς ὕλης ἀδιαχώρητον, δύω δὲ, καὶ πολλὰ ἅμα κατὰ τὸν αὐτὸν χρόνον παρεῖναι, οὐδὲν κωλύει. Ἐκεῖνο δὲ τοῖς εἰρημένοις δοκεῖ προσίστασθαι, ὅτι χρόνον τινὰ αὖθι τοῦ ἐν χρόνῳ ὄντος, οὕτως εἰσάγειν ἐοίκαμεν, οἱ ἀνωτέρω τὴν διαμονὴν μηδὲν πράγματι τοῦ διαμένοντος διακεκρινόμενον ἀποδεῖξαι φθάσαντες. (§. φμθ'.) Καὶ πρὸς δὴ τούτῳ, ὅτι τῆς διαμονῆς τὰ διαλείμματα ἀπελάσαντες ὡς μηδὲν προσήκοντα, (§. φξ'.) ταῦτα ἐπὶ τῆς αὐτῆς εἰσάγοντες αὖθις λανθά-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θυνόμην. Ἀλλὰ γὰρ ὡς αὐτίξουν οὐδὲν, οὐδ᾽ ἀντιπίπτον εἰσηγούμεθα, συνιδεῖν ἐπιστήσασι ῥᾴδιον. Πρὸς μὲν γὰρ τὸ α΄. φαμὲν, τὴν θετικήν τε καὶ πλήρη διαμονὴν, ἀδιάσπαστον εἶναι τοῦ διαμένοντος, ( §. φμθ΄. ) καὶ τὸν πλήρη δὲ χρόνον τοῦ ἐν χρόνῳ, οὐμὴν δὲ καὶ τὴν κενὴν διαμονὴν, καὶ κατὰ διάλειμμα, ἣν καὶ αὐτοῦ τοῦ ἐν χρόνῳ διαμένοντος, οὐκ ἀλόγοις ὑποπίπτειν ἐπινοίαις ἐνταῦθα ( §. φξα΄. ) διατεινόμεθα· ὃ καὶ ἐπὶ τῆς ἐκτάσεως οὐδὲν ἧττον ἐπαληθεύει, καὶ τῆς ψιλῆς διαστάσεως, ὧν ἡ μὲν τοῦ σώματος ἀδιάζευκτος ἐστὶν, ἡ δὲ καὶ μάλα. Πρὸς δὲ τὸ β΄. ἀπαντήσομεν, ὅτι παρόντος τοῦ διαμένοντος, τὰ τῆς διαμονῆς ἐστὶν ἀδιάλειπτα, ἐκείνῳ δὲ διαλείποντι, καὶ ταύτην συνδιαλείπειν δικαιότατον ( §. φξ΄. ) Αὐτὸ γὰρ τοῦτο καὶ ταῖς ἐκτεταμέναις τῶν οὐσιῶν παρασυμβαῖνον ἔπεσιν ἰδεῖν, αἷς συνεχιζομέναις μὲν, καὶ τὰ τῆς ἐκτάσεως συνεχῆ, διεστηκυίαις δὲ ἀπ᾽ ἀλλήλων, συνδιακέκοπταί πως καὶ αὐτὴ, καὶ συνδιέστηκεν, οἷον διαχεινοῦσα. Ταύτῃ τοι καὶ τῇ ἐκτάσει τῆς παρατάσεως τὰ ἶσα παρεχούσης, τῇ μὲν τὰ διαστήματα, ταυτὸν εἰπεῖν τοὺς κενοὺς τόπους, τῇ δὲ τὰ διαλείμματα, ἤτοι τοὺς κενοὺς χρόνους, συμπαρυφίσασθαι οὐδὲν ἀδύνατον, ἀλλὰ καὶ πάνυ εὔλογον.

## Θεώρημα Λ΄.

§. φξγ΄. „ Οὔθ᾽ ἡ αἰωνιότης μεριστόν τι ἐστὶν, οὔθ᾽ ἡ ἀΐ-
„ διότης.

Ἡ μὲν γὰρ ἀρχῆς καὶ τέλους ἐστὶν ἐπέκεινα, ἡ δὲ τέλους. ( §. φμε΄. ) Διὸ ἡ μὲν ἑκατέρωθεν, ἡ δὲ ἑτέρωθεν περάτων ὑπερεκπίπτουσα. Τὸ δὲ μεριστὸν ὡρισμένον· ἶσον γὰρ τῷ μέτρῳ πλεονάκις, δεῆσαν, ἐφαρμοσθέντι. Τό, τε μέτρον ἐξ ἀνάγκης ὥρισται. ( §. φμη΄. ) Ἄρα οὔθ᾽ ἡ αἰωνιότης, καὶ τ.

## Σχόλιον.

§. φξδ΄. Οὐδὲν ἄλλο καὶ τῷ μεγάλῳ Γρηγορίῳ εἴρηται.
„ (1)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ (1) τὸν αἰῶνα μήτε χρόνον, μήτε χρόνε τι μέρος, ὡς
„ ἐδὲ μεξητὸν φιλοσοφήσαντι.

## Θεώρημα ΛΑ'.

§. φξέ. „ Μεξητὸν ὁ χρόνος.

Χρόνος γὰρ ἡ κατὰ τὸ συνεχὲς παράτασις τῆς ὑπάρξεως ( §. φμδ'. ) ἡ ἀρχήν τε καὶ τέλος ἔχεσα. ( §. φμέ. ) Καὶ ποσε τοίνυν εἶδος ὁ χρόνος τυγχάνων ἀνωμολόγηται. (2) Τὸ δὲ ποσὸν πεπερασμένον. Τὸ δὲ πεπερασμένον μεξητὸν, ἅτε δὴ ἐλάσσονι ὡρισμένῳ ὄντι ποσῷ, ὅσον ἐςὶν, ὁριζόμενον. Μέξον γὰρ τὸ ὡρισμένον ὂν, καὶ ὁρίζον. ( §. φμή. ) Ἄρα κτ.

## Θεώρημα ΛΒ'.

§. φξς'. „ Μέξον χρόνε εἰδικῶς μὲν ἐςὶν ὁ χρόνος,
„ ὑλικῶς δὲ, ἡ πλειόνων τινῶν μεταπιπτόντων εἰς ἄλληλα,
„ ἀλλεπάλληλος διαδοχή.

Εἰδικὸν μέξον ἐςὶν ( ἐξ ὑποθ. ) τὸ ὁμοειδὲς ὂν τῷ μεξητῷ. Ὅτι καὶ λόγος τις ἐςὶ μεταξὺ τέτων ὁ κατὰ πηλικότητα, ἣν σὺν Εὐκλείδῃ ὁριζόμεθα τὴν ὁμογενῶν, τετέςι τὴν ὁμοφυῶν τινα σχέσιν. Μέξον δὲ παρατάσεως παράτασις ἐςὶ τῆς ἀορίςε ἡ ἄλλοθεν ὡρισμένη, τῆς μείζονος ἢ ἐλάσσων. ( §. φμή. ) Ἡ δὲ παράτασις ἥτε ὡρισμένη, καὶ ἡ διορίζομένη ( §. φμή. ) ἑκατέρα χρόνος. Μέξον ἄρα εἰδικῶς ἐςὶ χρόνε χρόνος. Ο. Η. τὸ Α'.

Ὑλικῶς δὲ μέξον χρόνε, τὸ τὸν μεξεντα χρόνον, ὡρισμένον τε καὶ δῆλον ἡμῖν καθιςῶν. Τῦτο δὲ ἐδὲν ἀλλ' ἢ ἡ πλειόνων τινῶν εἰς ἄλληλα μεταπιπτόντων, ἀλλεπάλληλος ἂν εἴη διαδοχή. Ἄρα ὃ τὸ Β'.

Πο-

(1) Ναζιανζ. Λογ. λή.
(2) Ἀριςο. Περὶ Κατηγ. Ποσ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Πόρισμα.

§. φξζ΄. Οἱ τοίνυν τὸ τοῦ χρόνου μέτρον, τοῦ χρόνου αὐτοῦ, ἢ χρόνος ἀντιδιαστέλλοντες, τὸ ὑλικῶς ὑπάρχον εἰς μέτρον νοεῖν ἐοίκασιν.

## Σχόλιον.

§. φξη΄. Τὸν σχετικόν τε καὶ φαινόμενον, καὶ κοινῇ λεγόμενον χρόνον (§. φμδ΄.) αὐτὸ εἶναι τὸ ὑλικῶς ἡμῖν εἰρημένον μέτρον τοῦ χρόνου, ὁ Ὀλλανδὸς Μουσχεμβροέκιος (1) ἐγνωμάτευσεν. Εἶναι γὰρ ἐκεῖνον ὡρίσατο τὸ αἰσθήσει ληπτὸν, καὶ ἐξωτερικὸν, ὁποῖον δήποτε τῆς διαμονῆς διὰ κινήσεως μέτρον. Εἶναι δὲ μέτρον καταχρηστικώτατα λεγόμενον τὸ τοιοῦτο, ἅτε δὴ καὶ τῆς διαμονῆς αὐτῆς διαφορώτατον. Τοῦτο γοῦν τῶν ὁμολογουμένων εἶναι δοκεῖ, ἀεὶ τὸ μέτρον τῆς αὐτῆς εἶναι δεῖν τῷ καταμετρουμένῳ, κατὰ τὸ ποσὸν, φύσεως· ἢ καὶ γελοῖον ἂν εἴη, ἤτοι τὸ συνεχὲς ὡρισμένῳ καταμετρεῖν πειρᾶσθαι, ἢ καὶ ἀνάπαλιν· ἢ καὶ βάρους μέγεθος εἰς μέτρον ταχύτητος λαβεῖν τῆς κατὰ κίνησιν, ἢ τοὐναντίον. Ὅμοιον γὰρ εἰ καὶ ὁράσει τὰ τῶν ἤχων ἐκρίνετο, καὶ ἀκοῇ τὰ χρώματα, καὶ τὰ ἑτεροειδῆ εἰς ἐπίγνωσιν τῶν ἑτεροειδῶν παρεβάλλετο· ὡς μὲν γὰρ ἀνήνυτος ἡ ἐγχείρησις, φανερὸν, ὅτι οὐδὲ τὰ πάνυ ἐγγὺς γινόμενα, εἰς τὸν ἀλλήλων κατὰ μέτρον διορισμὸν ἐξήρκεσεν, εἰ μὴ κατ' εἶδος συμφωνοίη αὐτὸ ἐκεῖνο, οὗ μάλιστα ζητεῖται ἡ καταμέτρησις. Ἐπεὶ οὐδὲ γραμμαῖς ἁπλῶς ἐπιφάνειαι, οὐδ' ἐπιφανείαις τὰ στερεὰ φύσιν ἔχει καταμετρεῖσθαι, οὐδ' ἀνάπαλιν, καίτοι κοινὸν ἐν τούτοις τό,τε συνεχὲς, καὶ τὸ κατὰ διαμονὴν τοῦ ποσοῦ. Ὅ,τι ἂν ἄρα εἰς μέτρον χρόνου ὑποτεθῇ, κἂν ἐνθυμήσεών τινων πρόοδοι, καὶ ἐννοιῶν, κἂν μεταβολαί τινες ἄλλαι τῶν φυσικωτέρων, κἂν

φό-

(1) Φυσικ. §. 97.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ψόφοι ἐκ διαδοχῆς ἠχοῦντες, κἂν κίνησις ἡ τοπικὴ τὸ κοινότατον, ἀεὶ τῷ λόγῳ τῆς παρατάσεως θεωρουμένων τῶν ἀπηριθμημένων ἕκαστον, καταμετρεῖν οἷόν ἐστιν ἄλλην παράτασιν, καὶ τῇ ἐπ' αὐτῷ διαμονῇ τὴν ἐν ἄλλῳ γνωρίζειν, καὶ οὐδὲν καθ' αὑτὸ θεωρούμενον. Δῆλον δὲ ὅτι τοῖς ἀκριβοῦσι τῶν τοιούτων τὰς φύσεις, οἵπερ ὅλοι τοῦ πράγματος τῇ προσοχῇ τῶν λογισμῶν γεγονότες, οὐδὲ χρόνου ᾔσθοντο παρελάσαντος, ὥσπερ εἴρηται. (§. φμζ'.) Παραπλησίως τοῖς ἐν „ Σαρδοῖ μυθολογουμένοις καθεύδειν παρὰ τοῖς ἥρωσιν, ὡς „ Ἀριστοτέλης φησὶν (1), οἳ ὅταν ἐγερθῶσι συνάπτουσι τὸ „ πρότερον νῦν τῷ ὕστερον νῦν, καὶ ἓν ποιοῦσιν, ἐξαιροῦντες „ διὰ τὴν ἀναισθησίαν τὸ μεταξύ. Εἰ δὲ ποτ' ἐξ αὐτῶν τινος ἐκεῖνοι τὴν διαμονὴν ἔγνωσαν, οὐχ ᾗ αὐτά, δι' αὐτῶν δέ, ἢ ταῖς κατ' αὐτὰ συμβαινούσαις μεταβολαῖς, παράτασίν τινα ἐννοεῖν παρεχόμενα, εἰς γνῶσιν ἧκον ἴσης ἄλλης, ἢ ἀνίσου τινὸς παρατάσεως. Ὥστε εἶναι μὲν καὶ οὕτω τοῦ χρόνου χρόνον ἄλλον, εἰδικῶς τε καὶ κυρίως εἰπεῖν τὸ μέτρον, εἶναι δὲ τὴν κίνησιν, ἢ τὴν ἄλλην μεταβολήν, ὑλικῶς τε καὶ καταχρηστικῶς. Οὕτω γὰρ κἂν τοῖς Γεωμετρικοῖς, ποδιαίαις τισίν, ἢ πηχυαίαις ἐκτάσεσιν, ὡς μέτροις τῶν μειζόνων ἐκτάσεων χρῆσθαι οἰόμεθα, τὴν ὕλην ἐφ' ἧς ἐκεῖναι, οἷον τὸ ἀνθρώπου μέλος, ἢ τὸ ξύλον εἰ τύχοι, ἢ τὸν σίδηρον, ἐν οὐδενὶ λόγῳ τιθέμενοι.

## Θεώρημα ΛΓ'.

§. φξθ'. „ Εἰ καὶ μὴ μόνη, ἢ γε μὴν αἰσθητή, καὶ μὴ „ ἀνωμάλως χωροῦσα κίνησις, εἰς ὑλικὸν χρόνου μέτρον, „ ὡς προσφυῶς ἔχουσα κοινῇ δεδοκίμασται.

Ὑλικῶς γὰρ χρόνου μέτρον ἐτέθη, ὁποιαδήποτε ἀλλεπάλληλος πλειόνων μεταβαλλόντων διαδοχή, ἡ τὸν μετροῦντα χρόνον ὡρισμένον τε καὶ δῆλον ἡμῖν καθιστῶσα. (§. φξς'. φξζ'.)

(1) Ἀρισ. Φυσ. Ἀκρ. βιβλ. Δ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φξζ΄.) Πλεῖσαι δὲ ἐπὶ τῶν ὄντων αἱ κατὰ διαδοχὴν μεταβολαὶ, καὶ ἑτεροιώσεις εἰς τοῦτο συντελοῦσιν. Οὐκ ἄρα μόνη, ὃ τὸ Α΄.

Προσφυεστέρα δ' ἂν εἴη ὥς γε εἰκὸς ἐπὶ τούτῳ ἡ μεταβολὴ, ἡ προδηλότερον καθιστῶσα τὸν μετροῦντα χρόνον. Τοιαύτη δὲ ἡ αἰσθητὴ, καὶ τοῖς πᾶσι καταδηλος, καὶ ὁμαλὴ προβαίνουσα κίνησις. Ἄρα κτ. Ο. Η. τὸ Β΄.

## Σχόλιον.

§. φό. Καὶ διὰ τούτων αὖθις σμικρῶς φασὶ κεκινήκαμεν. Οὕτω πολλοί εἰσι καὶ τῶν πάλαι καὶ τῶν ὕστερον οἱ περιβομβοῦντες ἡμᾶς, καὶ τἀναντία ὧν ἐθέμεθα κράζοντες. Πλάτων μὲν γὰρ, χρόνου οὐσίαν τὴν τοῦ οὐρανοῦ βούλεται κίνησιν. Οἵ τε πλείους τῶν Στωϊκῶν, καὶ Ἀναξιμένης, αὐτὴν τὴν κίνησιν, Ἐρατοσθένης δὲ τὴν ἡλίου πορείαν. Τοιοῦτο δέ τι ὑπαινιττομένῳ ἐῴκει καὶ Πυθαγόρας, τὴν τοῦ παντὸς σφαῖραν, ἢ περιδινουμένην δηλονότι, χρόνον τιθέμενος. (1) Ἀλλ' ὅσον τοῦ ἀληθοῦς ἐστὶν ἀπᾷδον, χρόνον εἶναι λέγειν τὴν κίνησιν, κἂν ἐκ τούτου δῆλον εἴη, ὅτι τῇ μὲν κινήσει τὸ τάχιόν τε καὶ βράδιον ἐφέπεται, τῷ δὲ χρόνῳ οὐχί. ( §. φμδ΄. φνδ΄. ) Καὶ ὅτι κινήσεις ἴσαι ἐν ἀνίσοις χρόνοις ἐκπεραίνονται. Καὶ ἀνάπαλιν ἄνισοι ἐν ἴσοις. Καὶ ὅτι καὶ τῶν ἀκινητούντων χρόνος ἐστὶν, οὐδὲν ἧττον, ἢ τῶν κινουμένων, μὴ ἐξὸν ἄνευ χρόνου τὰ ἐν χρόνῳ ὑφεστάναι. ( §. φμθ΄. φν΄. ) Καὶ δικαίρως δή τις τῶν ἱερῶν (2) τοῦ περαστείου ἐμνήσθη, καὶ ἔστη „ μὲν ὁ ἥλιος, ἔφη, ὁ δὲ χρόνος ἐχώρει, ἕτερόν τι τὸν χρόνον εἶναι ἐπιφέρων παρὰ τὴν κίνησιν. Διὸ καὶ Ἀριστοτέλης (3) ὀρθῶς τὴν μὲν κίνησιν οὐδαμῶς „ εἶναι δέ τι κινή„ σεως τὸν χρόνον ἀπέδωκεν. Ἐν οἷς καὶ τὸν νοῦν αὐτὸς τὸν αὐτοῦ

(1) Παρὰ Πλουτάρχ. Ἀρεσκ. Βιβλ. Α΄. Κεφ. κά. καὶ κβ΄.
(2) Αὐγουσ. Ἐξομολογ. Ἀριθμ. λ΄. καὶ λά.
(3) Ἀρισ. Φυσικ. Δ΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτοῦ λευκότερον προβαλλόμενος,, ἀριθμὸν εἶναι τοῦτον καὶ μέ-
,, τρον κινήσεως εἴρηκε κατὰ τὸ πρότερον, καὶ τὸ ὕστερον. Ἀ-
φεκτέον γέμειν ἐνταῦθα, τοῦ τὸν ἀριθμὸν ἐνεργητικῶς ἐκ-
δέξασθαι, ὃ καὶ αὐτὸς παρῄνεσε, προσθεὶς ὡς ,, ὁ χρόνος ἐστὶ
,, τὸ ἀριθμούμενον, οὐχ ᾧ ἀριθμοῦμεν. Τοῦτο γάρ ἐστι τὴν
μὲν κίνησιν εἶναι τὸν ἀριθμὸν τὸν ἀριθμοῦντα τὸν χρόνον,
καὶ τὸ μέτρον ᾧ αὐτὸν εἰώθαμεν καταμετρεῖν, τὸν δὲ χρόνον
τὸν ἀριθμὸν εἶναι τὸν ἀριθμητὸν, καὶ αὐτὸ τὸ μετρούμενον
διὰ τῆς κινήσεως. (1) Τῷ ὄντι δὲ εἰ τὸ μέτρον προδηλότε-
ρον ἀεὶ εἶναι ἐθέλει τοῦ μετρουμένου, προδηλοτέρα δὲ τῆς τῶν
πραγμάτων διαμονῆς, ἡ κίνησις, ἅτε δὴ καὶ αἰσθήσει λη-
πτὴ, πῶς οὐκ εἰκὸς τὴν κίνησιν τοῦ χρόνου ἀποφαίνεσθαι μέ-
τρον, ἢ τὸν χρόνον τῆς κινήσεως; Ἐκεῖνο γοῦν, καί τις τῶν
καθ' ἡμᾶς ἔθετο, ἀνὴρ οὐδὲν ἧττον τοῦ Ἀριστοτέλους τὴν τῶν
ὄντων φύσιν ἠκριβωκώς. (2) Ὅς ,, μέτρον ἐστὶ, φησὶν, ὡ-
,, ρῶν, ἡμερῶν καὶ παντὸς τοῦ καθ' ἡμᾶς χρόνου τὸ φῶς.
( δῆλον δὲ ὅτι κινούμενον. ) Καὶ τὰ ἐντεῦθεν θειότερα μὲν
καὶ μᾶλλον ἀπόρρητα, ἀλλὰ τῷ περὶ χρόνου δόγματι ἐκ τοῦ
ἀκολούθου, φῶς ἐπιχέοντα. ,, Αὐτὸ γάρ ἐστι, φησὶ, τὸ φῶς
,, εἰ καὶ τότε ἀσχημάτιστον ἦν, ὅπερ ὁ θεῖος ἔφη Μωσῆς καὶ
,, αὐτὴν ἐκείνην ὁρίσαι τὴν πρώτην τῶν καθ' ἡμᾶς ἡμερῶν
,, τριάδα. Τὸ μὲν οὖν μέτρον εἶναι τὴν κίνησιν τοῦ χρόνου Ἀ-
ριστοτέλης ὑποτιθέμενος πάντας ἂν ἔχοι ὁμοδόξους καὶ ὁμογνώ-
μονας. Τὸ δέ τοι τοῦτο μόνον, καὶ παρ' αὐτὸ εἰς καταμέτρησιν
τοῦ παριππεύοντος χρόνου μηδὲν ἕτερον εὐχρηστεῖν ὑπολαμ-
βάνοντι, ἧπερ ἔοικεν, οὐ συναινέσομεν. Παρὰ γὰρ τὴν κί-
νησιν καὶ μέτρα ἄλλα χρόνου ληφθείη οὐκ ἄχρηστα. Καὶ εἰ
γὰρ ἀτρεμὴς ὑπὲρ κεφαλῆς ἡμῖν ἱστάμενος ὁ φωστὴρ, ἐκ
διαλειμμάτων εἴη νῦν μὲν σβεννύμενος, νῦν δ' αὖθις ἀνε-
ξαπτόμενος ἐναλλὰξ, ἦν ἂν ἐκ τῶν γινομένων τούτων ἀπο-
σβέσεών τε καὶ ἀνεξάψεων, τὴν τῶν χρόνων, ταὐτὸν εἰπεῖν
τῆς τῶν ὄντων διαμονῆς, τὴν παράτασιν οὐδὲν ἧττον τεκμαί-
ρε-

(1) Φιλόπον. ὑπομν. εἰς τὸ Δ. τῶν Φυσ. Ἀριστοτέλους.
(2) Διονύσ. Ἀρεοπαγ. Περὶ θείων Ὀνομ. Κεφ. δ'.

ρεσθαι. Ἀλλὰ καὶ ὁ χρόνος ὁ μεταξὺ ἀκινητοῦντος ἐμοῦ παραρρέων, τῇ τῶν ἐμῶν ἐννοιῶν κατὰ διαδοχὴν προόδῳ προσσημειούμενος ὁπωσοῦν ἂν καταμετροῖτο. Οἷον δὴ ἐπῆλθέ μοι ποτὲ καὶ νῦν ἀπομνημονεῦσαι τῶν γραμμάτων τὰ κδ. στοιχεῖα. Εἰ γοῦν καὶ νῷ τῇ ἐπινοίᾳ ταῦτα διέλθοιμι, ἴσως εὔδηλον ὅτι ὁ κατ' ἐκεῖνο χρόνος τῷ νῷ εἰρήσεται, εἰς μέτρον ὑλικὸν προαπαραληφθείσης τῆς τῶν ἐννοιῶν τάξεως. Καὶ συμπαρατείνειν ἄρα ὁμολογητέον τὸν χρόνον οὐδὲν μᾶλλον τοῖς κινουμένοις, ἢ τοῖς ἠρεμοῦσιν, οὐδὲν ἀλλ' ἢ τὴν διαμονὴν, τουτέστι τὴν κατὰ τὸ εἶναι παράτασιν αὐτῶν ὄντα (§.φμθʹ.) ὅπως ἂν ἤτοι κινήσεως ἔχοιεν, ἢ ἠρεμίας. Συνεμφαίνεσθαι δὲ δοτέον μᾶλλον τῇ κινήσει, ἢ τῇ ἠρεμίᾳ τὸν χρόνον, κἀκείνην διὰ τοῦτο εἰς μέτρον αὐτοῦ ἐπισημότατον πρὸ τῶν ἄλλων παραλαμβάνεσθαι. ( §. φξθʹ. ) νικᾷ γὰρ ὁ λόγος ἀεὶ τὰ δῆλα εἰς διορισμὸν τῶν ἀδήλων αἱρούμενος, καὶ ταῖς ἐπισυμβαινούσαις ἐν τῷ κινεῖσθαι τινὰ μεταβολαῖς, τῷ νῷ παρέχων τῆς κατὰ τὴν διαμονὴν τῶν ὄντων ἀδηλοτέρας παρόδου ἀναλογίζεσθαι τὸ ἄλλως ἀτέκμαρτον. Ἀλλ' ἐπὶ τούτοις, ἐφ' ᾧ δὴ καὶ πρὸς τοὺς νεωτέρους τρέψαι τὸν λόγον, οὐδ' οἱ περὶ τὸν Γερμανὸν Οὐόλφιον, εὐτυχῶς μοι δοκοῦσι τοῖς τοῦ χρόνου ἅψασθαι φύσεως. Ἐν οἷς τάξιν εἶναι τῶν ἄλληλα διαδεχομένων ἐν συνεχεῖ προόδῳ τὸν χρόνον ὡρίσαντο. (1) Ἡ γὰρ πρόοδος αὕτη τῶν ἤτοι συνεχῶς κινουμένων, ἢ καὶ ἐναλλὰξ ἀπὸ κινήσεως εἰς ἠρεμίαν μεταπιπτόντων, ἢ ἄλλως ὁπωσοῦν ἑτεροιουμένων, ἢ τέως κἂν τῶν ἐννοιῶν αὐτῶν τύχοι τάξις οὖσα, τῶν ἀλλήλαις ἐφεπομένων, ὑλικὸν ἐστὶ μέτρον τοῦ χρόνου, καὶ οὐχὶ χρόνος. Ἐπιστητέον δὲ καὶ τοῦτο, ὡς τὰ εἰς μέτρον χρόνου παραλαμβανόμενα, ἐπισφαλῆ τὰ πολλὰ τυγχάνει παρὰ τὸ τοῦ συνεχισμοῦ ἀνώμαλον. Ἔστι γὰρ κίνησις ἴση τε καὶ ἄνισος, καὶ ταχυτέρα, καὶ βραδυτέρα. Καὶ τὰς κατὰ ψυχὴν δὲ ἐννοίας, ὁτὲ μὲν τάχιον διαδέχεσθαι ἀλλήλας συμβαίνει, ὁτὲ δὲ βράδιον. Διὸ εἰκότως ὁ σχετικὸς τοῦ ἀσχέτου ἀντιδιαστελλόμενος χρόνος, ἀνώμαλος ἐστί τε καὶ λέ-

γε-

(1) Ὀντολογ. §. 572.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γεται. Ταύτη δέ τοι καὶ τοῖς ἐνασχολεμένοις περὶ τὴν Ἀστρονομίαν, διὰ σπεδῆς ἀεὶ ἐγίνετο, ἡ ὁμαλῆς τινος, καὶ δι' ἴσε περαινομένης κινήσεως εὕρεσις, δι' ἧς αὖ ἔχοιεν ἀκριβῶς τῶν χρονικῶν τμημάτων λαμβάνειν τὴν ἀληθῆ καὶ ἄπταιστον καταμέτρησιν. Οὗ δὴ πράγματος πρὸ τῶν ἄλλων ἐγγὺς ἔδοξε γεγονέναι ὁ κλεινὸς Οὐγένιος, ὁ τὰ λικνικά, ἢ καλεῖται, ἐπὶ τέτῳ ὡρολόγια προσεξευράμενος.

## Περὶ Κινήσεως.

§. φοά. Κίνησις ἐν γένει ἐστὶν ἡ τῆς ἐσίας ἀπὸ τῦ δυνάμει ἐπὶ τὸ ἐνεργείᾳ μεταβολή. Ἡ ὡς Ἀριστοτέλης (1) „ ἡ τῦ δυνάμει ὄντος ἐντελέχεια ᾗ τοιῦτον, κίνησίς ἐστιν. Ὁ μὲν ἦν ὁρισμὸς αἴνιγμα ἄντικρυς. Οἱ δὲ περὶ Ἀριστοτέλην ἐκ μυχῶν ἀσαφείας αὐτὸν ἀνασπώμενοι, τὸ, καθ' ἣν ἔχει τὶ τελειότητα (τῦτο γὰρ ἡ ἐντελέχεια ἔοικεν ὑπαινίττεσθαι.) ὑφειμένως καὶ ἐν τῷ γίνεσθαι, εἰς τὴν κατ' ἐπίτασιν, καὶ ἐν τῷ γενέσθαι, ἥ φασιν, ἐπείγεσθαι τελειότητα ἧς ἐστέρηται (τῦτο γὰρ τὸ δυνάμει εἶναι, ᾗ τοιῦτο.) τῦτο κίνησιν εἶναι βέλονται. Ὡς γὰρ αὐτὸς ἁβρότερον ἑαυτὸν ἀναπτύσσων (2) εἰσηγεῖται „ τὰ μὲν δυνάμει μόνον „ εἰσὶν, οἷον παγετὸς πρὸς θέρμανσιν. Τὰ δὲ ἐντελεχείᾳ „ μόνον, ὡς τὸ ὕδωρ ἤδη θερμὸν ὄν. Τὰ δὲ δυνάμει καὶ „ ἐντελεχείᾳ, τὸ μὲν τοδέ τι (ἤτοι τῷ λόγῳ τῆς ἐσίας) „ τὸ δὲ τοσόνδε (ἤτοι κατὰ τὸ ποσὸν) τὸ δὲ ποιόνδε, (κατὰ τὸ ποιὸν δηλονότι.) Ταῦτα δὲ τὰ καὶ δυνάμει ὄντα καὶ ἐντελεχείᾳ, πρὸς ὃ ἐστὶ, καὶ κινεῖσθαι λέγεται. Ἐπιθεωρηθείη δ' αὖ τῦτο πρὸς πᾶσαν ἀλλοίωσιν, καὶ πρὸς αὐτὰ δὴ τὰ μὴ σωματικά, ἃ καταχρηστικώτερον καὶ αὐτὰ ἀλλοιῦσθαι, διὰ τὸ ἀπὸ τῦ δυνάμει ἐπὶ τὸ ἐνεργείᾳ μεταβάλλειν, λέγεται. Οὐχ ὅπως γὰρ ὕδωρ χλιαρὸν ὄν, καὶ ἤδη πρὸς θερμό-

(1) Φυσικ. Βιβλ. Γ'. Κεφ. α'.
(2) Αὐτ. Αὐτ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μεσότητα ἀποκλίνον, δυνάμει τε καὶ ἐντελεχείᾳ ἁπλῶς μὲν
οὐδέτερον πῇ δ' ἑκάτερον ἐστὶ πρὸς αὐτὴν, ἀλλὰ καὶ νοῦς ὁ
τοῖς διδασκομένοις προσέχων ἐστι μὲν πως δυνάμει πρὸς
τὴν ἀκρότητα τῆς ἕξεως, ἐστι δέ πως ἐνεργείᾳ, ᾗ ταύτην
διατιθέμενος, καὶ κατά γε τοῦτο αὐτὸ καὶ κινούμενος.

§. φοβ'. Ὅροι δὲ κινήσεως δύω, ὅ,τε ἀφ' οὗ καὶ ὁ πρὸς
„ ὅν. Ἐπεὶ γὰρ πᾶσα μεταβολὴ, φησὶν, ἐστὶν ἔκτινος
„ εἴςτι. (1) ( δηλοῖ δὲ καὶ τοὔνομα. μετ' ἄλλο γάρ τι. )
„ Καὶ τὸ μὲν πρότερον, τὸ δ' ὕστερον· μεταβάλλοι αὖ τὸ με-
„ ταβάλλον τετραχῶς· ἢ γὰρ ἐξ ὑποκειμένου εἰς ὑποκεί-
„ μενον· ἢ ἐξ οὐχ ὑποκειμένου εἰς οὐχ ὑποκείμενον· ἢ μὴ
„ ἐξ ὑποκειμένου εἰς ὑποκείμενον· ἢ ἐξ ὑποκειμένου εἰς μὴ
„ ὑποκείμενον. Ἀλλ' ἡ ἐκ μὴ ὑποκειμένου εἰς μὴ ὑποκεί-
„ μενον οὐκ ἔστι μεταβολὴ, διὰ τὸ μὴ εἶναι κατ' ἀντίθε-
„ σιν· οὔτε γὰρ ἐναντία, οὔτε ἀντίφασις ἐστί. Τῶν δὲ
λοιπῶν, ἡ μὲν ἐξ οὐχ ὑποκειμένου εἰς ὑποκείμενον μετα-
βολὴ κατ' ἀντίφασιν, γένεσις ἐστίν· „ ἡ μὲν ἁπλῆ, ἡ δὲ
„ τίς τινός· ἤτοι ἡ μὲν οὐσιώδης, ἡ δὲ κατ' ἀλλοίωσιν, ἢ
ἄλληπτη. Ἡ δὲ ἐξ ὑποκειμένου εἰς οὐχ ὑποκείμενον, φθο-
ρὰ ἤτοι ἁπλῶς καὶ αὐτὴ, ἢ κατά τι. Ἐπεὶ δὲ, ὡς αὐτῷ
δοκεῖ „ αἱ κατὰ γένεσιν καὶ φθορὰν οὐκ εἰσὶ κυρίως κινήσεις,
„ ἀνάγκη δὴ τὴν ἐξ ὑποκειμένου εἰς ὑποκείμενον μεταβο-
λὴν, κίνησιν εἶναι μόνον ὡς ἄρα τοὺς ὅρους ἀμφοτέρους πραγ-
ματιώδεις τε καὶ θετικοὺς ἔχουσαν.

§. φογ'. Ἡ μὲν οὖν κίνησις ἡ ἐξ ὑποκειμένου εἰς ὑπο-
κείμενον, κατὰ ποιὸν, καὶ ποσὸν, καὶ τόπον ἐστί. Καὶ κατὰ
„ μὲν ποιὸν, ἀλλοίωσις φησὶν ἔστω. (2) ( ἣ δὴ ἐν τῇ με-
βολῇ τῶν ἐξ ὧν τὸ σῶμα μορίων, κατὰ σχῆμα, καὶ θέσιν,
καὶ κίνησιν, ἢ ἠρεμίαν κεῖται. ) „ Τῆς δὲ κατὰ τὸ ποσὸν,
„ τὸ μὲν κοινὸν ἀνώνυμον, καθ' ἑκάτερον δὲ αὔξησις καὶ
„ φθίσις· ἡ μὲν εἰς τὸ τέλειον μέγεθος αὔξησις, ἡ δὲ
„ ἐκ τούτου φθίσις. Ἡ δὲ κατὰ τόπον, καὶ τὸ ἴδιον, καὶ τὸ κοι-
„ νὸν

(1) Φυσικ. Βιβλ. Ε'. Κεφ. α'. καὶ β'.
(2) Αὐτ. Αὐτόθι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ν νὸν ἀνώνυμος. Ἔςω δὲ φορὰ καλȣμένη τὸ κοινόν. Ἀλλὰ μήποτε αὐτὴ τῆς κατὰ τόπον φορᾶς τῶν μορίων τῶν ἐν τοῖς ἀλλοιȣμένοις, καὶ αὐξομένοις, καὶ φθίνȣσιν, ȣ̉δ᾽ ἀλλοίωσιν, ȣ̉δ᾽ αὔξησιν, ȣ̉δὲ φθίσιν γενέσθαι δυνατόν; ἔοικε. Τί ȣ̉ν Ἀριςοτέλης ταύτας ἐκείνης ἀντιδιέςειλεν; ȣ̉κ ὀρθῶς δηλονότι. Κινήσει καὶ γὰρ (ἥτις μία ἐςὶ μάλιςά γε καὶ κυριώτατα ἡ κατὰ φοράν.) τὰ πάντα ἐν τῇ φύσει περαίνεται. Ἀλλὰ γὰρ τὰ περὶ τȣ́τȣ, τοῖς τὸ φυσικὸν εἶδος ἀκριβȣ̃σι, μελέτω τελεώτερον ἐπεξεργάζεσθαι.

§. φοδ'. Πᾶσαι δὲ αἱ τῇ αὐτῇ κατηγορίᾳ βεβηκυῖαι κινήσεις κατ᾽ αὐτὸν (1) ὁμογενεῖς εἰσίν. Αἱ δὲ ἐφ᾽ ἓν εἶδος τῶν ὑπὸ τὸ αὐτὸ γένος ἀναγόμεναι, οἷον δύο λευκάνσεις, ὁμοειδεῖς. Μία δὲ τὸν ἀριθμὸν φορὰ, ἡ αὐτὴ ἀδιαίρετος τȣ̃ αὐτȣ̃ ἐν ἑνὶ τόπῳ καὶ χρόνῳ κίνησις. Ἀλλὰ γὰρ τὶς αὖ εἴη ὁ αὐτὸς τῷ ἀριθμῷ τόπος, καὶ ὁ χρόνος ὁμοίως διορίσαι ȣ̉κ εὐπετὲς, τῇ δὲ κινήσει, καὶ κίνησις ἑτέρα ἀντίκειται, καὶ ȣ̉ μόνη, ἀλλὰ καὶ ἡ ἠρεμία, φησὶ (2), κατὰ ςέρησιν. Στέρησις γὰρ, ἥπερ αὐτῷ δοκεῖ ἡ ἠρεμία τῆς κινήσεως. Τῇ μὲν ȣ̉ν κατὰ τὰ ἄνω φορᾷ ἀντίκειται ἡ ἐπὶ τὰ κάτω· ἡ δὲ ἔμπροσθεν τῇ ὄπισθεν. Καὶ ταῦτα μὲν ἡμῖν ἐξ Ἀριςοτέλȣς.

§. φοέ. Ἐνταῦθα δὲ τῆς κατὰ τόπον κινήσεως μάλιςα θεωρȣμένης, ἧς ȣ̉δ᾽ ἄλλο τι τῶν ὄντων, ȣ̉δέ τις τῶν ἄλλων κινήσεων ἐξήρτηται (ᾗ γὰρ Πλάτων φησὶ „ (3) τὸ πᾶν „ κίνησις ἐςὶ, καὶ παρὰ τὴν κίνησιν ȣ̉δέν.) (§. φογ'.) ὁρισμὸς προκείσθω ὁ τοῖς πᾶσι δοκιμαζόμενος, ὅτι ἐςὶν ἔκςασις ἐκ τόπȣ, καὶ εἰς τόπον ἄλλον μετάβασις, δι᾽ ἐνεργείας ποιητικȣ̃ τινος γινομένη. Διῃρήσθω δὲ ἡ κίνησις εἰς τὴν καθ᾽ αὐτὸ, καὶ τὴν καθ᾽ ἕτερον, ἤτοι τὴν κατὰ συμβεβηκός. Καὶ καθ᾽ αὐτὸ μὲν, καθ᾽ ἣν τι αὐτὸ ἐν τῇ ἰδίᾳ ȣ̉σίᾳ, τȣ̃ τόπȣ ἐξίςαται ὃν ἐπέχει, καὶ εἰς ἕτερον μεταχωρεῖ.

(1) Φυσικ. Ε'. Κεφ. δ'.
(2) Αὐτόθι Κεφ. ς'.
(3) Ἐν Τιμαίῳ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρεῖ. „ Καθ' ἕτερον δὲ, ὅσα κινεῖται τῷ ἐν κινουμένῳ εἶναι, „ οἷον οἱ πλωτῆρες. (1) Ἠρεμία δὲ ἔσω ἡ κατὰ τὸν αὐτὸν τόπον τοῦ ἐν τόπῳ μονή. Περὶ γοῦν τούτων τῆς ἀκριβεστέρας τῇ φυσιολογίᾳ ἀνατεθείσης, ἃ τῆς παρούσης οὐ κομιδῆ ἔξορα πραγματείας ἐστὶ θεωρείσθω ταῦτα.

## Θεώρημα ΛΔ'.

§. φος'. „ Η μὲν κίνησις θετικόν τι ἐστὶν, ἡ δ' ἠρεμία „ ψιλή τις κινήσεως στέρησις.

Θετικὸν γὰρ πᾶν ὃ οὔτε μηδέν ἐστιν, οὔτε εἴδους τινὸς ἀπουσία. (ἐξ ὑποθ.) Οὐκ ἔστι δὲ μηδὲν, τὸ ὑπὸ ποιητικοῦ ἐνεργοῦντος παραγόμενον. (§. νδ'.) Καὶ ὅπερ οὐδ' εἴδους ἐστὶν οὐδενὸς ἀπουσία. Ἡ δὲ κίνησις, καὶ ὑπὸ ἐνεργείας ποιητικοῦ τινὸς ἐστὶ γινομένη, (§. φοε'.) καὶ οὐδὲ ἀπουσία εἴδους ἐστὶν, εἴπερ ἐντελέχειά τις καὶ αὐτὴ, καὶ ἐπὶ τὸ ἐντελεχείᾳ εἶναι μεταβολή. (§. φοα'.) Ἄρα τὸ Α'.

Ἡ δ' ἠρεμία ἐνεργείας οὐδεμιᾶς τινος προσδεῖται ποιητικοῦ, ὑφ' ἧς αὖ γένηται. Ἀρκεῖ γὰρ παντὶ ὑπὸ μηδενὸς κινηθῆναι, ἐφ' ᾧ ἠρεμῆσαι καὶ κατὰ τὸν αὐτὸν τόπον μεῖναι. Ἄρα τὸ Β'.

## Σχόλιον.

§. φοζ'. Καὶ περὶ τούτου δὲ, εἴπερ τινὸς καὶ ἄλλου, οἱ φιλοσοφοῦντες πρὸς ἀλλήλους διαστασιάζουσιν. Ἐγένοντο γὰρ καὶ οἱ θετικὸν εἶναί τι παραπλησίως τῇ κινήσει, καὶ τὴν ἠρεμίαν ἀποφηνάμενοι. (2) οὓς δὴ καὶ εἰς τοῦτο τῆς δόξης παραχθῆναι λέγεται, παρὰ τὸ δύναμίν τινα ἐνορᾶν τῇ ὕλῃ δόξαι, καθ' ἣν καὶ ἐν ἠρεμίᾳ τεθεῖσα ἐμμένειν, καὶ τοῖς μετακι-

(1) Ἀριστ. Περὶ ψυχ. Βιβλ. α'.
(2) Καρτέσιος Περὶ Ἀρχ. Μέρ. β'. Ἄρθρ. 43.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τακινεῖν πειρωμένοις ἀντέχειν πέφυκε, δι' ἣν ὥστε καὶ βάρη εἰ τύχοι ὑπέρογκα φασὶν ἐπὶ πλάστιγγος, οὐ ῥαδίως ἀποτίθεται τὸ ἀντίρροπον. (1) Οὗτοι γοῦν καὶ τῇ δόξῃ ἑπόμενα συνάπτοντες, καὶ τὴν κίνησιν ἠρεμίας κατάπαυσιν ἀποκαλεῖν χαίρουσιν, οὐδὲν ἧττον ἢ κινήσεως τὴν ἠρεμίαν. (2) Οἵ γε μὴν πλεῖστοι τοὐναντίον ὑπολαμβάνοντες (3), ἐν μὲν τῇ κινήσει θετικόν τι εἶναι τὴν πρὸς μετάβασιν ἔπειξίν τε καὶ ὁρμὴν εἰσηγοῦνται, ἐν δὲ τῇ ἠρεμίᾳ οὐδέν, ἢ ψιλὴν ἐννοεῖν ἔχουσι στέρησιν. Διὸ καὶ τὴν μὲν εἶναί τι γνωματεύουσι, τὴν δ' ἠρεμίαν ἐρημίαν κινήσεως ἄντικρυς, καὶ πλέον οὐδέν. Εἰ γάρ τι ἐν τοῖς οὖσι τεθῇ, καὶ ἠρεμοῦν ἔσται ἅμα προδήλως, ἣν μὴ περαιτέρω καὶ κινήσεως μετάσχῃ ὑπό τινος· ἠρεμίας δὲ μεταλαβεῖν οὐ προσδεηθήσεται. Διὸ οὐδ' ἄλις ἔχει τὴν κίνησιν ἠρεμίας ἀποκαλεῖν ἐθέλειν κατάπαυσιν, ἀπαραιτήτου ὄντος τοῦ αὐτὴν ἐμποιήσοντος. Ἐκείνη γὰρ ὑπὸ ποιητικοῦ ἐνεργοῦντος παραγομένη, ἔσται τι ἐκ πάσης ἀνάγκης, ἡ δὲ κατ' ἀπουσίαν τὴν ἐκείνης αὐτόθεν παροπηδεῖ, ὃ κοινόν ἐστι πάσαις ταῖς στερήσεσι. Καὶ ἄλλως δὲ κινήσεων καὶ μεγέθη ἐστί, καὶ εἴδη παντοῖα, τῶν μὲν ταχυτέρων οὐσῶν, τῶν δὲ βραδυτέρων, καὶ τῶν μὲν ἁπλῶν, τῶν δὲ συνθέτων, ἃ δὴ τὸ κατὰ θέσιν εἶναι τῇ κινήσει προσμαρτυρεῖ, καὶ ὧν καθάπαξ ἡ ἠρεμία, ὡς μηδὲν οὖσα, ἠμοίρησεν. Οὐδὲ γὰρ ὅ φασιν, τὸ ἔχεσθαί πως δοκεῖν τῆς ἠρεμίας τὰ σώματα, καὶ ἀντέχειν πρὸς τὰ κινεῖν ἐπειγόμενα, τὸ θετικὸν ἐκείνης οἷον τυγχάνει πιστώσασθαι, τῆς ἀντοχῆς, ἧπου δῆλον, πρὸς μὲν τὴν ἠρεμίαν οὐχί, πρὸς δὲ τὸ μέγεθος τῆς ὕλης ἐχούσης ἀνάλογον, καὶ οὐδὲ ἐπίσης ἀντεχόντων, καί τοι ἐπίσης ἠρεμούντων, ὧν ἂν εἶεν οἱ ὄγκοι ἄνισοι. Καὶ μηδὲ τῶν ἐν ἠρεμίᾳ ὄντων μόνων, ἀλλὰ καὶ τῶν ἐν κινήσει οὐδὲν ἧττον, τῆς ὁμοίας πρὸς τὸ ἀντέχειν τοῖς ἐπιφερομένοις συμμοιρούντων δυνάμεως.

Θεώ-

(1) Περραύλτιος Φυσικ. Τόμ. α'. Σελ. 92.
(2) Ῥήγιος Φυσικ. Βιβλ. α'. μέρ. β'. Κεφ. ε'.
(3) Ἀεις. Φυσικ. Βιβλ. ε'. Κεφ. ϛ'. Μαλεβράγχ. περὶ ἐξετάσ. ἀληθ. βιβλ. ϛ'. Κεφ. θ'. Ἰωάνν. Κλέρικος Φυσικ. Βιβλ. ε'. Μουσχεμβροέκ. Φυσικ. Κεφ. δ'. §. 107.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Θεώρημα ΛΕ'.

§. φοή. „ Λανθάνειν ἐμοὶ δοκεῖ τοὺς φιλοσοφοῦντας, τὸν „ ἀκριβῆ λόγον, καθ' ὃν σῶμα σώματι κινήσεως μεταδί- „ δωσι.

Τίποτε γάρ ἐστὶ τὸ ἀπὸ τοῦ κινοῦντος μεταβαῖνον ἐπὶ τὸ κινούμενον; πότερον οὐσία τις, ἢ συμβεβηκός; ἀλλ' εἰ μὲν ἐκεῖνο, ὁποία τις; τίς δ' ὁ λόγος τῆς μεταστάσεως; τίς δ' ὁ τῆς παρεγχωρήσεως; τίς δ' ὁ τῆς γενήσεως; τίς δ' ὁ τῆς φθορᾶς; πῶς δὲ καὶ οὐσία ἡ τοῖς πᾶσιν ὁμολογουμένη ἐνέργεια; πῶς δ' ἐξουσιοῦται τὸ κινοῦν; πῶς δὲ μετουσιοῦται τὸ κινούμενον; ὅ,τι ποτ' ἂν εἴποις, οὐδὲν εἰρηκὼς ἔσῃ ὅ,τι μὴ ἄτοπον. Εἰ δὲ συμβεβηκὸς, πῶς ἄρα τελεῖται ἡ τούτου μετάβασις, πῶς δ' ἐξ ὑποκειμένου γίνεται; πῶς δ' εἰς ὑποκείμενον; πῶς δὲ διχάζεται, ἢ ἄλλως ὁπωσοῦν ἀποτέμνεται; πῶς δὲ συγκεράννυται, καὶ συντίθεται; Ἄρα κτ.

## Σχόλιον.

§. φοθ'. Καὶ ἡ παρὰ τοῖς φιλοσοφοῦσι δὲ περὶ τοῦ ζητήματος στάσις, καὶ τῶν δοξασιῶν τὸ διάφορον, λαμπρότατον εἰσὶ τῆς περὶ αὐτὸ ἀγνοίας μαρτύριον. Οἱ μὲν γὰρ περὶ τὸν Γάλλον Καρτέσιον ἐπὶ τὸν Δημιουργὸν καταφεύγουσιν, ὃν ἀπαραλλακτῳ... προνοήτῳ τινὶ λόγῳ φασὶ (1) μέτρον κινήσεως πεπηγμένον τοῖς σώμασιν ἐνιέντα, διηνεκὲς αὐτὸ ἐνδιασώζειν, οὔτ' αὔξον, οὔτ' ἐκμειούμενον. Καὶ δὴ αὐτὸν εἶναι, τὸν ἐξ ἀφορμῆς τῶν ἐν τοῖς σώμασι γινομένων συμπτώσεών τε, καὶ συγκρούσεων, ναὶ μὴν καὶ νεύματι τῆς ψυχῆς, κατὰ τὰς τῶν ἀνθρωπίνων σωμάτων τοπικὰς μεταβάσεις, κινοῦντα ἀμέσως ἕκαστα, ἐν διαφέρουσι τοῖς τόποις κατὰ διαδοχὴν συντηροῦντά τε καὶ συνέχοντα. (2) Οἱ δὲ περὶ τὸν Γερμανὸν Λεϊβνίτιον, ὁρμὴν

(1) Ῥωαύλτιος Φυσικ. Κεφ. ί. Ἀειθ. ιβ'.
(2) Πυρχότ. Φυσικ. μέρ. ά. Τμήμ. δ'. Κεφ. ζ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μίαν τινὰ πρὸς ἅπαν μέρος, ταῖς κατ' αὐτοὺς μονάσιν οὐσιῶ δὴ ἐνσπείραντες, ταῖς τῶν σωμάτων συμβολαῖς, εἰς τὸ ποικίλον τῶν κινήσεων διορίζουσιν (1). Οἱ δὲ τελευταῖον, οἷον δὴ ὁ Ὀλλανδὸς Μουσχεμβροέκιος (2) δύναμιν οὐκ οἶδ' ἥντινα, τοῖς σώμασιν ἐνοικίσαντες, ἀφ' ἑνὸς ἐφ' ἕτερον ἔπειτα οὐ δυσχερῶς μετοικίζουσιν. Ἐξ οὗ καὶ ὅσον αὐτῆς θάτερον ἀπέθετο, τὸ μεταδὸν, τοσοῦτον θατέρῳ τῷ μεταλαχόντι ἐμφιλοχωρῆσαι συμβαίνειν φασίν. Ἡ δὲ δύναμις αὕτη ἐπὶ τῶν κατὰ προαίρεσιν κινημάτων, ἀπὸ τοῦ ἡγεμονικοῦ προϊοῦσα ἐπὶ τὰ νεῦρα, κἀντεῦθεν ἐπὶ τὰ μυάρια, τὰ ἐν τοῖς ὀργανικοῖς μέλεσι μεταβαίνουσα, ἐκ τούτων ἐπὶ τὰ ἐκτὸς ἡμῶν τέως, ἅττα ἂν κινῆσαι ἐπιχειρήσαιμεν, μὴ ὑπὲρ τὴν ἐν σφίσι τυγχάνοντα δύναμιν, προχωρεῖ. Ταύτῃ τοι καὶ πρὸς τοὺς πόνους ἀπαυδᾶν πεφύκαμεν, τῆς τοιαύτης ὑποφθινούσης δυνάμεως, καὶ οἷον ἀποδαπανωμένης. Ἀλλ' ἐπιεικῶς ἡ πολυδοξία τὴν στάσιν οὐκ ἔστησεν, οὐδὲ τὴν ἀπορίαν ἐκ μέσου ἦρεν, οὐδὲν γὰρ λέγεται πρὸς ὃ αὖτις ἀπαρασαλεύτως ἔχοι τοῖς λογισμοῖς ἐφησυχάσαι. Αὐτίκα γὰρ οἱ πρῶτοι ὑπερφυᾶ τινα τὸν τρόπον ἡμῖν ὑποβάλλοντες, ἀσθένειαν κατηγοροῦσι τῆς φύσεως, ἣν εἰκὸς τὸν δημιουργήσαντα παντοίαις πεπλουτικέναι δυνάμεσι, καὶ πολύ γε πρότερον ἢ τοῦ ἀπορεῖν, τοῦ φιλοσοφεῖν ἡμᾶς ἀπαλλάττουσιν. „Εἰ μὴ ἄρα „δὴ, ὥσπερ οἱ τραγῳδοποιοὶ ἐπειδάν τι ἀπορῶσιν, ἐπὶ „τὰς μηχανὰς καταφεύγουσι Θεοὺς αἴροντες, καὶ ἡμεῖς οὕτως „εἰπόντες ἀπαλλαγῶμεν, ὡς ὁ ἐν Κρατύλῳ Σωκράτης φη„σίν. (3) Ἀλλ' οὔθ' οἱ δεύτεροι, οὔθ' οἱ τρίτοι τὴν ἐπιπολάζουσαν ἀχλὺν ἀποσκεδάζουσι τοῦ ζητήματος. Τίς γάρ ποτε ἡ δύναμις ἐκείνη, καὶ πῶς ἡ ἀφ' ἑτέρου ταύτης ἐφ' ἕτερον συμβαίνει μετάβασις; πῶς δὲ οὗ μὲν ἀπὼν ἐπιγίνεται, οὗ δὲ παρὼν ἀπογίνεται; ἢ μηδὲ τὴν ἀρχὴν ληπτὴ οὖσα, ὅσῳ γοῦν αἰσθήσει τεκμήρασθαι πολλάκις προκύπτει, ἢ καὶ ἤ-

δη

(1) Ἡ Φιλόσοφος τοῦ Κασελλὲτ Φυσική.
(2) Φυσικ. Κεφ. δ'. §. 110. κτλ.
(3) Παρὰ Πλάτωνι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δὴ περιϊοῦσα κατὰ βραχὺ ἀπομαραίνεταί πως, καὶ τελευτῶσα ἐκλείπει, καὶ ἀποσβέννυται; Διὰ δὴ ταῦτα συντίθεμαί τε τῷ εἰπόντι, καὶ ἀποδέχομαι „ ὡς οὐδεὶς τῶν πάντων συνιδεῖν „ ἔχει ἀκραιφνῶς, οὐδὲ φάναι ὅπως τὸ σῶμα, καὶ πάντα „ τὰ μέρη, τὰ ἐν αὐτῷ κινουμένῳ διάκειται, καὶ τίνι δήποτε „ λόγῳ ἡ κατὰ τὴν κίνησιν ἐνέργεια ἐκ σώματος εἰς σῶμα „ μεταχωροῦσα μεθίσαται. (1)

## Θεώρημα Λϛʹ.

§. φπʹ. „ Η ἐν ἀδιαιρέτῳ τοῦ χρόνου κίνησις τῶν φύσει „ ἀδυνάτων ἐστὶ τοῖς σώμασι.

Οὐ γὰρ ἂν ἐπίσχοι ποτὲ ἅμα τε καὶ κατὰ τὸ αὐτὸ, τόπους πλείονας φύσει τῶν σωμάτων οὐδέν. ( §. φλϛʹ. ) Ἐπίσχοι δ' ἂν εἴπερ ἐν ἀδιαιρέτῳ τοῦ χρόνου εἶχον ἀνύειν τὴν κίνησιν. Τοῦτο γὰρ κίνησις, ἡ ἐκ τόπου εἰς τόπον μετάστασις. ( §. φοεʹ. ) Ὥστε διὰ τὴν ἀντίφασιν ἀδύνατον.

## Θεώρημα ΛΖʹ.

§. φπαʹ. „ Τὴν τῆς φορᾶς ταχύτητα αὔξειν μὲν ἐς ἄ„ πειρον, δυνατὸν, ἄπειρον δὲ εἶναι τῶν ἀδυνάτων.

Αὔξει μὲν γὰρ ἡ ταχύτης ἐς ἄπειρον ἐπὶ τὸ μᾶλλον ἐπιδιδοῦσα ἀεὶ τέρματος ἄνευ. (ἐξ ὑποθ.) καὶ §. τοζʹ. Ἐπιδιδόναι δὲ ἀεὶ τὴν ταχύτητα δυνατὸν, πλείονος μὲν ἐπιχορηγουμένης τῷ κινουμένῳ ὑπὸ τοῦ κινοῦντος ὁρμῆς, δι' ἧς ἂν πλεῖον ἀεὶ καὶ πλεῖον διάστημα διεξέχοι ἐν ἴσῳ χρόνῳ, ἢ ἴσον ἐν χρόνῳ ἐλάσσονι, καὶ ἐλάσσονι, τῆς δὲ προσεντεθείσης ὁρμῆς ὑπὸ μηδενὸς διακοπτομένης. Ἄρα ὃ τὸ Α'.

Ἄπειρον δὲ ταχύτητα φαμὲν, ἧπερ ἂν τάχος οὐκ ἂν εἴη περαιτέρω προσθεῖναι. ( ἐξ ὑποθ. καὶ §. τοζʹ. ) Ἀλλὰ γὰρ τοῦτο

(1) Γενουΐνσ. Ὀντολογ. Κεφ. ζʹ. Ὀρ. ξεʹ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦτο ἐς ἀεὶ δυνατὸν ( διὰ τὸ α. μέρ. ) ἐκεῖνο ἄρα ἀδύνατον, ὃ τὸ Β'.

## Σχόλιον.

§. φπβ'. Οὕτως ἡμῖν ἐπιλύσιμον εἶναι δοκεῖ τὸ πρόβλημα, ἐπιλύσει παύτῃ καθαρεύσῃ ὑποθέσεως ἀδυνάτου. Φιλόσοφος δέ τις ἐν νεωτέροις τῶν οὐκ ἀσήμων, (1) ἀπειρόντι προϋποστησάμενος τὸ διάστημα, ὡς ἂν δυνατὴν εἶναι δείξῃ τὴν ἐς ἄπειρον τῆς κινήσεως ἐπιτάχυνσιν, διαστάμοι δοκεῖ ἁμαρτάνειν, τὸ μὲν ὅτι τῷ ἀδυνάτῳ τοῦ ἀπείρου διαστήματος (§. τπθ'. τή.), τὸ δυνατὸν τοῦ ἐς ἄπειρον προϊόντος τάχους ἐπικεραννὺς, καὶ αὐτὸ τοῦτο σὺν ἐκείνῳ κατασκευάζει ἀδύνατον. Τὸ δὲ, ὅτι οὐ συνιδεῖν ἔοικεν, ὡς καὶ ἐπὶ παραδινήσει σώματος, ἐφ' ἧς ἡ ἐς ἄπειρον χωροῦσα διαίρεσις τοῦ ποσοῦ μόνη προσαπαιτεῖται, καὶ ἄνευ τοῦ ἀπείρου διαστήματος, ἐπιταχυνθείη ἂν τὰ τῆς φορᾶς, οὐδὲν ἧττον ἐπ' ἄπειρον.

# ΚΕΦΑΛΑΙΟΝ Γ'.

## Περὶ σωμάτων συνθέσεως, τουτέστι περὶ Ἀρχῶν, ἐξ ὧν πρωτίστων τὰ ἐν τῷ παντὶ σώματα συγκεκρότηται.

§. φπγ'. Τῶν ἐξ ὧν τὰ σώματα τὴν σύνθεσιν λέγεται ἔχειν ἀρχῶν, αἱ μὲν πρῶται εἰσὶν αἱ μὴ ἐξ ἄλλων, οὐδ' ἐξ ἀλλήλων. Αἱ δὲ δεύτεραι, αἱ ἐξ ἄλλων ἁπλουστέρων. Καὶ αἱ μὲν μεταφυσικαὶ ἀκούουσαι, αἱ κατὰ μόνην ἀφαίρεσιν νοούμεναι, καὶ οὐδ' αἰσθήσει, οὐδὲ φαντασίᾳ ληπταί. Αἱ δὲ μηχα-

(1) Γενουΐσ. Ὀντολογ. Προτ. ηθ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μηχανικαὶ, καὶ οὐκ αἰσθήσει, φαντασίᾳ δέ. Αἱ δὲ αἰσθηταὶ, αἱ καὶ τῇ αἰσθήσει αὐτῇ, ὡς δηλοῖ καὶ τοὔνομα, ὑποπίπτουσαι.

§. φπδ΄. Τὰ τὴν φύσιν τε καὶ οὐσίαν σώματος ἑκάστου χαρακτηρίζειν τε καὶ γνωρίζειν νοούμενα, καὶ παντὸς ἄλλου, ὃ μὴ τοιοῦτον ἢ διακρίνειν τε, καὶ διαστέλλειν, εἶδος λεγέσθω. ( §. ρλγ΄. ) Τὸ δὲ δὴ τούτων δεκτικὸν, καὶ ὑπ᾽ αὐτοῦ γνωριζόμενόν τε, καὶ διοριζόμενον, ὑποκείμενον, ( §. ρί. ) καὶ ὕλη.

§. φπέ. Φύσει μεταβάλλειν λέγεται, τὸ οὕτω μεταβάλλον, ὡς μηδὲν αὐτοῦ μετὰ τὴν μεταβολὴν ἐναπολείπεσθαι, ὧν ἐκείνου μόνῳ τῷ εἴδει ἐνεωρᾶτο προσήκοντα, ἕτερα δὲ προσεγγίνεσθαι. Διὸ καὶ Ἀριστοτέλης τὴν οὐσιώδη ταύτην μεταβολὴν ὁριζόμενος „ μεταβολὴν ἀπεδίδου τοῦ ὅλου εἰς ὅ-
„ λον, ἥκιστα μένοντος τοῦ αὐτοῦ αἰσθητοῦ ὑποκειμένου (1). Μεταβάλλειν δὲ κατὰ συμβεβηκὸς φαμὲν, τὸ καὶ μετὰ τὴν μεταβολὴν διασῶζον, τῶν αὐτοῦ προσηκόντων τῷ εἴδει τὰ πλείονα.

§. φπς΄. Πολλὰ δὲ εἶναι ἐν τῷ παντὶ συντάγματι καθ᾽ ἑκάτερον μεταβάλλοντα τῶν εἰρημένων τρόπων καὶ τῆς αἰσθήσεως αὐτῆς ἐπιμαρτυρούσης, καὶ ὃν τοῦ διακόσμου φέρομεν, ἡ ἔννοια ( §. υπζ. καὶ υπή. ) ἐναργῶς παρίστησιν.

## Θεώρημα ΛΗ΄.

§. φπζ΄. „ Η ὕλη καὶ τὸ εἶδος καθ᾽ αὐτὰ, ἀρχαὶ εἰσὶ
„ μεταφυσικαὶ, καὶ πρῶται.

Μεταφυσικαὶ γὰρ ἀρχαὶ προσείρηνται, αἱ κατὰ μόνην ἀφαίρεσιν νοούμεναι ( §. φπγ΄. ) οὕτω δέ πη ἔχουσιν ἥτε ὕλη καὶ τὸ εἶδος, καθ᾽ αὐτὰ χωρὶς ἀλλήλων ὑποστῆναι μὴ ἔχοντα. ( §. ριγ΄. ρμγ΄. ) Ἄρα τὸ Α΄.

„ Ἀρχαὶ δὲ πρῶται εἰσὶν, αἱ μήτε ἐξ ἄλλων, μήτε
„ ἐξ

(1) Βιβλ. Α΄. Περὶ Γεν. καὶ Φθορ. Κεφ. δ΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ ἐξ ἀλλήλων, ἀλλ' ἐξ ὧν πάντα, ὡς Ἀριστοτέλης ἀπέ-
„ δωκε. (1) (§. φπγ'.) Ἡ δὲ ὕλη μεταφυσικῶς τε καὶ καθόλε ληφθεῖσα καθ' ἑαυτὴν, ἐκ ἐξ ἄλλης ὕλης, ἐξ ἑαυτῆς γὰρ ἂν εἴη. Τῦτο δ' ἐκ ἂν εἴη σύνθεσις. Οὐδὲ μὴν ἐξ εἴδες. (§. ρμ'.) ὑποτίθεται γὰρ ἡ ὕλη καθ' ἑαυτὴν ἀειδής. Ὡσαύτως δὲ ἐδὲ τὸ εἶδος καθ' αὐτὸ ἐξ ἄλλου εἴδες, ἐξ ἑαυτῦ γὰρ ἂν ἔχοι τὰ τῆς συνθέσεως. ἐδὲ ἐξ ὕλης· (§. ρλή.) ὑποτίθεται γὰρ ἀφῃρημένον τῆς ὕλης. Ἄλλως τε ἐδὲ φύσιν ἔχει αὐτὰ μεταβάλλειν εἰς ἄλληλα. (§. ρμά.) Ἄρ' ἔτ' ἐξ ἄλλων, ἔτε ἐξ ἀλλήλων. Ὅτι δὲ καὶ ἐξ αὐτῶν ἅπαντα τὰ σώματα φανερόν. ἐκ γὰρ τῦ ά. ὑλικῦ, καὶ τῶν σωμάτων τὰ ἁπλῦστατα· (§. ρκά.) καὶ τὰ μικτά· (§. ρκγ'.) ἐκεῖνο δὲ καθ' ἑαυτὸ αὖθις τῦ εἴδες ἀνυπόστατον. (§. ρμγ'.) Ἄρα καὶ ἐξ αὐτῶν τὰ πάντα. Ἄρα καὶ τὸ Β'.

## Σχόλιον.

§. φπή. Μεταφυσικῶς ἔτω τὰς τῶν σωμάτων ἀρχὰς ὑπέθεντο Πυθαγόρας, καὶ Πλάτων, καὶ οἱ Στωϊκοὶ, καὶ ὁ περὶ αὐτῶν, ἀκριβέστερον ἁπάντων πραγματευσάμενος Ἀριστοτέλης. Πυθαγόρας μὲν γὰρ (2) ἐξ ὑποκειμένε καὶ ἀριθμῶν τὰ ἐν τῇ φύσει ἅπαντα συνεκρότει, καὶ τῇ μὲν μονάδι τὸ ποιητικὸν ὑπηνίσσετο· τῇ δ' ἀορίστῳ δυάδι τὸ ὑλικὸν
„ καὶ παθητικόν· ὧν τὸ μὲν ἐστὶν ὁ νῦς Ὁ ΘΕΟ'Σ, τὸ δὲ
„ ὁ κόσμος ὁ ὁρώμενος. (3) Τοῖς δὲ ἐντεῦθεν ἀριθμοῖς τὰ εἴδη. (4) Ἀλλὰ γὰρ τῷ τρόπῳ ἐκ τῶν ἀριθμῶν συνίστασθαι τὰ ὄντα ἔτως αἰνίζων ἐφιλοσόφει, ἐ πάντη σύμφωνος τοῖς πολυπραγμονήσασι φέρεται δόξα. Ὁ μὲν γάρ τις ἀντὶ τῶν ἀριθμῶν ἐξεδέξατο (αὐτὸ τῦτο τὸ εἰρημένον) τὰ εἴδη,

(1) Φυσικ. βιβλ. ά.
(2) Παρ' Ἀρις. βιβλ. ά. Μεταφ. Κεφ. ς'. καὶ ἀλλ.
(3) Πλῦτ. Α'. Ἀρεσκ. Κεφ. γ'.
(4) Αὐτ. αὐτ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἴδη, τὰ ἀπὸ τῆς μονάδος, ἤτοι τοῦ νοῦ κοσμηθέντα (1). ὁ δὲ τὰς ἰδέας, καθ' ἃς ἕκαστα δημιουργεῖται, ἃς εἰσῆγεν ὁ Πλάτων ὕστερον. (2) Ὁ δέ τις τέως καὶ αὐτὰς τὰς ἀτόμους. (3) Πλάτων δὲ ὁ ἐκ τῶν Πυθαγορείων ναμάτων, τῶν αὐτοῦ δογμάτων τὰ πλείω ἐξαρυσάμενος, ὅ,τε Σωκράτης (αἱ αὐταὶ γὰρ ἑκατέρου περὶ τοῦ παντὸς φέρονται δόξαι. (4) τρεῖς ἀρχὰς ὑπετίθεντο, τὸν Θεὸν, τὴν ὕλην, τὴν ἰδέαν· „ ἔστι δὲ ὁ Θεὸς νοῦς. Ὕλη δὲ τὸ ὑποκείμενον, πρῶτον γε-„ νέσει καὶ φθορᾷ. Ἰδέα δὲ οὐσία ἀσώματος ἐν τοῖς νοή-„ μασι καὶ ταῖς φαντασίαις τοῦ Θεοῦ. (5) Οὐδὲν γὰρ ἕτερον ἦν αὐτοῖς ἡ ἰδέα, ὅ,τι μὴ νόησις τοῦ Θεοῦ, καθ' ἣν ἡ ὕλη „ ἄμετρος οὖσα κατὰ τὸν ἑαυτῆς λόγον, ὡς κατὰ μέτρον ἄϋλον „ ἐξαπάττεται. (6) Ἐπάναγκες γὰρ ἦν κατὰ τοὺς Πλατωνικοὺς ταῦτα τὰ τρία θέσθαι ὅτι ὁ κόσμος μὴ ἐκ ταυτομάτου τοιοῦ-„ τος ὢν, οὐ μόνον ἔκ τινος ἐστὶ γεγονὼς, ἀλλὰ καὶ ὑπό τι-„ νος, καὶ πρός τι. (7) Καὶ οἱ Στωϊκοὶ δὲ οἱ ἀπὸ Ζήνωνος τοῦ Κιττιέως, τὴν μέν τινα ἀρχὴν ἐνεργητικὴν εἰσῆγον, ὃς ἦν αὐτοῖς Θεὸς, τὴν δὲ παθητικὴν, ἥτις ἡ ὕλη. Καὶ ἡ μὲν δραστήριος οἷά τις ψυχὴ τοῦ κόσμου αὐτοῖς ἐπρεσβεύετο, πῦρ καθαρώτατον, διὰ πάντων δηλονότι τῶν σωματικῶν ὄντων διήκουσα, πᾶσί τε τὴν κίνησιν, καὶ τὴν δύναμιν παρεχομένη, ἀφ' ἧς δὴ παγκοσμίου, καὶ ἡ τὸν ἄνθρωπον εἰδοποιοῦσα ψυχὴ, ἀποῤῥώξ τις οἷον ἀποτέμνεται, καὶ οὐ μόνη, καθόλου δὲ καὶ πᾶν ὅ,τι εἰδοποιόν ἐστιν ἐπὶ παντὸς σώματος. „ Διὸ καὶ πῦρ τεχνικὸν ἡ φύσις, ἤτοι τὸ καθόλου τοῦτο καὶ θεῖον εἶδος, τοῖς περὶ Ζήνωνα ὥρισται, πρὸς τὸ συνάγειν. Ἡ δὲ κατὰ τοὺς αὐτοὺς παθητικὴ ὕλη, ἁπλῆ τε ἦν, καὶ ἄμορ-

(1) Βουρνέτιος ἐν Ἀρχαιολογ. βιβλ. Α'. Κεφ. Θ'.

(2) Ἰάκωβος ὁ Βρουκέρος ἐν τῇ Συμφων. τῶν Ἀριθμ. τοῦ Πυθαγόρου, καὶ τῶν ἰδεῶν τοῦ Πλάτ.

(3) Κυδβόρτιος ἐν τῷ Νοερῷ Συστήματι.

(4) Πλούταρχ. Ἀρεσκ. βιβλ. Α'. Κεφ. γ'.

(5) Αὐτ.

(6) Ἀλκινόου Εἰσαγ. Κεφ. Θ'.

(7) Πλούταρχ. Ἀρεσκ. Βιβλ. Α'. Κεφ. ζ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μορφος, καὶ ἀκίνητος, καὶ αἰωνία, ὑπὸ τῆς θειοτέρας ἐκείνης καὶ δραστηρίου ἀρχῆς, κατὰ λόγους ἀναγκαίους τινὰς (ὕπεστι γὰρ τὸ πῦρ ἐκεῖνο τὸ θεῖον, τὸ διʼ ἁπάσης τῆς ὕλης διῆκον, τῇ εἱμαρμένῃ) ἐκμορφουμένη τε καὶ κινουμένη. Κεῖται δὲ ἡ δόξα παρὰ Πλουτάρχῳ. (1) „Οἱ γὰρ Στωϊκοὶ κοινότερον „Θεὸν ἀποφαίνονται πῦρ τεχνικὸν ὁδῷ βαδίζον, ἐπὶ γε„νέσει κόσμου ἐμπεριειληφότος πάντας τοὺς σπερματικοὺς „λόγους, καθʼ οὓς ἕκαστα καθʼ εἱμαρμένην γίνεται. Καὶ „πνεῦμα μὲν διῆκον διʼ ὅλου τοῦ Κόσμου, τὰς δὲ προσηγο„ρίας μεταλαμβάνον διʼ ὅλης τῆς ὕλης, διʼ ἧς κεχώρηκε „παραλλάξει. Θεὸν δὲ καὶ τὸν Κόσμον, καὶ τοὺς ἀστέρας, καὶ „τὴν γῆν. Τὸν δʼ ἀνωτάτω πάντων νοῦν ἐν αἰθέρι. Ἐπὶ τούτοις δὲ Ἀριστοτέλης αἰνιγμάτων τε καὶ ἀλληγοριῶν ἀπεχόμενος, σαφεστέραν ἡμῖν τὴν περὶ τῶν Μεταφυσικῶν Ἀρχῶν, εἰσήγησιν, ὡς εἶχε δόξης, προβάλλεται, τρεῖς ἀρχὰς ὑποτιθέμενος, τὴν ὕλην, καὶ τὸ εἶδος, καὶ τὴν στέρησιν. Καὶ „ὕλη μὲν αὐτοῦ ἡ μηδέτι, μήτε ποσόν, μήτε ποιόν, μη„δέ τι τῶν οἷς τὸ ὂν διορίζεται. (2) Θετικῶς δὲ ἀποδιδόν„τι, τὸ Α΄. ἐστὶν ὑποκείμενον ἐξ οὗ ἐνυπάρχοντος, κα„θʼ αὑτό, καὶ μὴ κατὰ συμβεβηκὸς γίνεταί τι, καὶ εἰς ὃ ἔ„σχατον ἀναλύεται. (3) Τὸ δὲ εἶδος, θεῖόν τι ἀγαθόν, „καὶ ἐφετόν ἐστιν αὐτοῦ. (4) καὶ λόγος ὁ τοῦ τί ἦν εἶναι. „(5) Καὶ ἐντελέχεια πρώτη, ἀρχὴ οὖσα τῆς δευτέρας ἐν„τελεχείας. (6) Καὶ τούτων τοίνυν ἀρχῶν, ἧ φασι, κειμένων τῶν κατὰ σύνθεσιν, ἐπὶ πάντων (τὰ γὰρ πάντα „φησὶν ἐξ ὑποκειμένου καὶ εἴδους (7)), φέρεταί τις καὶ τρίτη κατʼ αὐτὸν ἀρχὴ ἐφʼ ἑκάστης θεωρουμένη γενέσεως, ἡ στέρησις. Ἔστι γὰρ ἡ γένεσις μεταβολή τις ἀπὸ τοῦ μὴ εἶναι ἐπὶ τὸ εἶναι· ἐν ἑκάστῃ δὲ μεταβολῇ, καὶ τὸ μεταβάλλον ἐστί, καὶ τὸ ἀφʼ οὗ, καὶ τὸ εἰς ὃ μεταβάλλει. Καὶ μεταβάλλον μέν, τὸ ὑποκείμενον. Ἀφʼ οὗ δὲ ἡ στέρησις. Εἰς ὃ δὲ τὸ εἶ-

(1) Πλούταρχ. Ἀρεσκ. Βιβλ. Α΄. Κεφ. ζ΄.
(2) Μεταφ. Ζ. (3) Φυσικ. Α΄. Κεφ. θ΄.
(4) Αὐτ. (5) Β. Φυσικ. Α΄.
(6) Β. Περὶ ψυχ. Κεφ. α΄. (7) Α. Φυσικ. Κεφ. η΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἶδος. Μεταβάλλει δὲ τὸ μεταβάλλον ἤτοι κατὰ τέχνην, οἷον σχῆμα ἀμεῖβον, ἢ κατὰ ἀλλοίωσίν τινα φυσικωτέραν, τῶν ἐνυπαρχόντων αὐτῷ συμβεβηκότων τινὰ μὲν ἀποτιθέμενον, τινὰ δὲ καὶ τῶν μὴ προσόντων προσαποῤῥιζόμενον· ἢ κατ᾽ οὐσίαν, τῶν, ὧν περ πρότερον ἐπῆν αὐτῷ ἐπαισθέσθαι ὡς εἰδοποιῶν συνιδεῖν παρεχόμενον οὐδέν, ἤτι μόλις. Διὸ καὶ μεταβολὴ ἡ μὲν ἤκουσε κατὰ τέχνην, ἡ δὲ κατ᾽ ἀλλοίωσιν, καὶ ἑκατέρα ἐπουσιώδης. Ἡ δὲ κατὰ φύσιν καὶ οὐσιώδης, μέχρι τῆς πρωτίστης ὕλης, κατὰ ταύτην τῆς ἀναλύσεως χωρούσης, οὗ χάριν „ καὶ μεταβολὴ τοῦ ὅλου εἰς ὅλον ὥρισται. (1)

## Θεώρημα ΛΘʹ.

§. φπθʹ. „ Παντὶ σώματι, ὅπερ ἂν ὑπὸ τῶν ἐν τοῖς „ οὖσι δυνάμεων, φύσει τε καὶ οὐσίᾳ μεταβάλλειν δύναται, „ δισσαί τινες ἐξ ἀνάγκης ἔνεισιν ἀρχαὶ ἐξ ὧν σύγκειται, „ ἡ μὲν εἰδοποιοῦσά τε, καὶ διορίζουσα, ἡ δὲ εἰδοποιουμένη „ τε καὶ διοριζομένη.

Μεταβάλλειν γὰρ δὴ πεφυκός, ὧν μὲν ἐπ᾽ αὐτῷ πρότερον ἦν ἐπαισθέσθαι, οἴχεσθαι αὐτὰ δύναται, ὧν δὲ μή, προσεγγίνεσθαι. ( §. φπέ. ) Ὥστε προσεῖναι μὲν αὐτῷ ἅττα ἂν ἀπογένοιτο, προσιέναι δὲ εἰ τύχοι, καὶ ἃ ἂν ἐπιγένοιτο. Ταύτῃ δὲ τῆς προτέρας καταστάσεως τὴν δευτέραν διακρίνει τε καὶ διΐστησιν, ὡς δῆλον ἐστιν. Ἄρα ἐπὶ τοῦ οὕτω πεφυκότος μεταβάλλειν τό,τε διακρῖνον καὶ διαστέλλον, τό,τε διακρινόμενον, καὶ διοριζόμενον, ὅπερ ἦν τὸ Αʹ. καὶ τὸ Βʹ.

Ἄλλως. Μετάβασίς τις ἡ τοιαύτη μεταβολὴ ὡμολόγηται οὖσα. Καὶ ἔστιν ἄρα τὸ μεταβαῖνον κατ᾽ αὐτήν, καὶ τὸ ἀφ᾽ οὗ, καὶ τὸ εἰς ὅ. Ἀλλὰ μὴν ταῦτα ( τὸ ἀφ᾽ οὗ λέγω, καὶ τὸ εἰς ὅ. ) ὡς ἀντικείμενα καὶ διορίζοντα ἐστί. ( §. τοά. ) Τὸ δὲ διορίζον συνεισάγειν οἷον ἐστί, τὸ διοριζόμενον. (§.τπʹ.) Ἄρα κτ.

Ἀλ-

(1) Α. Περὶ Γεν. καὶ Φθορ. Κεφ. Δʹ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἄλλως. Ἐξ ἀναλογίας ἀπὸ τῶν κατὰ τέχνην, καὶ ἐπὶ τῶν κατὰ φύσιν, αὐτὰ δὴ ταῦτα, τὸ διορίζον τε καὶ τὸ διοριζόμενον, κατασκευάζειν εἰώθασι.

## Πορίσματα.

§. φγ'. Α'. Παντὶ ἄρα τῷ οὕτω μεταβάλλοντι, ἔνεστιν ὕλη καὶ εἶδος. ( §. φπδ'. ) ἐξ ὧν αὐτῷ ἡ σύνθεσις ὡς ἀρχῶν.

Β'. Ἐπεὶ δὲ πολλὰ ἐν τῷ παντὶ οὕτω μεταβάλλει, ( §. φπϛ'. ) Ἀρχαὶ ἄρα εἰσὶν ἡ ὕλη καὶ τὸ εἶδος, τῆς τῶν ἐν τῷ παντὶ σωμάτων συνθέσεως.

Γ'. Ἐπεὶ δὲ ἡ ὕλη καὶ τὸ εἶδος ἀρχαὶ ἀπεδείχθησαν οὖσαι μεταφυσικαί τε καὶ πρῶται· ( §. φπζ'. ) αἱ ἀρχαὶ ἄρα αἱ μεταφυσικαί τε καὶ πρῶται λεγόμεναι, οὐ κενά τινα ἐπινοίας ἐστὶν ἀναπλάσματα, ἀλλ' αὐτοῖς τοῖς σώμασι φύσει ἐνυπάρχουσαι εἰσὶ, τὸ μὲν φύσει ἐξ αὐτῆς τῶν πραγμάτων τῆς οὐσίας, κατὰ συνυπόστασιν ἔχουσαι, ( §. ρμέ. καὶ ρμϛ'. ρμζ'. ) τὸ δὲ μεταφυσικῶς, ἐξ αὐτῆς τῆς κατὰ τὸν νοῦν ἀφαιρέσεως ( §. φπζ'. ) κατὰ τὴν ἀπ' ἀλλήλων τῇ ἐπινοίᾳ γινομένην διαίρεσιν.

## Θεώρημα Μ'.

§. φϙά. „ Κἂν σώματα ἐν τῷ παντὶ τοιαῦτα τινὰ ὑ„ ποτεθῇ, οἷς αἱ ἐν τῇ φύσει δυνάμεις, οὐδεμίαν μεταβο„ λὴν ἐμποιῆσαι οἷαί τε εἰσὶ, τὰς αὐτὰς οὐδὲν ἧττον ἔχοι „ ἂν καὶ ταῦτα ἀρχὰς τῆς ἰδίας ἑαυτῶν συστάσεως, ὕλην „ τε φημὶ καὶ εἶδος, τὰς μεταφυσικὰς, καὶ πρωτίστας.

Σῶμα γὰρ, ὕλη ἐστὶ μετὰ διορισμοῦ τεθεῖσα, τοῦ κατ' εἶδος, καὶ σχῆμα, καὶ μέγεθος, καὶ τὰ λοιπά. ( §. φιά. ) Ἦν ἂν ἄρα, κἀπὶ τοῖς ὑποτιθεμένοις σώμασι, καίτοι φύσει ἀπαθέσιν, ἑκάτερον, τό,τε διορίζον φημὶ, καὶ τὸ διοριζόμενον. Οὐκοῦν καὶ ἡ ὕλη, καὶ τὸ εἶδος. ( §. φπδ'. ) Ἄρα κτ.

Ὅρα καὶ §. ρκά. καὶ ρκβ'.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Πορίσματα.

§. φυβ΄. Α΄. Καὶ ἡ Ε΄. τοίνυν, καὶ αἰθερεία καλυμένη ὕλη, τῆς αὐτῆς οὐμοιρήσει τουτωνὶ γενικωτάτων ἀρχῶν, ὕλης τε φημὶ καὶ εἴδους, σῶμα οὖσα καὶ αὐτὴ, κᾂν ὅτι ἀπλούςατον.
Β΄. Καὶ κοινὴ ἄρα ἐπὶ πάντων τῶν τε ὑπὸ σελήνην, καὶ τῶν ὑπὲρ τὴν σελήνην οὐδὲν ἧττον σωμάτων, ἡ ά. μεταφυσικὴ ὕλη· ἡ αὐτὴ ἐνοῦσα τοῖς πᾶσι καὶ ὁμογενής. Ταύτῃ τοι καὶ εἰ Ε΄. λέγεται ἐπ᾽ ἐκείνων, ὡς ὕλη δευτέρα τοῦτο δεόντως ἀκούσεται, καὶ κατ᾽ ἀντιδιαςολὴν πρὸς τὰς ὑπὸ σελήνην δευτέρας τέσσαρας, τουτέςι τὰ ςοιχεῖα, οὐ μὴν δὲ, καὶ ᾗ τῆς ά. ἀντιδιῄρηται.

## Θεώρημα ΜΑ΄.

§. φυγ΄. „ Υποκεῖσθαι δὴ οὐσίας σωματικὰς φύσει ἀτό-
„ μους ἐν τῷ παντὶ ἀποφαινόμεθα.
Καὶ γὰρ εἰ μὴ τινὰ εἶναι τεθῇ ἐν τῷ παντὶ σώματα φύσει ἄτομα, οὐκ ἔςαι ἐν τῇ φύσει τὰ μέρη μὲν ὄντα, ὅλα δ᾽ οὐχί. Ἀλλ᾽ ἔςι δὴ ( §. υθ΄. υί. ) Ἄρα κτ.
Ὅρα καὶ ἐν §. υκς΄. καὶ υκζ΄.

## Σχόλιον.

§. φυδ΄. Υφίςασθαι μὲν οὖν ἐν τοῖς σώμασι τὰς φυσικὰς ταύτας ἀτόμους, κομιδῇ ἀποδεδειγμένον οἴεται ὁ νεώτερος Οὐολτέριος. (1) Ἣν γὰρ ὑποθείημεν κύβον, φησὶ, τοσαύτην ἔχοντα τὴν ὕλην, ὁπόσους τοὺς πόρους ( ὡς γὰρ ὁμόλογον αὐτῷ λαμβάνεται, ἐπὶ παντὸς σώματος πλεονεκτοῦσιν τούτους ὑπὲρ ἐκείνην, εἴγε καὶ τὸ δεκάκις ἐννάκις τοῦ τῶν σωμά-

(1) Οὐολτέριος ἐν τοῖς Στοιχείοις τῆς Φιλοσοφ. τοῦ Νεύτωνος Κεφ. ί.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μάτων ἁπάντων ὑπερβεληθεστάτου χρυσοῦ, κουφότερον ὕδωρ, διὰ τῶν πόρων ἐκείνου θλιβόμενον διηθεῖσθαι, διὰ πείρας σαφοῦς πάντες ἴσασι.) φανερὸν ὡς ὁ κύβος, τῆς φαινομένης ὕλης πράγματι ἕξει τὸ ἥμισυ. Ἢν δὲ διχασθῇ τὸ τεταρτημόριον. Ἢν δ' αὖθις ὑποδιχασθῇ ὀκτημόριον. Ἐπ' ἄπειρον ἄρα τεμνόμενος ὁ κύβος, εἰς τὸ μηδὲν ὅλως ὕλης ἔχειν τελευτῶν ἀπολήξει. Καὶ στήσεται ἄρα, ἵνα μὴ τὸ ἄτοπον ἕψηται, τὰ τῆς διαιρέσεως, ἐπί τι μόριον, ὃ ἀνάγκη ὁλόπληρες εἶναι καὶ πάντη ἄπορον. Ἄλλως τε καὶ δυοῖν πόρων μεταξὺ φησὶν, ἤτοι σῶμα εὑρήσομεν, ἢ οὐχί. Ἀλλ' εἰ μὴ, οὐδ' ὕλη ἄρα παρῆν, καὶ ὁ πόρος εἷς. Εἰ δὲ τοὐναντίον, τὸ ἄρα ἐμπίπτον σωμάτιον πόρων ἀμοιροῦν, οὐδεμιᾷ διαιρέσει ὑπείκει, καὶ ἄτομον ἐστὶν, ὡς ὑπ' οὐδεμιᾶς τῶν ἐν τῇ φύσει δυνάμεων τμηθῆναι δυνάμενον. Ἔχει δὲ οὕτως εἴτις ἀκριβῶς σκοποίη, καθ' ὁποῖον γὰρ ἂν ἧς ἔχει ἐκτάσεως μέρος τὸ ἄπορον αὐτὸ, τὴν τομὴν ὑποσταίη; ἤτοι γὰρ δήπου κατὰ πάντα, ἢ κατὰ μὴ πάντα, ἢ κατὰ μηδέν. Ἀλλὰ κατὰ μὲν πάντα οὐκ ἂν ἔχοι, μὴ ἐξὸν τὴν ἔκτασιν εἰς ἅπαντα αὐτῆς τὰ μέρη ἐνεργείᾳ τμηθῆναι, δυναμένην ἐπ' ἄπειρον διαιρεῖσθαι, ᾗπερ αὐτοῖς δοκεῖ. Ἀλλ' οὐδὲ κατὰ μὴ πάντα, τινὰ δὲ, ὑποτιθεμένου γὰρ τοῦ διαιρετικοῦ ὅλη ἐπιχειρεῖν τῇ ἀτόμῳ, ἀποκληρωτικὸν ἂν εἴη, τὸ τάδε μὲν ἐπ' αὐτῆς διαιρεῖσθαι λέγειν, τάδε δὲ μὴ, καὶ τέμνεσθαι μᾶλλον ὧδε, ἢ ὧδε. Ἢ ὅτι ὧδε μὲν πόρος καὶ ὀπὴ, ἐκεῖσε δὲ οὔ; ἀλλ' ὑπετέθη δὴ μεταξὺ τῶν δύω προσεχῶν, τρίτον πόρον ἐμφιλοχωρεῖν μηδένα. Ἢ τέως ὅτι ὧδε μὲν μανώτερον τὸ σωμάτιον, καὶ μᾶλλον ἄτονον, ἧττον δ' ἀντέχον πρὸς τὴν διαίρεσιν, ἐκεῖσε δὲ πυκνότερόν τε καὶ ἀπαθέστερον; ἀλλ' ἤδη καὶ τὸ μᾶλλον καὶ ἧττον τῆς πυκνότητος, τοῖς πόροις συναποκέκρουσται. Λείπεται ἄρα τὸ γ΄. εἰπεῖν ἐξ ἀνάγκης, ὅτι κατὰ μηδὲν ἂν τῆς κατ' αὐτὸ ἐκτάσεως σημεῖον διαιρεθείη, οὐδεμιᾷ τῶν ἐν τῇ φύσει δυνάμεων τὸ ἁπλοῦν σωμάτιον. Καὶ ταύτῃ μὲν ταῦτα, τὰς δὲ κατὰ φύσιν ἀτόμους ὑφεστάναι ἐν τοῖς οὖσι, καὶ πεῖρα κατασκευάζει ἀμφιλαφής. Ἡ γὰρ καθεστῶσα τοῦ παντὸς μορφή τε καὶ τάξις, καθ' ἣν ἐκ τῶν φθορᾷ διαλυομένων, ἀεὶ παραπλήσια τοῖς εἴδεσιν ἀντικαθίσταται, καὶ κατὰ χρόνους τεταγμένους, καὶ τὰς αὐτὰς πλουτοῦντα δυ-

νάμεις τε, καὶ ἐνεργείας, καὶ ἰδιότητας, πῶς οὐ λαμπρὸν ἐστὶ μαρτύριον, τοὺς πρώτους τῶν σωμάτων ἶνας οὕτως εἰπεῖν, ἀστρέπτους, καὶ ἀμεταβλήτους διαρκεῖν, καὶ ἀεὶ τοιούτους; Ἀπαραλλάκτως γὰρ ἀεὶ γεννᾶται τὰ ζῶα, ἐπίσης τε αὔξει κατὰ εἴδη τρεφόμενα, καὶ ἐπιδόντα ἄχρι τινὸς πάλιν φθίνει, καὶ διαφθείρεται. Καὶ φυτὰ ὁμοίως βλαστάνει καὶ φύεται κατὰ γένος καὶ καθ᾽ ὁμοιότητα, καὶ θάλλει, καὶ ἀκμάζει εἰς τελειότητα ἥκοντα τὴν κατὰ τὰ ἐν αὐτοῖς προσήκουσαν σπέρματα, καὶ φυλλοφορεῖ, καὶ καρπογονεῖ, ἐν ὥραις ἐπετείοις, κατὰ τὴν τῶν κλιμάτων διαφορὰν ἀεὶ ταῖς αὐταῖς, καὶ ἐν χώραις ταῖς καταλλήλοις καὶ προσφυέσι, καὶ ἐν μέτρῳ χρόνου τῷ δέοντι. Καὶ τ᾽ ἄλλα ὡσαύτως. Εἰ δέποτ᾽ ἦν τὰς ἁπλουστάτας φύσεις ἐξ ὧν αὐτὰ, τῇ ἀναλύσει καὶ ταύτας ὑπεικούσας, ἀποτριβομένας, καὶ ἐπὶ μᾶλλον ἀεὶ καὶ μᾶλλον ἐκλεπτυνομένας, μέγεθός τε καὶ σχῆμα πως ἀμείβειν, (εἰκὸς δὲ εἰ τομῆς ἐτύγχανον δεκτικαὶ, τοῦτο πάσχειν διηνεκῶς κινουμένας, προσαρρασσομένας τε ἀλλήλαις, καὶ συγκρουομένας· τοσούτῳ τε μᾶλλον, ὅσῳπερ ὁ τῆς ἐπιφανείας λόγος, ἀεὶ ἐπαύξων αὐταῖς τῇ τῶν ὄγκων ἀπομειώσει, εὐχερεστέραν καθίστη αὖ τὴν διαίρεσιν). Ἔδει δήπου ἐκ τοῦ ἀκολούθου προϊόντος τοῦ χρόνου, τάχιον μὲν τρέφεσθαι καὶ αὔξησιν, ὅσα τροφὴν καὶ αὔξησιν ἐπιδέχεται, θᾶττον δὲ καὶ ῥᾴδιον τελεῖσθαι τὰς τῶν τρεφομένων διαφορήσεις τε καὶ ἐξαναθυμιάσεις· εὐρούστερα δὲ τὴν σύστασιν καθίστασθαι τὰ ῥοώδη, καὶ ὑγρότερα τὰ ὑγρὰ, καὶ τὰ ναστὰ καὶ πάγια ἧττον στερρὰ καὶ ἀντίτυπα, καὶ συνελόντι φάναι ἑτεροῖα τινὰ προσῆκε διαμορφοῦσθαι τὰ πάντα ἤδη, καὶ μακρῷ τῶν πρὶν διαφέροντα. Φέρε γὰρ τετρίφθω (1) ὑπολεπτυνθεὶς εἰς κόνιν οἵαν ἔτι παχυμερεστέραν λίθος ὁ μάρμαρος, καὶ τῆς αὐτῆς μέρος εἰς λεπτοτέραν, καὶ ἐκ ταύτης κόνις ἔτι τρίτη συνεστάσθω, δυεῖν τοῖν προτέροιν τῇ λεπτότητι διαφέρουσα· τούτων δὲ ἑκάστη χωρὶς κατὰ μέτρον ἴσον ληφθεῖσα, κηρῷ καὶ αὐτῷ ἰσομέτρῳ, πυρὸς δυνάμει ἐντακέντι συμμεμίχθω. Τί δῆτα; τριττὸν εἶδος φυράματος,

ἀέρος

(1) Μουσχεμβροίκ. Στοιχ. τῆς Φυσικ. Κεφ. β΄. §. 26.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀέρος ψύχει παγιωθὲν, ἐντεῦθεν ἡμῖν συσαθήσεται, ἐπισήμως σερρότητι διαφέροντος. Τί τοίνυν οὐχὶ παραπλήσιόν τι, κἀπὶ τῆς ἐκφύσεως τῶν φυτῶν, καὶ τῆς γενήσεως τῶν ζώων, καὶ τῆς συμπήξεως τῶν μετάλλων, καὶ τῆς συγκρίσεως τῶν ἄλλων σωμάτων, πάρεσι καθορᾷν ἐν τῇ φύσει συμβαῖνον, εἰς τὸ διηνεκὲς προαγομένης ἐν τῇ φύσει, τῆς τῶν ἀπλουσάτων σωματίων τριβῆς, καὶ διαλεπτύνσεως; Ἀλλὰ „γάρ ἐς τ' αὖ ὕδωρ τε νάη, καὶ δένδρεα μακρὰ τεθήλη ἀκλινὴς ἐσήξει ἡ φύσις, ἐν οἷς ὑπὸ τοῦ πήξαντος ἐτέθη, ῥιζώματ' ἔχουσα, ἀτρέπτων ἐν αὐτῇ σωζομένων τῶν ἁπλουσάτων σοιχείων, ἐξ ὧν ἕκασα συγκεκρότηται. Καὶ γὰρ καὶ τὸ σωμάτων ἁπάντων ὁμολογουμένως δρασικώτατον πῦρ, τὸ διὰ πάντων μονονοῦ διῆκον καὶ πάντα καταναλίσκον, τὰ μὲν ἐκ τῶν ἁπλουσάτων ἐκείνων σύνθετα ὄντα, ἀναλῦσαι δύνήσεται εἰς τὰ ἐξ ὧν συνέστηκεν, ἐκείνων δὲ οὐκ αὖ κατισχύσειεν, ἀλλ' ἀδάπανα παρέρχεται, καὶ ἀλώβητα παρεᾷ ἥπερ ἔχει φύσεως, ἐξ ὧν αὖθις συνιόντων, ἡ προτέρα μορφή τε καὶ φύσις, τοῖς συνθέτοις ἀποκαθίσαται. Τὸν γὰρ χρυσὸν, καὶ τ' ἄλλα μέταλλα, καὶ μετὰ τὴν ἀνάλυσιν τοιοῦτον ἀπέδωκε, καὶ τὰ μὲν μέρη ἀλλήλων διέσησε τῆξαν, ἠρεμοῦσί τε τὸ πρὶν, κινήσεως αὐτοῖς ἐκοινώνησε, τὰ δὲ ἁπλούσατα ἤκισα ἔτρεψε. Καὶ τὸ ὕδωρ δὲ ὡσαύτως εἰς ἀτμοὺς ἦρεν ἀπολεπτῦναν, τὰ δὲ πρώτισα τῶν ἐν αὐτῷ μορίων ἀπαραλύμαντα εἴασεν. Συνιόντα γὰρ ὑπὸ ψύχους ἀλλήλοις ὕσερον εἰς ψεκάδας κατήχθη, καὶ ὕδωρ οἷόν περ ἦν καὶ πρὸ τῆς ἐξατμίσεως ἀνεφάνη. Ἀλλὰ καὶ ὑδράργυρος εἰς ἀναθυμιάσεις ἀρθεὶς, αὐτῇ τῇ συνελεύσει τῶν μορίων ὤφθη, ὑδράργυρος. Καὶ οἴνου πνεῦμα ἀκριβῶς καθαρὸν, πλέον ἢ ἑκατοντάκις διασαλαχθὲν, οὐδὲ φύσιν, οὐδὲ ποιότητα τὴν ἰδίαν ἀπέθετο, οὐδὲ δύναμιν τὴν προτέραν· βαφαί τε αἷς οἱ βαφεῖς ἐπιχειροῦσι, καίτοι ὑπερτριβεῖσαι, τὰ πρῶτα σωμάτια ἀτριβῆ κατέχον, οὐδὲν τὸ ἄνθος ἀμείψασαι. Καὶ κόνις δὲ ἡ ἐκ λίθου μαγνήτου, πυρὶ δρασηρίῳ ἀποτεφρωθεῖσα, καὶ ἅλατι ὀξεῖ τῷ ἐκ θαλάσσης συγκραθεῖσα, καὶ νίτρου πνεύματι, δι' ἡμερῶν τε πλειόνων μετεωρισθεῖσα, πεφθεῖσα, διακριθεῖσα, ἧς ἔλαχε φύσει δυνάμεως ἐγκρατὴς εἰς τέλος ἐγένετο. Οὐδὲ γὰρ ἐπὶ ποσὸν ἀμβλυνθείσης τε καὶ



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐξασθενησάσης, εὐτόνως εἷλκυε τὸ σιδήριον. Ὥστε καὶ τὸν παντοίαις μηχαναῖς ἀπομαγνητῶσαι πεπειραμένον, (Μυσχεμβροέκιος δὲ οὗτος ἦν ὁ Ὀλλανδὸς, ὁ περὶ τὸ ἐμπειρικὸν τῆς Φυσιολογίας εἶδος ἐν Νεωτέροις πάνυ θρυλλούμενος), ὡς οὐδὲν ἤνυσεν, ἀναβοῆσαι τέως, τὸν μαγνήτην, ὅπως αὖτις καὶ χρήσαιτο, αὐτὸ τοῦτο μένειν, οἷος περ ἦν μαγνήτης. (1) Ἐξ ὧν δὴ πάντων ὁμολογεῖν ἐπάναγκες ὑφεστάναι τῷ παντὶ σωματικὰς φύσεις ἁπλουστάτας, ἀναλλοιώτους, πάντῃ ἀτόμους, ὧν ἡ μὲν μίξις καὶ κρᾶσις τὴν γένεσιν, ἡ δὲ διάζευξις καὶ διάστασις τὴν φθορὰν τοῖς συνθέτοις χαρίζεται.

## Θεώρημα ΜΒ′.

§. φυέ. „ Τὰς ἀτόμους σωματικὰς οὐσίας ἀρχάς τε εἶ-
„ ναι τῶν φύσει ὄντων διατεινόμεθα, μεταφυσικῶς μὲν
„ δευτέρας, φύσει δὲ πρώτας, ἃς δὴ καὶ μηχανικὰς ἀρχὰς,
„ (ὃ τοῖς ὕστερον συνήθες) ἀποκαλεῖν οὐκ ἀπαξιοῦμεν.

Δευτέρας γὰρ τὰς ἐξ ἄλλων ἁπλουστέρων φαμέν. (§. φπγ′.) Αἱ δὲ ἄτομοι σωματικαὶ φύσεις, ἐξ ὕλης εἰσὶ καὶ εἴδους. (§. φυά.) Ὕλη δὲ καὶ εἶδος ἀρχαὶ εἰσὶ μεταφυσικαί. (§. φπζ′.) Αἱ ἄρα ἄτομοι κτ. ἀρχαὶ εἰσὶ μεταφυσικῶς δεύτεραι. Ὃ τὸ Α′.

Πρώτας δὲ εἶναι φαμὲν τὰς μὴ ἐξ ἄλλων. (§. φπγ′.) Αἱ δὲ ἄτομοι φύσει οὖσαι τοιαῦται, οὔτ᾽ ἐξ ἄλλων αὖ προτέρων συγκροτηθεῖσαι, οὔτ᾽ εἰς ἄλλας αὖ ἀναλυθεῖσαι ἁπλουστέρας ὑπὸ τῶν ἐν τῇ φύσει δυνάμεων. (§. φυγ′. φυδ′.) Αἱ αὐταὶ ἄρα καὶ φύσει πρῶται. Ο. Η. τὸ Β′.

Μηχανικαὶ δὲ ἀρχαὶ ἀκούουσιν, αἱ αἰσθήσει μὲν μηδαμῶς, φαντασίᾳ δὲ μόνῃ ληπταὶ (§. φπγ′.) ἐξ ὧν ἀμέλει ἐκτεταμένων, καὶ ἐσχηματισμένων, καὶ παντοίως διατιθεμένων καὶ προσαρμοζομένων ἕκαστα οἷον τεχνουργεῖται. Τοιαύ-

(1) In Transactionibus Philosoph. Num. 97. Ὅρα καὶ ἐν τῷ Θεάματ. τῆς Φύσεως ἐν Ἱστορίᾳ τῇ τοῦ Οὐρανοῦ Βιβλ. β′.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τοιαύτας δὲ τὰς ἀτόμους εἶναι βουλόμεθα, μὴ αἰσθητὰς μὲν ἰδίᾳ οὔσας παρὰ τὴν τοῦ ὄγκου σμικρότητα, φαντασίᾳ δὲ ληπτάς, διὰ τὴν κατὰ τὸ σχῆμα ἀποπεράτωσιν. Ἄρα καὶ τὸ Γ΄.

## Σχόλιον.

§. φυϛ΄. Τὸ περὶ τῶν ἀτόμων δόγμα, ἐπὶ Μόσχον τινὰ Φοίνικα τὸ γένος πρὸ τῶν Τρωϊκῶν ἠκμακότα ἀνάγουσι. (1) Μεθ᾽ ὃν δή, οὐ μόνον Δημόκριτον, καὶ τοὺς ἄλλους ὅσοι περιφανεῖς ἐγένοντο τῆς δόξης προστάται τοῦ ἐπωνύμου τῶν Ἀτομιστῶν γνωριζόμενοι, ἀλλὰ καὶ Πυθαγόραν αὐτόν, καὶ Πλάτωνα, καὶ Ἡρακλείδην, καὶ Ἐμπεδοκλῆν, καὶ Διόδωρον τὸν ἐπικληθέντα Κρόνον, καὶ Ἀσκληπιάδην, καὶ πλείστους ὅσους τῷ ἀρχαιοτάτῳ Μόσχῳ συνατομολογῆσαι φασίν, (2) οὐδὲ αὐτοῦ Ἀριστοτέλους ἐξῃρημένου, εἴγε καὶ αὐτοῦ μοριολογοῦντος ἐφ᾽ ἕκαστα τῶν φαινομένων, ἀκούειν ἐστίν. Ἀλλὰ γὰρ περὶ τούτων ἴσως αὖτις καὶ ἐνδοιάσειε, Λεύκιππον δέ, καὶ Δημόκριτον, καὶ Ἐπίκουρον ἐν Ἀρχαίοις, τῆς Ἀτομικῆς Φυσιολογίας προστάτας διασημοτάτους ἀναδειχθῆναι οὐδεὶς ἀγνοεῖ. Ὡς οὐδὲ Μαϊγνάνιον, καὶ Γασσένδον, καὶ τοὺς περὶ Νεύθωνα πάντας ἐν τοῖς ὕστερον. Μόνοις τοῖς ἀμφὶ τὸν Καρτέσιον καθ᾽ ἡμᾶς τὸ δόγμα οὐκ ἄραρεν, τοῖς διηνεκῆ τε καὶ πέρατος ἄνευ, τῆς ὁμογενοῦς παρ᾽ αὐτοῖς ὕλης τὴν διαλέπτυνσιν προχειριζομένοις, καίτοι οὐδὲ αὐτοῖς δίχα τῆς τῶν βραχυτάτων μορίων ποικίλης διαθέσεως, οὐδὲ τὸ τυχὸν ἐπὶ τῶν φυσικῶν αἰτιολογοῦσιν. Ἐπὶ τούτοις οὐδ᾽ ἡ παρὰ τοῖς Γερμανοῖς ἔσχατον ἀκμάσασα αἵρεσις, τῶν ἀτόμων πάντη ἀπέσχετο. Καὶ γὰρ καὶ ταύτης ὁ σχηματίσας προήγορος Λεϊβνίτιος ἐκεῖνος, Οὐόλφιός τε ὁ μετ᾽ ἐκεῖνον θερμὸς συνήγορος γενόμενος, ἐξ ἀτόμων τινῶν καὶ αὐτοί, ἃς μονάδας καλοῦσι, τὰ

(1) Στράβ. βιβλ. ιϛ΄. Καὶ ὁ Στωϊκὸς Ποσειδώνιος, παρὰ Σέξτῳ τῷ Ἐμπειρ. βιβλ. η΄. κατὰ τῶν Μαθημάτων.

(2) Ὅρα Φουρτουνάτον Ἀβείξια §. 518.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὰ σώματα πάντα συγκεκροτῆσθαι φασίν. Αἱ δὲ μονάδες ἐσίαι τινὲς αὐτοῖς ὑποτίθενται ἁπλαῖ, δυνάμεσί τισιν ἐνεργητικαῖς οἷον ἐνεψυχωμέναι. Μονάδων δὲ εἴδη τέτταρα καταλέγεται, τὸ μὲν πρώτισον ὁ Θεός, ἡ πρώτη, καὶ ὑπερτάτη, καὶ μόνη μονάς, ἡ ἐν ἁπλυσάτη μιᾷ προσβολῇ ἐν ἀκαρεῖ ἀκριβῶς, καὶ ὑπερτελῶς τῶν δυνατῶν ἁπαξαπάντων ἐσα καταληπτική, αὐτὴ ἄληπτος. Δεύτερον δὲ εἶδος, ὃ τὰς λογικὰς ἐςὶ περιέχον μονάδας, ὅσαι λόγῳ δηλονότι κεκοσμημέναι ψυχαί, τὸν ἐξώκοσμον σαφῶς τε καὶ διακεκειμένως νοεῖν πεφύκασι. Γ΄. δὲ εἶδος, τὸ τῶν ἐν τοῖς κτήνεσι ψυχῶν ἐςὶ τῶν ἀλόγων, αἳ σαφῶς μέν, μὴ διακεκειμένως δὲ τὰ σωματικὰ τῶν ὄντων, ἀνατυπέμεναι ἰνδάλλονται. Τὸ δὲ δὴ Δ΄. καὶ ἔσχατον εἶδος, τὸ τῶν σωματικῶν μονάδων ἐςὶ περιεκτικόν, ἐξ ὧν δηλ. καίτοι μὴ σωμάτων ὄντων, μηδὲ ὅλως ἐκτεταμένων, κατ' αὐτὰς, ἧπερ εἴρηται (§. φις΄.) ἀσχηματίςων δέ, καὶ ἀδιαιρέτων, καὶ ἀκριβῶς ἁπλυσάτων, μόνης δὲ κινητικῆς τινὸς δυνάμεως εὐμοιρεσῶν, αἱ φύσεις αἱ σωματικαὶ συνεςήκασι. (1) Τέτων ἐν τῶν κατὰ τὸ Δ΄. Εἶδος μονάδων, ἃς καὶ φύσεως ἀτόμες ἐκάλει Οὐόλφιος (2), ἀντιδιαςείλας τὰς ἀτόμες τὰς ἐνύλες (περὶ ὧν ὁ λόγος ἡμῖν) ἀρχὰς ταύτας δευτέρας μέν, καὶ ἐκ τῶν τῆς φύσεως ἐκείνων συνιςαμένας, φυσικῶς δέ γε πρώτας, (ὡς εἰς αὐτὰς τῶν ἐν τῇ φύσει διαιρέσεων ἀπολη γεσῶν) ἐτίθετο. Οὕτω μὲν ἐν πρὸ πολλῦ τε, καὶ παρὰ πολλοῖς, τῦ περὶ τῶν ἀτόμων δόγματος ἐκνενικηκότος, πάρεργε ἂν εἴη καὶ τὴν διαφορὰν τῶν περὶ αὐτὸ δοξασμάτων καταμαθεῖν, ἐπεὶ μὴ αὐδὲ διαφορᾶς φέρεται πρεσβευόμενον. Τοῖς μὲν γὰρ Παλαιοῖς τά,τε ἄτομα ἄπειρα τῷ πλήθει, τό,τε κενὸν ἄπειρον τῷ μεγέθει εἰσήγετο. (3) „ Ἐκεῖνα δὲ σώ-„ ματα λόγῳ θεωρητὰ (ἐ γὰρ αἰσθητὰ δηλονότι) ἀμέτο-„ χα κενῦ (ἅτε δὴ πόρων ἄμοιρα) ἀγέννητα, ἀΐδια, „ ἀφ-

(1) Βυδδ. Ἐπιτομ. Φιλοσοφ. Ἱςορικ. Κεφ. ς΄. Παραγρ. 31. Ὅρα ἐν τε Πρακτ. τῆς ἐν Λειψίᾳ Ἀκαδημ.
(2) Κοσμολογ. §. 186.
(3) Πλέταρχ. Ἀρεσκ. Βιβλ. Α΄. Κεφ. ιγ΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

,, ἄφθαρτα, ὅτε θραυσθῆναι δυνάμενα, ὅτε διαπλασμὸν
,, ἐκ τῶν μερῶν ( ὐδὲ γὰρ ἔχει μέρη. ) λαβεῖν, ὅτε ἀλ-
,, λοιωθῆναι. Συμβεβηκέναι δὲ τοῖς σώμασι ( νόει μοι
,, τοῖς ἀτόμοις ) Ἐπίκυρος μὲν σχῆμα ἔλεγε, καὶ μέγεθος,
,, καὶ βάρος, Δημόκριτος δὲ δύω, μέγεθός τε, καὶ σχῆμα.
,, Εἶναι δὲ τὰ σχήματα τῶν ἀτόμων ἀπερίληπτα, ὐκ ἄπει-
,, ρα· μὴ γὰρ εἶναι μήτε ἀγκιστροειδῆ, μήτε τριαινοειδῆ,
,, μήτε κρικοειδῆ. Ταῦτα γὰρ σχήματα εὔθραυστα ἐςίν.
,, Αἱ δὲ ἄτομοι ἀπαθεῖς, ἄθραυςοι. (1) Καίτοι κατ' ἄλ-
λυς τὰ τῶν ἀτόμων σχήματα μικρῦ δεῖν ἀπερίληπτα (2) εἰ-
σάγεται, τῶν μὲν γωνιωδῶν, τῶν δὲ μή, καὶ τῶν μὲν ἐπι-
πεδοειδῶν, τῶν δὲ σφαιροειδῶν, καὶ τῶν μὲν λείων, τῶν δὲ
τραχειῶν, καμπυλοειδῶν, ἀγκιςροειδῶν, καὶ παντοίως ἄλ-
λως μεμορφωμένων. Ἐνῦσης δὲ φύσει, κατ' αὐτὺς, καὶ ὁρ-
μῆς ταῖς ἀτόμοις, φέρεσθαι πλαγίως ἀεὶ αὐτὰς ὁ Δημόκρι-
,, τος ᾤετο· ὁ δ' Ἐπίκυρος καὶ βάρος αὐταῖς προσετίθει, καὶ
,, τὰς μὲν κατὰ ςάθμην, τὰς δὲ κατὰ παρέγκλισιν, τὰς
,, δὲ κινυμένας ἄνω κατὰ πληγὴν, καὶ κατὰ παλμὸν κινεῖ-
,, σθαι ἐτόπαζεν. (3) Τοῖς δέ γε Νεωτέροις ταῦτα συνάδυ-
σι, τό, τε μὴ ἀϊδίυς, ὑπὸ δὲ τῦ αἰτίυ παρῆχθαι λέγειν
αὐτὰς, καὶ παραχθείσας κινηθῆναι, καὶ ὅτε ἐν τῷ ἀπείρῳ
εἶναι, ὅτε ἀπείρυς, τἄλλα ὐδὲ αὐτοῖς ὁμονοῦσιν ἐντυχεῖν
ἔςαι. Ἐπεὶ ὁ μὲν Γασσένδος, καὶ τὸ κενὸν αὐταῖς συνυ-
πέθετο, ὁ δὲ Μαϊγνάνιος ὐχ ὅπως ἀκενὺς, ἀλλὰ καὶ ἐν
τῷ παντὶ ἀκενῷ, καὶ δι' ὅλυ πλήρει φερομένας εἰσήνεγ-
κεν, ὕλην τινὰ πάνυ ὑγρὰν τὴν πληρῦσαν τὰ διαςημά-
τια, δι' ὅλης τῆς φύσεως ἐνδιαχέας. Κἀκείνῳ μὲν ἐκτά-
σεως ὐκ ἠμοίρησαν, τῷ δὲ κατὰ τὰς λεϊβνιτείυς μονάδας
πάντη εἰσὶν ἀπλῦςαται. Καὶ τῷ μὲν ὁμοφυεῖς αἱ πᾶ-
σαι, καὶ πλὴν ἢ σχῆμα καὶ ἔκτασιν, ὐδὲν ἀλλήλων διενήνο-
χῦαι, τῷ δὲ καὶ τὴν φύσιν αὐτὴν διαφέρυσαι, καὶ τῷ εἴδει
δια-

(1) Πλύταρ. Ἀρεσκ. Κεφ. γ'.
(2) Ἀριςοτέλης Φυσικ. Α'. καὶ περὶ Γεν. καὶ Φθορ. Α'. καὶ Διογέν. ὁ Λαέρτ. Βιβλ. θ'.
(3) Πλύτ. Α'. Ἀρισκόντ. Κεφ. ιβ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροια

διακεκρινόμεναι. Ἡ τοίνυν τῶν ἀτόμων αἵρεσις, πρεσβυτάτη τε ἡ αὐτὴ οὖσα, καὶ νεωτάτη, καὶ πολλοὺς πρὸ τῶν ἄλλων τοὺς αἱρετιστὰς οἰκειωσαμένη, οὐδὲ ἡμῖν ἀπαρέσκουσα ἐστὶν, εἰ μόνον τις αὐτῆς, τὰς παρεισφρησάσας ἀτοπίας ἀποξέσας, καθαρὰν πλασμάτων γνωματεύειν παράσχοι, καὶ τῷ ὀρθῷ λόγῳ σύμφωνον. Ταύτῃ δὴ, καὶ τὰς θρυλλουμένας ἐκείνας ἀρχὰς τὴν ὕλην καὶ τὸ εἶδος μεταφυσικῶς, ᾗπερ εἴρηται, „καὶ τῇ ἐπινοίᾳ μόνον τοιαύτας εἶναι ἡγούμενοι, οὐχὶ δὲ „φυσικὰς (ἐπὶ γὰρ τῶν ἐξ ὕλης καὶ εἴδους συγκειμένων „ἐπινοίᾳ μόνῃ προεπινοεῖται τῶν συνθέτων τὰ ἁπλᾶ, οὐ „γὰρ πρότερον ὑποστήσας ὁ Δημιουργὸς ὕλην ἀνὰ μέρος καὶ „εἶδος, ὕστερον ταῦτα συντέθεικεν, ἀλλ᾽ ἅμα τοῖς ἁπλοῖς, „καὶ τὸ ἐξ αὐτῶν συγκείμενον, εἰς τὸ εἶναι παρήγαγε, τῶν „πρός τι γὰρ ἡ ὕλη καὶ τὸ εἶδος, καὶ τὸ ἕτερον χωρὶς θατέ„ρου εἶναι οὐ δύναται. (1) Ἀρχὰς τινὰς φυσικῶς πρώτας, καὶ ταύτας οὐκ ἀνυποστάτους, καθ᾽ ἑαυτὰς δὲ ὑπάρχειν πεφυκυίας καὶ πραγματιώδεις ὑποτίθεσθαι δεῖν ἀξιοῦμεν, ὃ καὶ πᾶσι μὲν μικροῦ δεῖν τοῖς ὕστερον ἠξίωται, καὶ τῶν Παλαιῶν τοῖς φυσικωτάτοις, καὶ Πλάτωνι, ὡς ἐκ τῆς Πορφυρίου ὑπομνήσεως μαθεῖν ἐστὶν (2) ὁμόλογον ὂν „ὅτι οὐκ εἰ„σὶν ἀρχαὶ τῆς τοῦ κόσμου συνθέσεως ὕλη καὶ εἶδος, ἀλ„λὰ τὰ ἤδη ἐξ ὕλης καὶ εἴδους συστάντα σώματα, ὧν ἡ „σύνθεσίς τε καὶ τάξις τὸν κόσμον ἐποίησεν. (3) Τὰς δὲ δὴ ἀτόμους ταύτας εἶναι βουλόμεθα, σωμάτιά τινα ὄντα πάνυ βραχύτατα, κατὰ βούλησιν τοῦ Δημιουργοῦ λαβόντα τὸ εἶναι, ἐκτάσει τε, καὶ σχήματι, καὶ φύσει διαφέροντα, εἰ μὴ πάντα πάντων, πολλὰ γοῦν πολλῶν, καὶ ἀριθμῷ, καὶ πηλικότητι ὡρισμένα, οἷά τε, καὶ ὅσα, καὶ ἡλίκα, ἡ τοῦ παντὸς ἀπῄτει συναρμογή τε καὶ σύστασις, τοῦ ἐξ ἐκείνων συστησομένου. Εἶναι δὲ ταῦτα ἁπλᾶ, καθ᾽ ἑαυτά τε ὑφεστῶτα, ἅτε δὴ μὴ ἐκ πλειόνων ἁπλουστέρων συνεπισωρευομένων ἀλλή-

(1) Φιλόπονος Ἀντιῤῥητ. Λόγ. ϛʹ. κατὰ τῶν τοῦ Πρόκλου Ἐπιχειρημ. ὑπὲρ Ἀϊδιότ. Κόσμου.

(2) Παρὰ τῷ Φιλοπόνῳ Αὐτ.

(3) Ἔνθα ἀνωτ. ὁ αὐτ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λήλοις συνεστηκότα, μηδένα τε πόρον ὅλως, ἢ κενόν τι διαστημάτιον (οἷον ἂν γένοιτο ἐκ τῆς ἐπαφῆς τε καὶ ἐπιθέσεως πλειόνων, κατὰ μέρη συνεφαπτομένων, καὶ μὴ ἀκριβῶς ἐφαρμοζομένων, καὶ πόρους ἐντεῦθεν τινὰς ἐνδιαλειπόντων) ἔχοντα. Στερρότατά τε τὰ αὐτὰ τυγχάνειν, οἷον οὐδὲν τῶν ἐν τῷ παντὶ σωμάτων, σκληρότατα, ἀντιτυπότατα, παγιώτατα, πάντη ἀτειβῆ, καὶ ἀτέραμνα, καὶ οὐδεμιᾷ τῶν ἐν τῇ φύσει δυνάμεων ἀναλυτὰ, οὐδὲ διαιρετὰ, καὶ αὐτὸ τοῦτο ἄτομα, οὐ παρὰ τὸ ἐκτάσεως μὴ ἐμμοιρεῖν, παρὰ δὲ τὸ πόρων, ὡς εἴρηται, ἀμοιρεῖν. Καλεῖσθαι δὲ αὐτὰ καὶ μόρια στοιχειώδη, καὶ πρεσβυγενῆ σώματα, καὶ μονάδας φυσικὰς, φύσει τε ἁπλᾶς, καὶ πρώτας, καὶ ἀρχοειδεῖς, ὡς ἐξ ὧν ἅπαν σῶμα αἰσθητὸν τὴν σύνθεσιν ἔσχε λαβὸν, καὶ εἰς ἃ τὴν ἀνάλυσιν ἐπιδέχεται. (1)

## Θεώρημα ΜΓ'.

§. φϟζ'. „ Τῶν ἀτόμων οὔθ' ἑκάστην ἑκάστης ἑτεροφυῆ „ τυγχάνειν εἰκὸς, καὶ ἑτεροσχήμονα, οὐδὲ μὲν οὖν ἁπάσας „ ὁμοίας φύσει, καὶ σχήματι.

Εἴπερ γὰρ ἑκάστη ἑκάστης, καὶ πᾶσαι ἁπλῶς ἀλλήλων διαφέρουσαι ἐτύγχανον φύσει, καὶ σχήματι, οὐδεμία ἂν, οὐδ' ἡ τυχοῦσα τοῖς σώμασιν ἐνεφαίνετο ὁμοιότης. (§. τκβ'.) Ὡς ἐκ τῶν ἑτεροφυῶν τε καὶ πάντη ἑτεροσχημόνων, ἀδύνατον ὂν ἐπαθροιζομένων ἰδίᾳ, ἀνακύψαι δύο τινὰ, τὸ τοῦ εἴδους ἐμφερὲς πρὸς ἄλληλα διασώζοντα. Πολλὴ δὲ ἡ ἐν πολλοῖς τῶν ἐν τῷ παντὶ ἐνορωμένη ὁμοιότης τε καὶ ἐμφέρεια. (ἐξ ὑποθ.) Ἄρα τὸ Α'.

Εἰ δὲ πᾶσαι φύσει τε αἱ αὐταὶ ἐτύγχανον, καὶ τοῖς σχήμασι παραπλήσιαι, Α'. οὐκ ἂν τοσαύτη τοῖς ἐν τῷ παντὶ διαφορὰ συνέβαινεν, ὅση ὁρᾶται, μόνη δ' ἂν ἧττον ἡ ἐκ τῆς θέσεως τῶν ἁπλῶν, καὶ πλέον ταύτης οὐδέν. Β'. Καὶ ῥᾴδιον ἂν

(1) Ὅρα Νεύτων. Ὀπτικ. Ζητήμ. λα'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὖν οὕτως ἕκαστα εἰς ἕκαστα μετέβαλε, τοῦ τῶν ἀτόμων ῥυθμοῦ μεταβάλλοντος, ἑκάτερον δὲ τῇ καταστάσει τοῦ παντὸς συντάγματος ἰσχυρῶς ἀντικάθηται, καὶ ἀντιπίπτει. Ἄρα καὶ τὸ Β΄.

## Σχόλιον.

§. φγη΄. Περὶ μεγέθους τε καὶ σχήματος τῶν ἁπλῶν σωματίων, πότερόν ποτε τῶν αὐτῶν τὰ πάντα μετέχει, ζητήσας ὁ φυσικὸς Μουσχεμβροέκιος (1) οὐδὲν ἀποφαίνεσθαι ὡρισμένως δεῖν ἐδικαίωσεν. Ἀλλ᾽ ἔγνω ἐνδοιάζειν, ὅτι μέγεθος, καὶ σχῆμα, φησὶν, αἰσθήσει διακριτὰ, τὰς δὲ ἀτόμους, ἡ τοῦ ὄγκου βραχύτης, ἵστησιν ἡμῖν ἀλήπτους αἰσθήσεσιν, ὡς οὐδὲ δι᾽ ἀκριβεστάτων μικροσκοπίων ὀφθαλμοῖς ὅλως ὑποπίπτειν οἵας τε οὔσας. Αὐτοὶ δὲ καί τοι τούτων τὸ ἄληπτον τῇ αἰσθήσει, εἰδότες, καὶ ὁμολογοῦντες, τὰς γεμὴν κατὰ σχῆμα, καὶ φύσιν διαφορὰς, διακρίνειν αὐτὰς ἀξιοῦμεν, τοῖς ἐν τῷ θεωρήματι, οὐκ εὐκαταφρονήτοις λόγοις ὑπαγόμενοι. Καὶ μὲν δὴ καὶ ἐξ ἀναλόγου τοῦτο τεκμηριοῦντες ἀπὸ τῶν αἰσθητῶν σωμάτων, ἐν οἷς αἱ κατὰ τὰ εἴδη, καὶ τὰ σχήματα, καὶ τὰ μεγέθη διαφοραὶ ἐπίσημοι εἰσίν. Ἄλλως τε, καὶ τοὺς μὲν μεταφυσικῶς, εἴδους παντὸς ἄμοιρον ψιλαῖς ἐπινοίαις ἀνατυπουμένους τὴν ὕλην, καὶ ὁμογενῆ οὕτως εἰσάγειν εἰκὸς, ἡ γὰρ τοῦ εἴδους παντελὴς ἀπουσία, τὸ ἀδιάφορον αὐτῇ προμνηστεύεται· τοὺς δὲ φυσικῶς, καὶ σὺν εἴδει, ὡς ἐν τοῖς πρεσβυγενέσι τουτοισὶ σωματίοις, οὐκέτι οἶμαι λόγου ἐστὶν ἐχόμενον. Ἐπεὶ γὰρ εἴδους ἔλαχεν αὐτὰ, οὐ δι᾽ αὐτὰ, ὡς μηδὲ καθ᾽ αὐτὰ αἰσθητὰ, δι᾽ ἕτερα δέ. Τὰ δὲ ὧν ἕνεκα παντῖα τοῖς εἴδεσιν ἐστὶ δι᾽ ἐκεῖνα, κἀκεῖνα ἄρα τὰ τούτων ἕνεκα. Συνοῖδε γοῦν τοῦτο, καὶ Πλάτων ὁ δαιμόνιος, τὴν γὰρ πρωτίστην, καὶ νόθοις, ἥπερ ἐκάλει, λογισμοῖς ληπτὴν ὕλην, ἀνείδεον πάντῃ δογματίσας, καὶ ἄμορφον, ἐπεὶ φυσικώτερον εἰπεῖν πε-

(1) Φυσικ. Κεφ. Δ΄. §. λέ. λϛ΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

περὶ κόσμου συστάσεως ἀνεβάλλετο, τοῖς ἀρχοειδέσι τῶν σχημάτων αὐτὴν ἐστοιχείωσε, καὶ τὸν κόσμον ὑπέθετο ὑποστῆναι παρὰ τοῦ Δημιουργοῦ ἁπτόν τε καὶ ὁρατὸν, ἐκ τοῦ μὲν ἁπτοῦ τῆς γῆς, τοῦ δὲ ὁρατοῦ τοῦ πυρός· στερεὸν δὲ ὄντα, καὶ ἐκ δυοῖν μέσων ἀναλόγων ἀέρος καὶ ὕδατος. Ἔχει γὰρ γῆ πρὸς ὕδωρ, ὡς ὕδωρ πρὸς ἀέρα, καὶ ἀὴρ πρὸς πῦρ, καὶ ἀνάπαλιν, καὶ ἐναλλάξ. Τὴν δὲ τῶν λόγων ὁμοιότητα, μὴ ἐν τοῖς πάντη ὁμοίοις ἀκριβῶς ἐπιθεωρεῖσθαι φανερόν. Καὶ ταῦτα δὲ τὰ σώματα, ἐξ ἀπλουστέρων μορίων σχήματι καὶ πάθεσι διαφερόντων διασχηματισθῆναι, πυραμοειδέσι μὲν τὸ πῦρ μορίοις συστήσας, κυβοειδέσι δὲ τὴν γῆν, σχῆμα δὲ ὀκταέδρου τοῖς ἐξ ὧν ὁ ἀὴρ ἀποδοὺς, εἰκοσαέδρου δὲ τοῖς ἐξ ὧν τὸ ὕδωρ. Τὰ γὰρ τοιαῦτα ( ἅπερ ἐν τῷ Τιμαίῳ ἐκτίθεται. (1) ) οἷς τε πλέον μαθηματικῆς ἀληθείας, καὶ πλάσματος ἐπιφαίνεται ( ὡς ἂν φαῖεν οἷς ἐπακούειν τοῦ βάθους τῆς τοῦ ἀνδρὸς διανοίας οὐχ οἷόν τε ) ἢ ἀληθείας, οὐδὲν ἕτερον προηγουμένως ἔννοιαν παρέχεται, ἢ τὰς ἀπλουστάτας ἐκείνας φύσεις ἐξ ὧν τὰ συνθετα, εἴδεσι διαφέρειν, μηδ' ἐκ τοῦ αὐτοῦ φυράματος οὕτω φάναι μεμάχθαι τὰ σώματα. Εἶναι δὲ τῶν πρεσβυτέρων ἐκείνων μορίων, τὰ μὲν τοιᾶσδε μετέχοντα φύσεως, τὰ δὲ τοιᾶσδε, καὶ τῶν ἄλλων διαφερούσης· οἷον, ἵνα τοιούτῳ τινὶ χρήσωμαι παραδείγματι, πολλὰ μὲν ἐστὶν α, πολλὰ δὲ β, πολλὰ δὲ γ, καὶ ἐφεξῆς μέχρι τῶν κδ, ἐφ' ὅλης τῆς Ὁμηρικῆς Ἰλιάδος. Ἔδει γὰρ δήπου στοιχεῖα τινὰ προϋπεῖναι τοιαῦτα τε καὶ τοσαῦτα ἀφ' ἑκάστου γένους, οἷά τε καὶ ὅσα ἀπῄτει ἡ τοῦ ὅλου ποιήματος ἀκριβὴς σύνθεσις, οὐδενὸς οὐδὲ τοῦ τυχόντος πλεονάζοντος, ἢ ἐλλείποντος, ἔψοιτο γὰρ ἂν καὶ ἐκ τοῦ τυχόντος, περιττῶς προσόντος, ἢ καὶ ἀπόντος, παρὰ πόδας τὸ ἄτακτον, καὶ τὸ ἄρρυθμον. Παραπλησίως οὖν κἀπὶ τοῦ παγκοσμίου τοῦδε ποιήματος, φύσεις τινὰς ὑπὸ τοῦ Δημιουργοῦ τοιάσδε καὶ τοσάσδε προϋποστῆναι εἰκὸς, οἵων τε καὶ ὁπόσων ἔδει, τῷ ἐν μορφῇ τοιᾷδε καὶ τάξει, καὶ ἐν σταθμῇ καὶ μέτρῳ παραχθησομένῳ συν-

(1) Ὅρα Ἀλκινόου Εἰσαγ. Κεφ. ιβ'. καὶ ιγ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

συντάγματι. Οἷον ὑπέστη μόρια πρεσβυγενῆ φωτὸς τοσαῦτα, καὶ ἀέρος τοσαῦτα, καὶ ὕδατος, καὶ τέφρας, καὶ ψάμμου. Καὶ ἀριθμὸς πεπαγμένος μορίων χρυσοῦ, καὶ ἀργύρου, καὶ τῶν ἄλλων μετάλλων, καὶ ἁλάτων δὲ ποικίλων, καὶ ἐλαίων, καὶ τῶν λοιπῶν ἁπλουστάτων φύσεων. Τὰ δὲ οὐδ' εἰς ἄλλα ποτὲ, οὐδ' εἰς ἄλληλα μεταβάλλει· οὐ γὰρ αὖ ἀποτριβεῖσιν ποτὲ, οὐδ' αὖ ἀπολεπτυνθεῖσιν ὡς εἴρηται· μένει δὲ ἀεὶ τοιαῦτα ἀδιαίρετα ὄντα, καὶ οὐδεμιᾷ φυσικῇ δυνάμει ἀνάλυτα. (§. φϟγ'. φϟδ'.) ἀεί τε ὡσαύτως ἔχοντα, καὶ ἃς ἔλαχε παρὰ τοῦ Δημιουργήσαντος φυσικάς τε, καὶ οὐσιώδεις ἰδιότητας ἀναφαιρέτως διασώζοντα. (1)

## Θεώρημα ΜΔ'.

§. φϟθ'. „ Τῶν σωμάτων τὰ μὲν φυσικῶς ἁπλᾶ ἐκ „ τῶν ὁμοφυῶν ἀτόμων συγκεκρότηται, τὰ δὲ οὕτω σύνθετα „ ἐκ τῶν ἑτεροφυῶν.

Τοῖς μὲν τῷ εἴδει τὸ ἁπλοῦν ἔχουσι (§. υιζ'.) ὁμοειδεῖς ἐνέσονται καὶ αἱ ἄτομοι. Ἄρα τὸ Α'.

Τοῖς δὲ ἐκ πλειόνων μορίων εἴδει διαφερόντων συγκροτουμένοις (§. υιζ'.) καὶ αἱ ἐγκείμεναι ἄτομοι ἑτεροφυεῖς. Ἄρα καὶ τὸ Β'.

## Σχόλιον.

§. χ'. Ἀναξαγόρας ὁ Κλαζομένιος, ἀρχὰς τῶν ὄντων τὰς ὁμοιομερείας ἀπεφήνατο. (1) „ Ἐδόκει γὰρ αὐτῷ ἀπορώτατον εἶναι, πῶς ἐκ τοῦ μὴ ὄντος δύναταί τι γίνεσθαι, „ ἢ φθείρεσθαι εἰς τὸ μὴ ὄν. Τροφὴν γοῦν προσφερόμεθα „ ἁ-

---

(1) Ὅρα τὸν Συγγραφέα τῆς Ἱστορ. τοῦ Οὐρανοῦ Βιβλ. Β'. περὶ τῆς Κοσμογονίας.

(2) Πλούταρχ. Α. Ἀρεσκόντων Κεφ. γ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

,, ἁπλῆν καὶ μονοειδῆ, οἷον τὸν δημήτρειον ἄρτον, καὶ τὸ ὕ-
,, δωρ πίνοντες, καὶ ἐκ ταύτης τῆς τροφῆς τρέφεται θρὶξ,
,, φλὲψ, ἀρτηρία, νεῦρα, ὀστᾶ, καὶ τὰ λοιπὰ μόρια. Τού-
,, των οὖν γινομένων ὁμολογητέον ἐστὶν, ὅτι ἐν τῇ τροφῇ τῇ
,, προσφερομένῃ πάντα ἐστὶ τὰ ὄντα, καὶ ἐκ τῶν ὄντων
,, πάντα αὔξεται, καὶ ἐν ἐκείνῃ ἐστὶ τῇ τροφῇ μόρια αἵ-
,, ματος γεννητικὰ, καὶ νεύρων, καὶ ὀστέων, καὶ ἄλλων τῶν,
,, ἃ ἦν λόγῳ θεωρητὰ μόρια. Ἀπὸ τοῦ οὖν μόρια τὰ μέ-
,, ρη εἶναι ἐν τῇ τροφῇ τοῖς γενωμένοις, ὁμοιομερείας αὐ-
,, τὰς ἐκάλεσε, καὶ ἀρχὰς τῶν ὄντων ἀπεφήνατο. Καὶ τὰς
,, μὲν ὁμοιομερείας ὕλην, τὸ δὲ ποιοῦν αἴτιον τὸν νοῦν τὸν
,, τὰ πάντα διαταξάμενον. Ἄρχεται δὲ οὕτως· ὁμοῦ πάντα
,, χρήματα ἦν, νοῦς δὲ αὐτὰ διῆρε, καὶ διεκόσμησε· χρήμα-
,, τα λέγων τὰ πράγματα. Οὕτω τὸν Ἀναξαγόρου κυκεῶνα
ὁ Πλούταρχος ἡμῖν ὑπογράψας, ἓν δὲ καὶ μόνον ἐν αὐτῷ
τῶν ἐκείνου, ὡς ὀρθῶς ἔχον ἐγκρίνας ,, ἀποδεκτέος, φησὶν,
,, ἐστὶν ὅτι τῇ ὕλῃ τὸν τεχνίτην προσέζευξεν. Ἀλλ' ἤπου
οὐκ ἀποδεκτέος οὐδὲ τῷ ἑνὶ τούτῳ, οὐδὲ γὰρ ὡς ἔδει προσέ-
ζευξε, μὴ παράγοντα τὴν ὕλην εἰσαγαγὼν, προϋφεστῶσαν
δὲ διαιροῦντα καὶ διακοσμοῦντα· οὐδὲ τὸ εἶδος αὐτὸ ἅτε δὴ ἐν
αὐτοῖς τοῖς σπέρμασι προμεμορφωμένον, τοσοῦτο δὲ μόνον,
τὰ ὅμοια τοῖς ὁμοίοις συνάπτοντα, ὃ λιτῆς ἐστὶν ἄγαν καὶ
ἀφελοῦς ἔργον σοφίας τε καὶ δυνάμεως. ,, Τί γὰρ μέγα, εἰ
,, ὁ Θεὸς ἐξ ὑποκειμένης ὕλης ἐποίει τὸν κόσμον; καὶ γὰρ τε-
,, χνίτης ἄνθρωπος, ἐπὰν ὕλην λάβῃ ἀπό τινος, ἐξ αὐτῆς
,, ὅσα βούλεται ποιεῖ. (1) Τ' ἄλλα δὲ αὐτοῦ ὅσης τῆς ἀτο-
πίας ἐστὶν ἐχόμενα; Α'. γὰρ ἐπὶ τῶν μικτῶν τὸ δόγμα οὐκ
εὐοδοῦται, ὡς ἐπὶ τῶν ἁπλῶν. Ἀέρος γὰρ τοῦ καθαρωτάτου
τὰ μόρια ἀέρια, καὶ τοῦ ὕδατος τοῦ ἀπλουστάτου ὕδατα, καὶ ἐπὶ
τῶν τοιούτων ὡσαύτως· τοῦ δ' αἵματος φέρ' εἰπεῖν, καὶ ἀὴρ, καὶ
ὕδωρ, καὶ ἔλαιον, καὶ γῆ, καὶ ἄλλ' ἄττα συστατικὰ γίνεται,
ὡς δῆλον ἐκ τῆς ἀναλύσεως, οὐχὶ δὲ μόρια καθ' αὐτὰ αἵ-
ματος. Β'. καὶ εἰ ἐν τῇ τροφῇ, ᾗ προσφερόμεθα, ἐξ ὧν αὖ

θρὶξ,

(1) Θεόφ. Ἀντιοχ. πρὸς Αὐτόλυκον. Βιβλ. β'.

θρὶξ, καὶ φλὲψ, καὶ τ' ἄλλα τραφείη, μάτην ἂν εἴη πάντως ταυτὰ κἂν τῷ χρυσῷ, καὶ τοῖς ἄλλοις, ὅσα πρὸς θοίνην ἀνθρώποις οὐκ ἐπιτήδεια· ὁ δὲ τὰ πάντα συμφορήσας ἐν τοῖς πᾶσι, τὴν φύσιν πως ἐματαίωσε. Γ'. Εἰδέ τις καὶ ἐπὶ τῶν ὀργανικῶν τὸ λεγόμενον μεθελκύσειε, πόσου ἂν γέλωτος εἴη ἄξιον, εἰ γὰρ ἐκ τῶν ὁμοίων ὀστοῦν καὶ νεῦρον, πότερον καὶ ῥὶς ἐκ ῥινῶν, καὶ οὖς ἐξ ὠτίων, ἀλλ' εἰ τοῦτο, τί μὴ καὶ ἐκ πολλῶν ζωδίων τὸ ζῶον, οὐδὲ γὰρ μᾶλλον ταῦτα ἢ ἐκεῖνα ἐκ μίξεως. Τὸ δὲ τοιοῦτον ἐστὶν, οἷον αὖτις φαίη καὶ ἐκ πολλῶν σκιμποδίσκων, συγκεῖσθαι τὸν σκίμποδα. Δ'. Εἰ δὲ τὰ αἰσθητὰ ἐκ τῶν λόγῳ, ἢ φησὶ, θεωρητῶν συνέστηκεν, οἷον ἐξ ὀστέων ὀστοῦν, καὶ ἐκ νεύρων νεῦρον, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, ἤτοι ἐξ ἄλλων ἐλαττόνων κἀκεῖνα, ἢ ἁπλᾶ αὐτὰ καὶ ἀσύνθετα. Ἀλλ' εἰ μὲν τὸ πρῶτον, χωρήσει δὴ τὸ πύσμα ἐπ' ἄπειρον, καὶ οὐδὲ πρῶτον ὀστοῦν ἕξομέν τι, οὐδ' ἔσχατον. Εἰ δὲ τὸ δεύτερον, ὥσπερ ἐστὶν ὀστοῦν ἐκ μὴ ὀστῶν, καὶ νεῦρον ἐκ μὴ νεύρων ἐπὶ τῶν λόγῳ θεωρητῶν, ἔσται δὴ καὶ ἐπὶ τῶν αἰσθητῶν ὡσαύτως. Ε'. Εἰ τὰ πάντα ἐν τοῖς πᾶσιν, ὡς ὁ λόγος βούλεται τῆς πανσπερμίας, ἐνέσται δὴ καὶ τὸ ὕδωρ ἐν τῷ πυρὶ, καὶ τὸ πῦρ ἐν τῷ ὕδατι, τὰ ἐναντία, καὶ ἀπὸ τοῦ αὐτοῦ ἄλληλα ἐξωθεῖν φύσιν ἔχοντα. Ἀλλ' ἐκείνου τὸν κρατῆρα τὸν αὐτοῦ, οὕτως εὐήθως κατακεράσαντος, σωμάτων αὐτοὶ ἐν τῷ παντὶ εἴδη τριττὰ διακρίνειν χρῆναι ἡγούμεθα, τὰ μὲν ἁπλᾶ φύσει, καὶ μονοειδῆ καὶ αἰσθήσει καὶ λόγῳ τιθέμενοι, οἷον ἀὴρ, ὕδωρ, γῆ, καὶ τὰ τοιαῦτα, καθ' ἑαυτὰ, καὶ ἄνευ τῆς μετὰ τῶν ἑτεροφυῶν μίξεως λαμβανόμενα. Τὰ δὲ σύνθετα τῷ λόγῳ, οὐ τῇ αἰσθήσει, οἷον ἄρτος, αἷμα, ὀστοῦν, καὶ ὅσα δὴ τῶν ὁμοιομερῶν εἶναι λέγεται. Τὰ δὲ ἐπὶ τῷ σύνθετα εἶναι, καὶ ὀργανικὰ, τὰ καὶ λόγῳ καὶ αἰσθήσει μικτὰ παρὰ τὴν ἐκφανῆ τε καὶ δήλην ἀνομοιομέρειαν, οἷα τὰ τῶν φυτῶν σώματα, καὶ τὰ τῶν ζώων. Τούτων δὲ οὐ πάντα τοῖς πᾶσι συναναμιγνύντες εἰκῇ συμφύρομεν, ἀλλ' ἐν τοῖς ὑστέροις τὰ πρότερα, κἂν τοῖς μᾶλλον συνθέτοις τὰ ἁπλούστερα εἰσάγομεν, ἀνάπαλιν δὲ οὐδαμῶς. Οὐδὲ γὰρ ἔχει φύσιν τὸ σύνθετον ἐγκεῖσθαι τῷ ἁπλῷ, οὐδέν γε μᾶλλον, ἢ τὸν ἀριθμὸν τῇ μονάδι. Συνίστασθαι δὲ ἐπάναγκες τὰ μὲν φύσει ἁπλᾶ ἐκ

τῶν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῶν ὁμοφυῶν ἁπλουςάτων φύσεων, τὰ δὲ σιώθετα καὶ ἐκ τῶν ἑτεροφυῶν, τοσούτῳ δὲ πλειόνων τε καὶ ποικιλοτέρων, ὅσῳ περ αὐτοῖς μᾶλλον τῆς συνθέσεως μέτεςι.

## Θεώρημα ΜΕ'.

§. χά. ,, Τὸ φυσικὸν εἶδος ἐπὶ μὲν τῶν ἁπλουςάτων
,, σωματίων, τὰ καθ' αὐτὰ διάκειται, καὶ ποιῶς πως ἔχει,
,, ἐςὶ γνωρίσματα, οἷον σχῆμα τε καὶ μέγεθος, καὶ εἴ τινα
,, ἄλλα πάθη, τούτοις μὲν ἐςὶν ἰδιάζοντα, ἡμᾶς δὲ λαν-
,, θάνοντα. Ἐπὶ δὲ τῶν ἐξ αὐτῶν συνθέτων, τῇ κατὰ
,, θέσιν τινὰ, καὶ λόγον μίξει τῶν αὐτῶν, καὶ τῶν κατ' αὐ-
,, τὰ γνωρισμάτων συγκροτεῖται.

Εἶδος γὰρ φυσικὸν τῶν σωμάτων ἐςὶ, τὸ τὴν αὐτῶν συνιςῶν φύσιν, καὶ, τῶν ὅσα ταύτην οὐκ ἔλαχον, ἀντιδιαςέλλον. ( §. ρλγ'. φπδ'. ) Ἀλλὰ τοῖς μὲν τὰ προσόντα γνωρίσματα, οἷον μέγεθος, καὶ σχῆμα, καὶ εἴτι ἄλλο παρὰ ταῦτα, ὅπερ ἡμᾶς διαλανθάνον τούτοις προσιδιάζει, καθ' ὅπως διάκειται, τοῖς δὲ παρ' αὐτὰ συνιόντα, καὶ ἡ τούτων αὐτῶν θέσις τε, καὶ κατὰ λόγον μίξις, τὴν σύςασιν παρέχεται, καὶ τὴν ἀπὸ τῶν ἄλλων διάκρισιν. Ἀτόμῳ γὰρ ἀέρος φέρ' εἰπεῖν, μέγεθος ἴδιον ἔχοντι, καὶ σχῆμα τὸ προσῆκον, καὶ ποιῶς πως ἔχοντι πρὸς ἠρεμίαν, ἢ κίνησιν, καὶ παθῶν τινων ἄλλων προσιδιαζόντων αὐτῷ εὐμοιροῦντι, διωρισμένη ἐςὶν ἡ φύσις, καὶ τῶν μὴ τοιούτων διακεκριμένη. Ὁμοίως δὲ, καὶ εἰ πολλὰ ἅμα εἰς ταυτὸ συνέλθοι μὴ πρὸς μίξιν ἀποπεφυκότα, τῇ τε ποιᾷ τῶν γνωρισμάτων αὐτῶν κράσει, καὶ δὴ καὶ τῇ ὡρισμένῃ θέσει τῶν σωματίων αὐτῶν, ὡρισμένον φύσει τὸ σιώθετον ἀναδειχθήσεται, καὶ παντὸς ἄλλου διακεκριμένον. Ἄρα Ο. Η. τὸ Α'. καὶ τὸ Β'.

## Σχόλιον.

§. χβ'. Ἐνταῦθα ἡμῖν, εἴπερ που καὶ ἀλλαχοῦ τὸ τῶν Σχολαςικῶν ςῖφος, καὶ τῶν ἄλλως περιπατητιζόντων, τοὺς



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μυκτῆρας συσπάσονται, τὰς κατ' αὐτοὺς ἡμιουσίας καταργουμένας θεώμενοι. Ἐκεῖνοι γὰρ τὴν ὕλην καὶ τὸ εἶδος, ὡς οὐσίας τινὰς ἀτελεστέρας εἰσάγουσι, τῇ συνελεύσει ἑκατέρας τὴν ὁλοσχέρειαν τοῦ συνθέτου πρυτανευόμενοι· τοῦ γὰρ συνθέτου, φασὶν, ὁλικῶς θεωρουμένου, μέρη ταῦτα οὐσιώδη τε, καὶ συμπληρωτικά ἐστιν, ἄμφω τε ὀντωτικὰ καὶ πραγματιώδη, ὥστε θάτερον θατέρου πράγματι διακρίνεσθαι. Καὶ τὸ μὲν, ἡ ὕλη κατὰ τὸ θῆλυ, ὑποδέχεται τὸ εἶδος ἐπιγιγνόμενον, τὸ δέ τοι εἶδος ὡς τὸ ἄῤῥεν ἐπιβαίνει τῇ ὕλῃ, καὶ ταύτην τελειοῖ, κἀντεῦθεν τὸ σύνθετον. Ἀλλ' ἡ μὲν ὕλη ἐν τῷ συνθέτῳ οὐκ ἐκ τοῦ μηδενὸς, προϋπῆν γὰρ, τὸ δὲ εἶδος οὐδ' αὐτὸ ἐκ μὴ ὄντος, προσῆν γάρ. Ἀλλ' ἡ μὲν προϋφεστῶσα, τὸ δ' οὐχί. Προσυφεστήκει γὰρ ἐν τῇ ὕλῃ δυνάμει. οὐδέτερόν τε ἁπλῶς παράγεται, τῆς ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος παραγωγῆς οὔτε ταῖς γενέσεσι, κἂν ταῖς ἄλλαις μεταβολαῖς ἀποστρεφομένης τῆς φύσεως. Τί δ' οὖν ἄρα καὶ εἴη τὸ εἶδος τουτί; εἴπερ γὰρ οὐσία, καὶ τῆς ὕλης ἀντιδιῄρηται πράγματι, πότερον φύσις τις ἐστὶ τῶν τριχῇ διαστατῶν, ἐν παχύτητι τὸ εἶναι ἔχουσα καθάπερ τὰ σώματα, ἢ κατὰ τὰς αὔλους ἔξω ἐστὶ παχύτητός τε, καὶ διαστάσεως, τῆς σωματικῆς; ἢ τούτων οὐδέτερον; Εἰ μὲν γὰρ τὸ πρῶτον, ἐπεὶ τῇ ὕλῃ ἐγκαταδύεται, καὶ δι' ὅλης ὅλον γίνεται, χωρήσει δὴ τὸ στερεὸν διὰ τοῦ στερεοῦ, τὸ ἀδύνατον. Εἰ δὲ τὸ δεύτερον, νοῦς ἄρα ἔσται, τὸ ἀτοπώτατον. Εἰ δὲ οὐδέτερον, ἐν ποσὶν ἡ τῆς ἀντιφάσεως πάγη, τὸ μηδὲ σωματικὸν, μηδὲ μὴ συμπλέκουσα. Οὐδὲν γὰρ συντελεῖ ὅπερ εἰώθασιν ἀπαντᾷν ὅτι σῶμα μὲν οὐχὶ, σωματικὸν δέ τι. Εἴπερ γὰρ οὐσία, καὶ σῶμα δηλονότι, εἰ δὲ σωματικὸν ὡς διάθεσίς τις καὶ γνώρισμα σώματος, τοῦτο ἐκεῖνο συγχωροῦσιν, ὅπερ βουλόμεθα, καὶ ὑπὲρ οὗ ὁ ἀγών. Ἄλλοθεν δὲ ἀναλαβόντες αὖθις τούτους ἐρωτήσομεν πότερον δὲ προϋφέστηκε τὸ εἶδος πρὸ τοῦ συνθέτου, ἢ οὐχί; εἰ μὲν γὰρ οὐχὶ, ᾧ καὶ Ἀριστοτέλης αὐτὸς ἔοικεν ἐπιμαρτυρεῖν (1)· „ τὰ γὰρ ὡς ὁ λόγος ἅμα
„ φη-

(1) Ἀριστ. Μεταφ. Λ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ φησίν· ὅτε γὰρ ὑγιαίνει ὁ ἄνθρωπος, τότε καὶ ἡ ὑγίεια „ ἐστὶ, καὶ τὸ σχῆμα τῆς χαλκῆς σφαίρας ἅμα, καὶ ἡ χαλ„ κῆ σφαῖρα. (§. ρμθ΄.) ἐκ τοῦ μὴ ὄντος ἄρα ἡ ἁπλῆ οὐσία, φύσει τὴν ὕπαρξιν λήψεται. Εἰ δὲ τὸ εἶδος οὕτω, καὶ ἡ συναίτιος ὕλη ὡσαύτως, ἀνακύψει καὶ αὐτὴ ἐκ τοῦ μηδενὸς κατὰ φυσικὴν φύσιν. Τὸ δὲ καὶ αὐτοῖς τῶν ἀδυνάτων ὁμολογεῖται, κἀκεῖνο ἄρα. Ὃ γὰρ φασὶν ἐκκλῖναι τὴν ἀπορίαν μηχανώμενοι, ὅτι δυνάμει προσῆν τῇ ὕλῃ τὸ εἶδος, ὀλοίμην εἰ καὶ αὐτοὶ συνίασιν, ὅπως φασί. Τί γὰρ τὸ προσεῖναι, ἀλλ' ἢ τὸ φθάσαντι ἐκτὸς τοῦ μηδενὸς κεῖσθαι; τί δὲ τὸ δυνάμει, ἢ τὸ μήπω; τὸ γὰρ δυνάμει, τὸ μὴ ἐνεργείᾳ εἶναι, λέγει αὐτόσχημα. Τὸ δὲ μὴ ἐνεργείᾳ εἶναι, αὐτὸ τοῦτο ἐμφαίνει, τὸ μήπω ἐκ τοῦ μηδενὸς προκύψαι εἰς τὸ εἶναι, τοῖς νοῦ μετέχουσι. Συνείλοχεν ἄρα εἰς ταυτὸ τὸ εἶναι, καὶ τὸ μὴ εἶναι, ὁ μὴ ἐκ τοῦ μὴ εἶναι, τὸ δυνάμει ἔχον τὸ εἶναι μεταπεμπόμενος, καὶ τόγε αὐτὸ ἐντὸς ἅμα τοῦ εἶναι, καὶ ἐκτὸς λανθάνει τιθέμενος. (ὅρα καὶ §. ρλθ΄.) Ἀλλὰ τὰ περὶ τοῦ φυσικοῦ εἴδους τῶν Σχολαστικῶν τερετίσματα τοσαύτης ἐστὶν ἀηδίας μεστὰ, ὡς καὶ τὸ ἀπελέγχειν αὐτὰ πειρᾶσθαι διὰ πλειόνων, μὴ ἔξω τοῦ ἀηδοῦς, καὶ φορτικοῦ γίνεσθαι· μία γὰρ σύμφωνος καθ' ἡμᾶς παρὰ τοῖς πᾶσι δόξα κρατεῖ, ἡ καὶ τῶν Παλαιῶν τοῖς ἐνδοξοτάτοις ἐγκεκριμένη, ὡς τὸ εἶδος τὸ φυσικὸν (ἣν γε τὸ κατὰ τὴν χωριστὴν οὐσίαν, τῆς ἐν ἡμῖν λογικῆς ψυχῆς ἐξέλοις) οὐδὲν ἕτερον ἐστὶν, ὅ,τι μὴ ἐκμορφουμένης ὕλης κάλλος, ἐκ ποικίλων διαθέσεών τε καὶ γνωρισμάτων αὐτῆς συνιστάμενον. Τοῦτο γοῦν καὶ Πυθαγόρας φαίνεται αἰνιττόμενος, ὅς, „ ἀρχὰς τοὺς ἀριθμοὺς, „ καὶ τὰς συμμετρίας τὰς ἐν τούτοις, ἃς καὶ ἁρμονίας καλεῖ „ (1) εἰσῆγε. Καὶ Λεύκιππος, καὶ Δημόκριτος, οἱ διὰ τῆς τῶν ἀτόμων ἐντέχνου συζυγίας, ὡς διὰ τῶν ἀριθμῶν ἐκεῖνος τὰ εἴδη ἀναπτύσσοντες, καὶ διὰ τοῦτο ἐξ ἀριθμῶν πως καὶ αὐτοὶ τὰ πάντα ποιεῖν παρ' Ἀριστοτέλει (2) φερόμενοι. Καὶ Πλά-

---

(1) Πλούταρχ. Α. Ἀρεσκ. Κεφ. γ΄.
(2) Περὶ Οὐραν. Βιβλ. γ΄.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πλάτων ὡς εἴρηται (§. φγή.) ὁ καὶ τὸν Θεὸν γεωμετρεῖν ταύτῃ γε ἀποφθεγξάμενος, ὡς ἄρα τὰ εἴδη τοῖς μεγέθεσι κατὰ τὰ ἀρχέτυπα διακοσμοῦντα, καὶ δυοῖν διδομένων, εἶδος τρίτον, τῷ μὲν ἴσον, τῷ δ' ὅμοιον παραβάλλοντα. (1) Καὶ Ἀριστοτέλης πρὸ πάντων σαφέστατα, πῇ μὲν τὸ εἶδος ὂν εἶναι διδάξας, ὥσπερ ἐστὶν ἡ ἐν πολλοῖς οὖσα τάξις, καὶ ἡ μουσική. (2) πῇ δὲ λόγον τοῦ τί ἦν εἶναι ἀποκαλέσας, ὥσπερ καὶ τῆς διὰ πασῶν συμφωνίας λόγος ὁ διπλασίων. (3) Πῇ δὲ ὅτι τῶν ἁπλῶς γινομένων τὰ μὲν γίνεται μετασχηματισμῷ, ὡς ὁ ἀνδριὰς ἐκ τοῦ χαλκοῦ, τὰ δὲ προσθέσει, ὥσπερ τὰ αὐξανόμενα· τὰ δ' ἀφαιρέσει, ὥσπερ ἐκ λίθου ὁ Ἑρμῆς· τὰ δὲ συνθέσει, ὥσπερ ὁ οἶκος· τὰ δ' ἀλλοιώσει, ὡς τὰ κατὰ τὴν ὕλην φησὶ, τρεπόμενα. (4) Καὶ ἐν ἄλλοις ἐκφανέστερον ὅτι φύσις τὸ εἶδος λέγεται, τὸ μόνῃ τῇ ἐπινοίᾳ χωριστὸν ὄν. (5) Καὶ ὅτι τὰ ὡς ὁ λόγος (τουτέστι τὰ εἴδη) ἅμα ἐστίν. Ὅτε γὰρ ὑγιαίνει ὁ ἄνθρωπος, τότε καὶ ἡ ὑγίεια ἐστὶ, καὶ τὸ σχῆμα τῆς χαλκῆς σφαίρας ἅμα, καὶ ἡ χαλκῆ σφαῖρα. (6) Κἀν ταῖς τῶν προβλημάτων δὲ ἐπιλύσεσι, καὶ τοῖς, ἅπερ ἐλάσσονα φυσικὰ ἐπιγέγραπται, βιβλίοις, ἔτι δὲ καὶ ἐν τοῖς περὶ μετεώρων, καὶ ὅλως ἐν οἷς φυσικώτερον διαλέγεται, διὰ τῆς τῶν μορίων ὑφῆς τε, καὶ συναφείας, καὶ ἐπιπλοκῆς, καὶ κινήσεως, καὶ σχήματος μᾶλλον, ἢ διὰ τῶν μεταφυσικωτέρων ἐκείνων ὀνομάτων τοῦ εἴδους, καὶ τῶν ποιοτήτων, τὰ φαινόμενα ἐκτιθέμενος, σαφῶς ἐννοεῖν παρέσχετο, μηδὲν εἶναι κατὰ δόξαν τὴν αὐτοῦ τὸ εἶδος τὸ τῶν σωμάτων, ἀλλ' ἢ αὐτὴν τὴν ὕλην ποικίλως συμμορφουμένην τε καὶ διοριζομένην, καὶ αὐτῶν ἄχρι τῶν ἁπλουστάτων σωματίων παντοίως μετασκευαζομένην.

Θεώ-

(1) Ὅρα Πλούταρχ. ἐν Συμποσιακ. Βιβλ. ή. Προβλ. β'.
(2) Φυσικ. Βιβλ. ά. Κεφ. γ'. Ἐδαφ. ξς'.
(3) Βιβλ. β'. Ἐδαφ. κή.
(4) Βιβλ. ά. Κεφ. γ'. Ἐδαφ. ξγ'.
(5) Βιβλ. β'. Κεφ. β'. Ἐδαφ. ί. καὶ ιά.
(6) Μεταφ. Δ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Θεώρημα Μϛ΄.

§. χγ΄. „ Τὰ φυσικῶς ἁπλᾶ τῶν σωμάτων, ὁποῖα ποτ' ἂν ᾖ, ἢ συνίασιν τοῖς φύσει ὡσαύτως μὲν ἁπλοῖς, ἑτεροειδέσι δὲ, ἀρχαὶ καθίςανται τῶν συνθέτων, ἀλλ' αἰσθηταί.

Ἐξ αὐτῶν γὰρ τὰ σύνθετα, τὰ ἐκ τῶν ἑτεροφυῶν, (§.υιζ΄.) καὶ εἰς αὐτά. Ἄρα τὸ Α΄.

Τὰ δὲ φυσικῶς ἁπλᾶ ταῦτα σώματα, καί τοι ἐκ τῶν καθ' αὑτὰς ἀνεπαισθήτων ἀτόμων συγκροτούμενα, ἡμῶν αἰσθήσει ἄληπτα καὶ αὐτὰ ἐςὶν, ἅτε δὴ τοὺς ὄγκους μεγεθυνόμενα, καὶ αἰσθητὰ γινόμενα. ( §. χ΄. ) Ἄρα, ἐπεὶ τὰς τοιαύτας ἀρχὰς αἰσθητὰς εἶναι ἐτέθη, ( §. φπγ΄. ) τὰ φυσικῶς ἁπλᾶ τῶν σωμάτων, κτ. τῶν συνθέτων ἀρχαὶ εἰσὶν αἰσθηταί. Ο. Η. τὸ Β΄.

## Σχόλιον.

§. χδ΄. Οὐ κατὰ λόγον ἄρα ἐξ ἑνός τινος τῶν ςοιχείων καὶ μόνου, ὃ ἀπεκληρώσαντο, οἱ μὲν ἐκ τοῦ ὕδατος, ὡς πάλαι μὲν Θαλῆς (1), ἐν δὲ τοῖς ὕςερον Οὐανελμόντιος ὁ Χυμικός. Οἱ δ' ἐκ τῆς γῆς, ὡς Φερεκύδης ὁ Σύρος. (2) Οἱ δ' ἐξ ἀέρος, ὡς Ἀναξιμένης τε καὶ Διογένης ὁ Ἀπολλωνιάτης. (3) Οἱ δ' ἐκ πυρὸς ὡς Ἵππασος ὁ Μεταποντινὸς, τὴν τῶν συνθέτων μίξιν εἰλήφασιν. Εἰ μὴ τυχὸν τὸ ἓν ἐκεῖνο, ἐκ πλειόνων ἑτεροειδῶν συνεςὸς ὑπενόουν, φύραμα οἷον πολυμιγὲς, καὶ μηδὲ ἁπλοῦν φυσικῶς, ἀλλὰ σύνθετον. Τούτων δὲ μᾶλλον πιθανοὶ, οἱ ἐκ δυοῖν συνθέμενοι, οἷον Ξενοφάνης ὁ Κολοφώνιος ἐκ γῆς τε καὶ ὕδατος, καὶ Οἰνοπίδης ὁ Χῖος ἐκ πυ-

---

(1) Πλούταρ. Α. Ἀρεσκ. Κεφ. γ΄.
(2) Σέξτος Ἐμπειρικ. Βιβλ. γ΄. Κεφ. δ΄.
(3) Αὐτ. Αὐτ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πυρός τε καὶ ἀέρος. Καὶ Ἵππων ὁ Ῥηγῖνος, ἐξ ὕδατος καὶ πυρός. Καὶ πολλῷ ἔτι Ὀνομάκριτος ὁ ἐκ Λοκρῶν, πυρός, καὶ ὕδατος, καὶ γῆς. (1) Καὶ Ἐμπεδοκλῆς ὁ ἐκ τῶν τεσσάρων, τόν τε ἀέρα τοῖς τρισὶ προσθέμενος, καὶ τὰς κατὰ τὸ νεῖκος καὶ τὴν φιλίαν δυνάμεις (2) τὴν μὲν συναπτικὴν οὖσαν, τὸ δὲ διακριτικὸν (3) ταῖς φυσικαῖς γενέσεσι καὶ φθοραῖς ἐπιστήσας. Ἣν δὴ δόξαν καὶ πρὸς Ἡσίοδον αὐτόν, καὶ Ὀρφέα, καὶ Ἑρμῆν τὸν Τρισμέγιστον, καὶ τὸν περίπυστον Ζωροάστρην εἰσὶν οἳ ἀνάγουσιν. Ἀλλὰ γὰρ ἐπεὶ περὶ ἀρχῶν τῶν αἰσθήσει ληπτῶν λέγομεν, οὐκ ἂν ἔξω βαίνοιμεν τῆς ὁδοῦ, καὶ τοῦτο ὑποσυνάπτοντες διὰ βραχέων, ὡς οὐδὲ τὰ γνωριμώτατα ταῦτα στοιχεῖα ἀρχὰς εἶναι τοιαύτας ἐν τοῖς ὕστερον ὡμολόγηται οὔτε τινά, οὔτε πάντα. Τῶν γὰρ αἰσθητῶν ἀρχῶν τὸ φύσει ἁπλοῦν, καὶ μονοειδὲς ἐκ μονοειδῶν τῆς συστάσεως ἀπαιτουσῶν, κἀκεῖνα πάντως, ἅπερ αἰσθήσει ληπτὰ τυγχάνει, καὶ γῆ φημί, καὶ ὕδωρ, καὶ τ᾽ ἄλλα, τοῖς ἑτεροειδέσι συνανακέκραται, καὶ οὐδὲν ἡμῖν ἐξ αὐτῶν περιπίπτει, ὃ ἂν καθαρόν τε εἴη, καὶ ἄκρατον, καὶ τῶν ἄλλων ἀμιγές. Πρὸς ὃ καὶ αὕτη μόνη ἂν ὑπολείποιτο παραμυθία, ὅτι τὸ πλεονάζον, καὶ ὄχημα οἷον γινόμενον τῆς ἐκ τῶν ἑτεροφυῶν ἐπιμιξίας ἐπὶ ἑκάστου, οἷον τὸ μὲν γεῶδες ἐπὶ τῆς γῆς, τὸ δ᾽ ὑδατῶδες ἐπὶ τοῦ ὕδατος, κτλ. τῶν ἀλλοτρίων ἀμελουμένων, οἷον εἴτινα παρεισφρήσειεν, εἴτε ὑδαρὰ μέρη τῇ γῇ, εἴτε γεηρὰ τῷ ὕδατι, ἐκεῖνο δὴ καὶ τὸν λόγον κατέχει τῆς αἰσθήσει οὐκ ἀλήπτου ἀρχῆς, καθ᾽ ὃ καὶ τῶν τεσσάρων ἕκαστον, εἰς μίξιν τὴν τῶν συνθέτων τὸ ἑαυτοῦ συνεισφέρει. Οἱ γε μὴν ἀπὸ τῆς χυμίας, τὴν πρακτικὴν ταύτην ἀθετήσαντες τῶν στοιχείων τὴν περιώνυμον, πέντε τινὰ ἀρχοειδῆ τε καὶ φύσει ἁπλᾶ σώματα, εἰς ἀρχὰς ἐπὶ τῶν συνθέσεων ἀντικαταστῆσαι προείλοντο. Ἔστι δὲ ταῦτα πνεῦμα, καὶ θεῖον, καὶ ἅλας, καὶ ὕδωρ, καὶ γῆ, εἰς ἅπερ ἅπαν σῶμα ἐκεῖνοι, δυνάμει

(1) Σέξτος ὁ Ἐμπειρ. Βιβλ. γ'. Κεφ. δ'.
(2) Πλούταρχ. Α. Ἀρεσκ. Κεφ. γ'.
(3) Λαέρτιος ἐν τῷ βίῳ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νάμει πυρὸς, καὶ δραστηρίων τινῶν ὑγρῶν, ἀναλύειν κατεπαγγέλλονται. Καὶ πνεῦμα μὲν ( ὃ καὶ Ἑρμῆν καλοῦσιν ) ἐστὶν οὐσία τις λεπτοτάτη καὶ ἐνεργὸς, ὑφ' ἧς ἀμέσως ἐπὶ τῶν μικτῶν πᾶσα κίνησις. Θεῖον δὲ οὐσία τις λιπαρὰ καὶ ἰξώδης, ἡ τὰ ἐν οἷς ἀφθονωτέρα ἔνεστιν, εὐκατάφλεκτα καθιστῶσα. Τὸ δὲ ἅλας σῶμα σκληρὸν, τὸ πρώτως καθ' αὑτὸ τὴν γευστικὴν δύναμιν κινοῦν, καὶ εἰς ὕδωρ ἀναλυτὸν ὄν. Τούτου εἴδη τὸ ὀξὺ, ὃ δριμὺ φύσει τυγχάνει καὶ πληκτικόν. Τὸ ἀλκαλικὸν, ὃ καὶ τῷ ὀξεῖ συνανακραθὲν πάγει ἀνάζεσιν. Τὸ στερρὸν ὃ τῷ πυρὶ ἀντιπαρεξίσταται ἀντιβαῖνον καρτερῶς καὶ μαχόμενον. Καὶ τὸ πτήσιμον, τὸ ἐξ ἐναντίου ἐνδιδοῦν τῷ πυρὶ, καὶ ῥᾷστα ὑπεῖκον, καὶ εἰς αὔρας ὑπ' αὐτοῦ διασκεδαννύμενον. Ὕδωρ δὲ ἐστὶν ( ὃ καὶ φλέγμα παρὰ τοῖς Χυμικοῖς ἀκούει ) οὐσία τις ῥοώδης τε καὶ ὑγρὰ, ἄοσμος, ἄχυμος, πάντη ἀδρανής. Γῆ δὲ τελευταῖον ( ἣ καὶ νεκρὰ κεφαλὴ παρ' αὐτοῖς ὠνόμασται. ) οὐσία ξηρὰ, στερρὰ, ἄχυμος καὶ αὐτὴ, καὶ πάσης δραστηρίου ἀμοιροῦσα δυνάμεως, οἵα δήποτε ἡ διακονίας, δύναμίν τε πᾶσαν καὶ ποιότητα ἀποθεμένη τέφρα γνωρίζεται. Ταῦτα τοίνυν, ἐπειδὴ φασὶν ἐκ παντὸς μικτοῦ τῶν τελεωτέρων, ἤτοι πυρὸς, ἢ ἑτέρας ἧς τινοσοῦν θερμότητος δυνάμει ἀναλυομένου ἀποφέρεται, δῆλον ὅτι καὶ τοῖς πράγμασιν αὐτοῖς προεγκείμενα ἐστὶ, καίτοι τὴν αἴσθησιν διαφεύγοντα. Οὐδὲ γὰρ οἷόν τε τὸ πῦρ, ἢ πᾶν ὅ,τι τύχοι τῶν ἐν τῇ φύσει δραστικώτερον ἄλλο, καινὰς παράγειν οὐσίας, τὰς δὲ οὔσας διϊστᾶν ἀπ' ἀλλήλων καὶ διακρίνειν. Εἰ γὰρ ἐκεῖνο, καὶ ἐξ αὐτῶν ἄλλας ἂν ἀπεδείκνυ, κἀκ τούτων ἔτι ἄλλας ἐς ἄπειρον. Ἀλλ' οὐκ ἔνι, τῆς γὰρ ἀναλύσεως πέρατά τινα κεῖται, εἴα δὴ καὶ τῆς διαιρέσεως. ( §. φιγ'. φιδ'. ) Καὶ προσόντα τοίνυν ἐκεῖνα τῷ συνθέτῳ, ὡς ἀρχαὶ συνθέσεως εἰκότως ἐνῆσαν αὐτῷ. Ἀρχαὶ δὲ αἰσθηταὶ, ὅτι καὶ χωρὶς τεθεῖσαι δι' ἀναλύσεως ὁραταὶ αἱ πᾶσαι καὶ ἁπταί. Τινὲς δὲ καὶ τὴν ὄσφρησιν κινοῦσαι, ὥσπερ τὰ θεῖα· καὶ τὴν γεῦσιν, ὥσπερ τὰ ἅλατα. Τούτων δὲ ἡ μὲν γεώδης φύσις, ὑποστάθμης ἔχει λόγον ἐν τῷ μικτῷ, καὶ βάσεως· ἡ δὲ τοῦ πνεύματος, καὶ τοῦ θείου, καὶ τοῦ ἅλατος, τὰ τοῦ εἴδους ἀναπληροῖ· ἡ δὲ ὑδατώδης, ὅσα καὶ κόλλη ὑπουργεῖ, τὸ εἶδος τῇ ὕλῃ συνάπτουσα, καὶ συσφίγγουσα. Ἀλλά γε τὰ πλείω



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

περὶ τούτων πολυπραγμονεῖν, τοῖς τὸ φυσικὸν εἶδος ἀκριβοῦσιν ἐάσωμεν.

# ΚΕΦΑΛΑΙΟΝ Δ΄.

## Περὶ τῶν ἐν τῷ Παντὶ Δυνάμεων, καὶ περὶ Νόμων τῶν ἐν τῇ Φύσει.

§. χε΄. Ἐκ πολλῶν οὐσιῶν συνεπιπλεκομένων ταῖς πρὸς ἀλλήλας ἐπενεργήσεσί τε, καὶ ἀντιδράσεσι, τοῦ συστήματος συνίστασθαι νοουμένου, (§. υπε΄. υπϛ΄.) τοῦ τε ὅλου (§. υγα΄.) καὶ τῶν κατὰ μέρος, ἐξ ὧν ἐκεῖνο, (§. υγβ΄.) ὡς φθάσας ὁ λόγος ἐδήλωσεν, ἀκόλουθον ἂν εἴη, ἐγκαθιδρύσθαι ὑπολαμβάνειν ταῖς οὐσίαις ἁπάσαις, καὶ τούτων ἑκάστῃ, καὶ δυνάμεις ἐξ ὧν αἱ ἐνέργειαι. (§. σο΄. σοβ΄.) δι' ὧν αἱ μεταβολαί· (σοα΄.) ἐν αἷς κεῖται τὰ τῆς διακοσμήσεως. (§. υπε΄.)

§. χϛ΄. Αἱ δὲ δὴ τοιαῦται δυνάμεις καθ' ἃς τεταγμένως τὰ μὲν κινεῖν, τὰ δὲ κινεῖσθαι πέφυκε, νόμοι τε καὶ θεσμοὶ φύσεως ἔλαχον ὀνομάζεσθαι. Οἷς ἐν μέρει μὲν, αἱ καθ' εἱρμὸν χωροῦσαι τοῦ αὐτοῦ εἴδους μεταβολαὶ πειθαρχοῦσιν, ἅπασι δὲ, αἱ τοῦ ὅλου, ἀεὶ τοιαῦται ἀπαραιτήτως γινόμεναι, ἐν ὁμοίαις περιστάσεσι, τῶν τε ὑφ' ὧν, καὶ τῶν ἐφ' ἃ καθισταμένων· τοὺς οὖν θεσμοὺς τούτους, τῇ δι' αἰσθήσεων παρατηρήσει, καὶ πείρᾳ τῇ ἐπὶ τοῖς καθ' ἕκαστα συμβαίνουσι προσέχοντας καταμαθεῖν ἔνι. Ἄλλως δὲ οὐδαμῶς, οὔθ' εὑρεῖν, οὐδ' εἰκάσαι λόγον τινὰ τούτων ἐκ τῶν προτέρων ὅλως δυνατόν. (1)

§. χζ΄. Εἴη δ' ἂν φύσεως ἁπλοῦς μὲν θεσμὸς, ὁ κατὰ μίαν τινὰ δύναμιν, σύνθετος δὲ ὁ κατὰ πλείονας, πῇ μὲν συναντιλαμβανομένας, πῇ δὲ καὶ ἀντιπεριισταμένας, ὑφ' ὧν δὲ

(1) Μουσχεμβροέκ. Φυσικ. Κεφ. Α΄. §. 8.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δὲ κινέσας τὸ αὐτὸ θεωρέμενος. Ὁ δὲ ἐξ ἁπασῶν τῶν ἐν τῷ παντὶ νόμος κοινότατος, ᾧ τὸ ὅλον σύνταγμα συνέχεται καὶ διεξάγεται.

§. χή. Ἔτι οἱ μὲν εἰσὶ νόμοι προκαταρκτικοί τινὲς, οἱ ἄλλων μηδαμῶς ὄντες ἐξηρτημένοι. Οἱ δὲ δεύτεροί πως, καὶ ἐξ ἐκείνων οἷον παράγωγοι, κἀκείνοις τεθεῖσιν ἀπαραιτήτως ἑπόμενοι· οἷον εἰ τεθῇ ὁ κατὰ τὴν βαρύτητα νόμος, καὶ τὴν ἀντίβασιν, καὶ τὸ ἐλατήριον, ἐκ τῶν τριῶν τούτωνὶ ἁπλεστέρων, ὁ τῆς ἀντανακλάσεως τοῦ προσαράσσοντος ἑτέρῳ τῷ τῶν ἀντιτύπων σώματι νόμος, κατὰ μέτρον, καὶ διορισμὸν τεταγμένον, ἀναφύσει τὴν κίνησιν. Ἀεὶ γοῦν οἱ πρότεροι, καὶ ἁπλέστεροι.

§. χθ'. Τοῖς δὲ τὰ ἠθικὰ πραγματευομένοις νόμοι φύσεως εἶναι λέγονται, πρὸς οὓς, ὡς κανόνας, τὰς ἑαυτῶν ἐλευθέρας πράξεις ἁρμόζοντας ἀπιθύνειν, διὰ τοῦ φύσει τὸν νοῦν τὸν ἡμέτερον καταυγάζοντος φωτὸς, ὁ Δημιουργὸς ὑποτίθησι καὶ διακελεύεται.

## Θεώρημα ΜΖ'.

§. χί. „ Ταῖς ἐξ ὧν ἅπας ὁ κόσμος συναρμολογεῖται
„ οὐσίαις, ἐνεῖναι μὲν δυνάμεις κινητικὰς ἐπάναγκες, γι-
„ νώσκειν δὲ ἡμᾶς τούτων τὴν φύσιν ἐπ' ἀκριβὲς ἥτις ἐστὶ,
„ χαλεπώτατον.

Δείκνυται διὰ τοῦ §. υπέ. καὶ τοῦ §. χέ. ) τὸ Α'.

Αἱ δὲ δυνάμεις αὗται, ἐνουσιωμένων κατ' αὐτὰς τῶν σωμάτων, λανθάνουσιν ἡμᾶς, ὥσπερ καὶ αἱ οὐσίαι ( §. φιθ'. φκ'.). Ἄλλως δὲ καὶ τὸ πλεῖστον αὐτῶν ἐν κινήσει. (§. φοέ.) ὅ,τε τῆς κινήσεως ἀκριβὴς λόγος ἡμᾶς διαπέφευγε. ( §. φοή. φοθ'. ) Ἄρα καὶ τὸ Β'.

## Σχόλιον.

§. χιά. Τοῦτο δὴ τὸ κινῆσαν ἐστὶ πολλοὺς ἐνδιαχέαι τῇ ὕλῃ οὐσίαν τινὰ ἐνεργὸν καὶ δραστήριον, καὶ οἷον ἐμψυχῶσαι

τε

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τε καὶ ζῶσαι πρὸς τὴν τοῦ παντὸς σύστασιν. Ἀμέλει τοι καὶ οἱ Χαλδαῖοι φέρονται, οὐ μόνῳ τῷ κατ᾽ αὐτοὺς ὑπερκοσμίῳ φωτὶ διαχωρεῖσθαι τὸν σωματικὸν κόσμον ὑποτιθέμενοι, ἀλλὰ καὶ ὑπὸ ψυχῆς τινὸς πηγαίας, ἥ φασι, καὶ καθόλου ἄγεσθαι. (1) Ὑπετίθετο δὲ καὶ Πλάτων ψυχὴν ἐγκόσμιόν τινα, παμμέγα οἷόν τι ζῶον τυγχάνειν τὸν κόσμον ἀποφαινόμενος. (2) Εἰσῆγε δὲ καὶ Σπεύσιππος δύναμιν ζωτικὴν, ὑφ᾽ ἧς ὁ Κόσμος ζωοπλαστεῖται. (3) Καὶ Πυθαγόρας δὲ, καὶ οἱ ἐκ τῆς Στοᾶς, ζωοποιεῖσθαί πως ἡγοῦντο ὑπὸ τοῦ τοῦ Θεοῦ, τὸ ὅλον σύνταγμα, καὶ ἀναπνεῖν ὁλικῶς τε, καὶ κατὰ μέρη· δι᾽ ἁπάντων διήκοντος. Αὐτὸ δὲ τοῦτο καὶ καθ᾽ ἡμᾶς τὸ δόγμα, Περσῶν τε, καὶ Σιαμίων, καὶ Σινῶν ἔθνεσιν ἱστόρηται πρεσβευόμενον. Ὁ δὲ Τολάνδος, καὶ ὁ τούτου ἀκροατὴς Ἀντώνιος ὁ Κολλῖνος οἱ Θεοστυγεῖς, καὶ Μωσῆν αὐτὸν καὶ Σολομῶντα τοὺς Θεοφορήτους ἐπὶ τὴν δόξαν ἐφέλκονται, τὸν μὲν τὸ πνεῦμα ἐπιφερόμενον τοῖς ὕδασιν ἐν τῇ Κοσμογονίᾳ εἰσάγοντα, τὸν δὲ τὰς ἀνθρώπων ψυχὰς εἰς Θεὸν ἐπιστρέφειν μετὰ θάνατον, ὥσπερ δὴ καὶ τὰ σώματα εἰς τὴν γῆν εἰσηγούμενον. Τὸ δὲ τοιοῦτο καθόλου πνεῦμα, καὶ ἡ τοῦ Κόσμου, ἥ φασι, ψυχὴ, καὶ τοῖς Καββαλισταῖς, εἰσπεποίηται. (4) Ὃ δὴ πνεῦμα ἀρχαῖόν τε καὶ ὑλαρχικὸν προσεῖπεν Ἑλμόντιος, καὶ οἱ Χυμικοὶ, καὶ Ἑῤῥῖκος ὁ Μόρος, καὶ ἄλλοι παρ᾽ Ἄγγλοις. (5) Τελευταῖον δὲ καὶ ὁ Νεύθων, πλαστικόν τι πνεῦμα ἐνοικίζων τῇ ὕλῃ, ἐν αὐτῷ κεῖσθαι τοὺς φυσικοὺς ἐτόπαζε θεσμοὺς, καθ᾽ οὓς συνέστη τε μορφωθέντα κατ᾽ ἀρχὰς τὰ ὄντα, καὶ μέχρι τέλους συνέχεται. Ἀλλ᾽ οὗτοι μὲν οὕτως ἐν φύσει, οὔτε καὶ κοινῇ δεσποτεῦον ἐπὶ πάντων, τὸ τὴν ὕλην κοσμοῦν, καὶ οὐσίαν ἐνδυναμοῦν ἑκάστην ὑποθέσθαι δεῖν ὑπειλήφασι. Καὶ μίαν οὐσίαν οὕτως ἀντὶ τῶν δυνάμεων, διὰ τῶν οὐσιῶν χωρῆσαι ἐκβιασάμενοι, καὶ ταύτην ἀσώματον (οὐ

γὰρ

---

(1) Ὅρα Στανλέϊου Ἱστορ. τῆς Φιλοσοφίας Μέρ. ιγ΄. Τμήμ. β΄.
(2) Πολλαχοῦ τῶν Ἐπιστολ. καὶ ἐν τῷ Τιμαίῳ.
(3) Παρὰ Κικέρ. Βιβλ. α΄. Περὶ Φύσ. Θεῶν.
(4) Ὅρα Βούδδ. Εἰσαγ. εἰς τὴν Φιλοσοφίαν τῶν Ἑβραίων Σελ. 318.
(5) Ὅρα Διάλεξ. περὶ ψυχ. Κόσμου, Ἀδάμου τοῦ Ῥεχεμβέργ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γὰρ σωματικὴν δηλονότι, εἴγε διὰ τῶν σωμάτων ἤκεσαν) προκάλυμμα τοῦτο τῆς σφῶν ἀγνοίας, ἐν ἐξαισίοις καὶ ὑπερφυέσιν ὀνόμασι, παραπετάσαι ἐμηχανήσαντο, ἄμεινον αὖ πολλῷ βουλευσάμενοι, εἰ τὸ τῶν ἐν τῇ φύσει δυνάμεων χῆμα λανθάνειν αὐτοὺς, ὡς καὶ ἡμεῖς ὡμολογήκεσαν. Ὁ δὲ δὴ Λεϊβνίτιος, καὶ μᾶλλόν τι τῶν ἄλλων ἐνεανιεύσατο, τῇ ἀπείρῳ τῶν κατ' αὐτὸν μονάδων πληθυΐ, καὶ τὰς δυνάμεις αὐτὰς εἰς ἀπειρίαν πληθυνίας, καὶ ἑκάστην αὐτῶν οὐσιώσας. Ἀλλ' ἀκουστέον αὐτοῦ τὰ περὶ τούτων φιλοσοφοῦντες, ὡς οὕτως αὖ ἄμεινον τῆς δυναμεολογίας τῶν Γερμανῶν, τῆς τοσοῦτον καθ' ἡμᾶς τὸν θροῦν διεγειράσης, ἐν ἐπιγνώσει γενοίμεθα. „ Τὸ ἐνεργεῖν, φησὶ, χαρακτὴρ ἐστὶν οὐσιῶν, (1) ταύ„ την δὲ τὴν τοῦ ἐνεργεῖν δύναμιν, ἁπάσῃ οὐσίᾳ ἐνεῖναι „ φημὶ, ἐξ ἧς καὶ ἐνδελεχῶς ἐνέργειάν τινα προϊέναι, καὶ „ οὐδὲ τὴν σωματικὴν αὐτὴν οὐσίαν τοῦ ἐνεργεῖν ποτε παύε„ σθαι. Ἐκεῖνο δὲ μὴ, ὡς ἐχρῆν, ἐννενοηκέναι μοι δοκοῦ„ σιν, οἱ τὴν τοῦ σώματος οὐσίαν ἐν μόνῃ τῇ ἐκτάσει, ἢ „ κἂν τῷ ἀδιαχώρητον εἶναι στήσαντες, καὶ πάντῃ ἠρεμεῖν „ καθ' αὐτὸ τὸ σῶμα ὑπειληφότες. (2) ὃ γὰρ οὐκ ἐνεργεῖ, „ καὶ δυνάμεως δραστηρίου ἠμοίρησεν, οὐσία οὐκ ἂν εἴη ὅ„ λως. (3) Κἀντεῦθεν τοίνυν εἰσβαλοίμην ἂν, ὡς ἐπάνα„ γκες ἐνεῖναι τῇ σωματικῇ οὐσίᾳ πρώτην τινὰ ἐντελέχειαν, „ ὡς πρῶτον τῆς ἐνεργήσεως δεκτικόν. Δύναμιν τουτέστι „ κινητικήν τινα πρωτίστην, ἣ τῇ ἐκτάσει καὶ τῷ ὄγκῳ προ„ σοῦσα, ἀεὶ μὲν ἐνεργείη, ποικίλως δὲ ταῖς τῶν σωμάτων „ συμβολαῖς, καὶ ὁρμαῖς διατιθοῖτο ἑπομένη. Αὕτη δὲ ἡ „ οὐσιώδης τυγχάνει ἀρχὴ, ἡ ἐπὶ μὲν τῶν ζώντων ψυχὴ, ἐ„ πὶ δὲ τῶν ἄλλων, ἅττα ζωῆς ἠμοίρησεν, εἶδος οὐσιῶδες „ ἀκούουσα. (4) Ἐκ τούτων οὖν σημειώσαις ἂν Α'. ὅτι ἁπλῶς ἠρεμεῖν τὰ σώματα μὴ φύσιν ἔχειν τῷ Λεϊβνιτίῳ δοκεῖ. Εἰ γάρ ποτε καὶ ἠρεμήσειεν, ἀνέκλειπτον ἔχειν τὴν

πρὸς

(1) Ἐν Πρακτικ. τῆς ἐν Λιψίᾳ Ἀκαδημ. Ἔτει 1695. Σελ. 145.
(2) Αὐτ. Ἔτει 1694. Σελ. 113.
(3) Αὐτ. Ἔτει 1698. Σελ. 439.
(4) Αὐτ. Αὐτ. Σελ. 434.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πρὸς τὸ κινεῖσθαι ἔπειξιν, ὑπὸ τῶν ἀντιπεριϊσαμένων νενεκρωμένης πως καὶ κολουομένης αὐτοῖς τῆς δυνάμεως. (§. σξθ΄.) Β΄. ὅτι καὶ οὐσιώδης ἡ δύναμις, καὶ ἀναφαίρετος ὅλως, μὴ τὴν τῶν σωμάτων οὐσίαν λόγῳ γοῦν ὑποτιθεμένη· συνισῶσα δὲ, ὡς ταύτῃ καὶ τὴν οὐσίαν συναναιρεῖσθαι, καὶ συνεισάγεσθαι. Γ΄. ὅτι καὶ τῶν σωματικῶν ἐκείνων μονάδων ἑκάστῃ ἰδιάζουσα ἔνεστι δύναμις, καὶ τῶν ἐν ταῖς λοιπαῖς ἁπασῶν φύσει διακεκριμένη. Δ΄. ὅτι καὶ πολλῷ τῷ μέσῳ διαφέρει τὸ δόγμα τόδε, τοῦ τῶν ἄλλων ἀνωτέρω προεκτεθέντος. Οἱ μὲν γὰρ μίαν κοινὴν ἐνεισῆγον τοῖς σώμασι δύναμιν, κατά γε τὰ δεκτικὰ ποικιλλομένην, ὁ δὲ ὑπὲρ ἀριθμὸν εἰσῆγεν αὐτὰς οὐσίᾳ διαφερούσας. Καὶ οἱ μὲν ἐπείσακτον, ὁ δὲ οὐσιώδη. Ἀλλ' ἡμῖν, ἐρεῖς, τίποτε δοξαστέον ἂν εἴη ἐν οὕτω δυσχερεῖ, καὶ δυσεπικρίτῳ πράγματι; Ἔχοις ἂν ἐκ τῆς ἐφεξῆς κρίσεως. Α΄. οἱ αὐτουργὸν τῶν ἐν τῇ ὕλῃ κινημάτων τὸν Θεὸν ἐφιστάντες, καὶ δι' αὐτοῦ τὴν φύσιν πᾶσαν οἱονεὶ ἐμψυχοῦντες, οὐ προσήκοντα τῷ Ὄντι τῷ ὑπερτάτῳ προσάπτειν ἐοίκασιν· ἐνὸν γὰρ διὰ δυνάμεων, ὧν ἂν ἐναπείροι τοῖς σώμασι, τὰ τῇδε διακοσμεῖν καὶ κινεῖν (ὅπερ ἀκροτάτης ἂν εἴη δυνάμεως) ἀμέσως αὐτοὶ πᾶσαν κίνησιν, κἂν τις τῶν φαυλοτάτων ᾖ, αὐτῷ τῷ ὑπεραγάθῳ τε καὶ ὑπερτελεῖ φέροντες ἀνατιθέασι. Β΄. οἱ τὴν καθόλου ψυχὴν, καὶ τὸ ὑλαρχικὸν πνεῦμα εἰσάγοντες, εἰ μὲν οὐσίαν τοῦτο τυγχάνειν φασὶ, παρὰ τὸ μηδεμίαν ἀπόδειξιν τῆς κατ' αὐτὴν ὑπάρξεως προχειρίζεσθαι, ἀποστεροῦσι καὶ τὰς οὐσίας τῶν ὄντων, ἁπάσης ἁπλῶς δυνάμεως. Καί τοι ὥσπερ ταύτην ἐνδυναμοῦσιν, ἐξὸν δήπου τῷ ἴσῳ λόγῳ, κἀκείνας. Εἰ δὲ δύναμιν αὐτὴν εἶναι λέγουσι, μίαν εἰσάγοντες, ἀναιροῦσιν οὕτω τὸ πολυειδὲς τῶν ἐν τῷ παντὶ δυνάμεων, ἃς παντοίας εἶναι εἰκὸς, τοῖς ὑπ' αὐτῶν χαρακτηριζομένοις εἴδεσιν ἀναλόγως συμποικιλλομένας τε καὶ συμπληθυνομένας. Γ΄. ὁ ταῖς οὐσιώδεσιν ἐντελεχείαις οὐσιοποιῶν τὰς μονάδας, τῇ μὲν ὡς ἀπειροπληθεῖς μόνον οὐ τῷ εἴδει ἁπάσας διαφερούσας δυνάμεις εἰσφέρων, περιττὸς τῇ δ' ὡς τέλεον τὴν ἠρεμίαν ἀποσκευάζων, ἀπίθανος. Ταύτῃ τοι τὸ δοκοῦν καὶ ἡμῖν περὶ τούτων ἀποφαινομένοις, ἐνεῖναι δὴ τοῖς σώμασι (διὰ τὸ Α΄. μέρος τοῦ Θεωρήματος) δυνάμεις τινὰς πρεσβευτέον,

καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ταύτας ποικίλας, καὶ ἀλλήλων τῷ ὑποκειμένῳ διῃρημένας. ( κατὰ τὸ Β'. τῶν ἀνωτέρω ) καὶ οὐδ' ἀπείρους πληθεῖς ὡς κατὰ τὰς μονάδας πληθύνεσθαι, οὐδὲ τῷ εἴδει ἀπαξαπάσας ἀλλήλων διακεκριμένας, ( κατὰ τὸ γ'. ) δι' ὧν ὁ Κοσμήτωρ ( κατὰ τὸ Α'. ) τὸ οὐσιωθὲν ὑπ' αὐτοῦ σύστημα κοσμεῖ τε καὶ διεξάγει. Εἰ καὶ ἐπ' ἀκριβὲς οἷαι αὗται εἰσὶ ( διὰ τὸ β'. μέρος τοῦ Θεωρήμ. ) ἀγνοουμένας.

## Θεώρημα ΜΗ'.

§. χιβ'. „ Αἱ δυνάμεις αἷς τισιν ἡ τοῦ παντὸς διακό-„ σμησις ὁροθετεῖται, τῆς τοῦ Δημιουργοῦ βουλήσεως ἐξηρτη-„ μέναι εἰσί.

Θῶμεν γὰρ μή, οὐκοῦν ἄρα τὸ σχῆμα τοῦ κόσμου τῆς τοῦ Δημιουργοῦ ἐξῆπται βουλήσεως. Καὶ εἰ τοῦτο, οὐδὲ τρεπτόν τι ἄρα ὁ Κόσμος. Ἀλλ' ἔστι τρεπτόν. ( §. υηγ'. ) Ἄρα κτ.

## Σχόλιον.

§. χιγ'. Ἀλλ' εἴποι τις ἂν ὅτι τρεπτὸς ἀνωμολόγηται ὁ Κόσμος διὰ τὰς ἐν αὐτῷ ἀλλοιώσεις, καὶ μεταβολὰς (§. υπς'. υπζ'. ) τὰς ἐξ αὐτῶν δὴ τῶν δυνάμεων συμβαινούσας. ( §. χέ. ) Καὶ ὅτι οὐδὲ ἁπλοῦς. ( §. υηγ'. ) Οὐχ οὕτω δὲ ὡς καὶ ταύτας ἢ μή, ἀλλ' ἑτέρας τινὰς δυνάμεις προσλαβεῖν ἐνδέχεσθαι, ὅπερ ὑπεμφαίνειν δοκεῖ τὸ Θεώρημα. ( §. ωωτ. ) Ἀλλ' ἀπαντητέον ὅτι τρεπτὸς ὁ Κόσμος καὶ οὕτω. Α'. γὰρ φέρε ἔντι τῶν ἐν τῷ παντὶ κατὰ μέρος δύναμιν ἔχον, ἐχέτω ἀναφαιρέτως καὶ ἀναλλοιότως, καὶ β'. ἰδία, καὶ γ'., καὶ ὁ λόγος ὁμοίως κατὰ πάντων χωρείτω. Τοιγαροῦν ἐξ ἀτρέπτων τὸ τρεπτόν, καὶ χεῖρον ἑκάστης τῶν ἁπλουστάτων οὐσιῶν ταύτῃ ἂν εἴη τὸ ὅλον σύνταγμα. Ἀλλ' οὐ δοκεῖ. Β'. Εἶτα καὶ τὸ ὑποστῆναι τὸν Κόσμον τῆς τοῦ Δημιουργοῦ βουλήσεως ἔργον εἶναι ἐθέμεθα. ( §. φς'. ) τῆς αὐτῆς ἄρα βουλήσεως ἂν εἴη τὸ τὰς οὐσίας ἐξ ὧν ὁ κόσμος, τοιαύτας ἐγκαθιδρυμένας σφίσιν, καὶ ἐνεαρμοσμένας οἵον πλουτεῖν δυνά-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νάμεις, ἢ μὴ τοιαύτας. Ἐπεί τοιγε ἐδὲν ἄλλο αἱ περὶ ὧν ὁ λόγος ἐνταῦθα δυνάμεις εἰσὶν, ἢ τὸ τὰ μὲν κινεῖν ἔχειν, τὰ δὲ κινεῖσθαι, καὶ τὰ μὲν μεταβάλλειν, τὰ δὲ μεταβάλλεσθαι. ( §. χέ. χς'. ) καὶ ταῦτα κατά γε τὸ μᾶλλον, καὶ τὸ ἧττον, καὶ κατὰ διορισμὲς παντοίες. Ἀλλὰ τὸ εἶναι τῇ σωματικῇ φύσει πρὸ τέτων ἐστὶ νοεμένη, καὶ χωρὶς τέτων ἐκ τῦ ἀκολέθε καὶ ὑφίςασθαι, ἢ ἄλλως πως διακεῖσθαι δυναμένη. Ἄρα κτ. Γ'. Καὶ Κόσμος ἕτερος δυνατός. (§. φβ'. φγ'. ) ὑποςαίη δ' ἂν νεύματι τῆς βελήσεως τῦ Δημιεργῦ. ( §. φς'. ) Εἴη δ' ἂν ἕτερος ἤτοι ἐξ ἄλλων ὄντων παρὰ ταῦτα συνεςηκὼς, ἢ καὶ τέτων μὲν, τῦ δὲ ἐπικρατῦντος ῥυθμῦ ἐξαλλοιωθέντος, ( §. υπθ'. ) ταὐτὸν εἰπεῖν τῆς διακοσμήσεως ξαπείσης. Ἡ δὲ διακόσμησις ἐκ τῶν δυνάμεων ( §. υπέ. καὶ §. χέ. ) Ἄρα κτ.

## Πόρισμα.

§. χιδ'. Οἱ ἄρα τῆς φύσεως λεγόμενοι θεσμοὶ, οἱ κατὰ τὰς ἐν τοῖς ἐσι δυνάμεις, ( §. χς'. χζ'. ) ξεπτοὶ εἰσὶ καὶ αὐτοὶ, καὶ τῇ ἐλευθέρᾳ βελήσει τῦ Δημιεργῦ ὑπείκοντες.

## Θεώρημα ΜΘ'.

§. χιέ. „ Τὰ τεράςια τὰ ὑπὲρ τὴν φύσιν τελέμενα ἐν „ τῷ παντὶ, δυνατὰ μὲν ἐκ τῦ Δημιεργῦ, ἀδύνατα δὲ „ ἐξ ἄλλε τε παρ' ἐκεῖνον.

Τοιαῦτα γὰρ εἶναι φαμὲν τὰ μὴ κατὰ τὲς κειμένες τῇ φύσει θεσμὲς, ἀλλὰ παρ' ἐκείνες τε καὶ ὑπὲρ ἐκείνες· ( ἐξ ὑποθ. ) ἐκείνε δὲ μόνε τῇ παντελευθέρῳ βελήσει, οἱ θεσμοὶ ἔτοι ὑπείκοντες ( §. χιδ'. ) ὑπ' αὐτῦ ἂν μόνε καὶ ξαπεῖεν. Ἄρα τὸ Α'.

Ὅρα καὶ §. ροθ'. ρπ'. )

Εἰ δέ τι καὶ ἄλλο αἴτιον πρὸς τὸ δοκῦν τὲς κειμένες νόμες εἶχε κινεῖν, ἤτοι τῦτο ἂν εἴη τι τῶν ἐν τῷ συςήματι, ἢ ἐκτός. Ἀλλ' εἰ μὲν ἐκεῖνο, ἐκ δυνάμεως ἄρα τῆς ἐν τῇ φύ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φύσει, καὶ οὐχ ὑπὲρ φύσιν εἴη ἂν τὸ τελούμενον, καὶ οὐδὲ τεράστιον ὅλως. Εἰ δὲ τοῦτο, πότερον ὁ Δημιουργὸς, ἤτι τῶν δημιουργηθέντων. Εἰ γὰρ τὸ δεύτερον καὶ τοῦτο ἄρα τοῦ παντὸς μέρος ἂν εἴη, ὡς ἐπενεργοῦν ἐν τῷ συστήματι (§. υγά.) ἀλλὰ καὶ τοῦ παντὸς ἐκτὸς ἅμα (διὰ τὴν ὑπόθεσιν.) Ὅπερ ἀδύνατον. (§. λ΄.) Εἰ δὲ τὸ Α΄. ἔχομεν τὸ προτεθέν. Ἄρα καὶ τὸ Β΄.

## Σχόλιον.

§. χις΄. Διακριτέον τὰ τρία ταῦτα, τὸ κατὰ φύσιν, καὶ ὑπὲρ φύσιν, καὶ παρὰ φύσιν. Καὶ κατὰ φύσιν μὲν ῥητέον, τὸ κατὰ τοὺς ἐν τῇ φύσει κειμένους θεσμοὺς γινόμενον. Ὑπὲρ φύσιν δὲ, τὸ μὴ κατὰ τούτους, τῇ τοῦ Θεοῦ δὲ ἀπολύτῳ τε, καὶ παναλκεῖ δυνάμει τελούμενον. Παρὰ φύσιν δὲ τὸ ἔξω τῶν κειμένων νόμων, διὰ βίαν τινὰ ἐπενεχθεῖσαν ὑπό τινος τῶν ἐν τῇ φύσει αἰτίων, ἀντιπαρεισαμένου τε, καὶ κατισχύοντος, τινὶ τῶν ὄντων ἐπισυμβαῖνον. Καὶ κατὰ φύσιν μὲν τὸ πῦρ ἀνωφερές ἐστι, καταχθείη δ' ἂν ἀπ' οὐρανοῦ ὑπὲρ φύσιν. Παρὰ φύσιν δ' ἂν εἰς κύκλον περιάγοιτο, χειρὶ τῇ κατεχούσῃ, ἢ ἄλλῃ τινὶ μηχανῇ δινούμενον. Καίτοι καὶ τοῦτο, πρὸς μὲν τὸν κατὰ τὴν δύναμιν τοῦ πυρὸς θεσμὸν παρὰ φύσιν εἴποις, ἀπιδὼν δὲ πρὸς τὴν ἐν τῇ χειρὶ δύναμιν, καὶ τὸν διαγορεύοντα θεσμὸν, τῇ σφοδροτέρᾳ κινήσει ὑπείκειν τὴν ἄτονον, κατὰ φύσιν γίνεσθαι ἀποφηνάμενος οὐκ ἂν ἁμάρτοις. Οὕτως οὖν καὶ παρὰ φύσιν ἄνω θέειν ὁ λίθος λέγεται χειρὶ προϊέμενος, τοῦ νόμου τῆς βαρύτητος ἐκβιαζομένου, ἐγὼ δὲ καὶ τοῦτο κατὰ φύσιν συμβαίνειν εἴποιμι ἂν, νόμου νόμον ὑπερνικῶντος τοῦ τῆς προέσεως τὸν τοῦ βάρους, καί μοι τοὐναντίον εἴτις ἀφίοι λίθον, τῇ δυνάμει ἀνάλογον, ὁ δὲ μένοι μετέωρος, ἢ τοὔμπαλιν κατενεχθείη, μηδενὸς τῇ προέσει ἐμποδὼν ἱσταμένου, τοῦτ' ἂν ἥκιστα κατὰ φύσιν γίνεσθαι δόξειε. Παρὰ φύσιν δὲ οὐκ ἀπεικότως ἀκούει καὶ ὅσα, κἂν ἄλλως τισὶ τῶν ἐν τῇ φύσει γενικωτέρων θεσμῶν ὑπείκοι, ἤτοι βίαν ἐπιφέρει εἴδει τινὶ, τὰς κατ' αὐτὸ δυνάμεις κολάζοντα καὶ διαφθείροντα, ἢ τῷ τέλει τῆς φύσεως προφανῶς ἀπομάχεται.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ται. Παρὰ τὴν φύσιν δὲ τελευταῖον, καὶ τὸ ἀθεμιτουργεῖν, οὓς Θεὸς ὑπηγόρευκε τῇ λογικῇ ψυχῇ νόμους, παρὰ φαῦλον τιθέμενον. Ἐπιστάσεως δὲ ἄξιον ὡς τὰ μὲν ὑπὲρ φύσιν, ἀνερμήνευτα ἐστὶν ἡμῖν, ὡς ὑπὲρ λόγον ὄντα, καὶ ἔννοιαν. Τὰ δὲ παρὰ φύσιν ἀναπτυκτέον, τόν τε ἀθετούμενον νόμον ὑποτιθεμένοις, καὶ τὸν καθ' ὃν τὰ τῆς βίας ἐπάγεται. Τὰ δὲ κατὰ φύσιν, τὸν νόμον διερμηνεύοντας, ἤτοι τὰς δυνάμεις καθ' ἃς τελεῖται. Ἔνθεν τοι καὶ τῶν φαινομένων λόγον ἀποδοῦναι ( εἰμὴ ἐπὶ πάνυ ὀλιγίστων ) χαλεπὸν, διὰ τὸ πάνυ δυσαρίθμους τυγχάνειν τῶν δυνάμεων, τὰς ἡμῖν οὔσας ληπτάς· ( §. χί. χιά. ) καὶ διὰ τὸ μηδεμίαν τυχὸν, μηδενὸς πρὸς ἀκρίβειαν. Διὸ δὴ καὶ τῶν ὑπερφυῶν τερασίων, τὰ ὑπὸ τῶν φυσικῶν καλούμενα τέρατα, καὶ τὰ λεγόμενα θαυμάσια παρὰ τοῖς αὐτοῖς διαιρετέον. Ἐκεῖνα μὲν γὰρ τὰ ὑπὲρ φύσιν ἐστὶν, ὧν ἀμέσως ( καθάπερ τινὲς ὡρίσαντο ) ὁ Θεὸς αὐτουργὸς ἀναδείκνυται, τὰ δὲ παρὰ φύσιν ἐστί. Τὰ δὲ κατὰ φύσιν μὲν, παρὰ δὲ τὸ ἄηθες, καὶ τὴν παντελῆ ἄγνοιαν τῶν αἷς τελοῦνται δυνάμεων, παρ' ἡμῶν θαυμαζόμενα. Ἐνταῦθα γενομένῳ ἐπεὶ τοῦ περὶ τῶν τερασίων ἡψάμεθα λόγον τῶν ὑπερφυῶν, κατὰ λόγον τῇ μεταφυσικῇ Θεωρίᾳ πρέποντα, πάρεργον ἂν εἴη, καὶ περὶ τῶν τῆς ἀποκαταστάσεως λεγομένων, περὶ ὧν Λεϊβνίτιος καὶ Οὐόλφιος οἱ Γερμανοὶ ἐπραγματεύσαντο βραχέα διελθεῖν. Α΄. μὲν οὖν, διὰ παντὸς, ὅπερ ἂν ὑπὸ Θεοῦ τελεσθείη, τοιούτου τερασίου, τὴν ἐν τῷ παντὶ τάξιν ταράττεσθαι ὑπειλήφασι, τουτέστι τοιοῦτό τι συμβαίνειν, οἷον οὐκ ἂν συνέβη ποτὲ, αὐτῆς ἀκινήτου μενούσης, τῆς κατὰ τοὺς φυσικοὺς νόμους τῶν ὄντων τάξεως. Β΄. Κἀντεῦθεν ἄλλα φασὶν ἀποβαίνειν ἑπομένως, παρ' ἃ ἔμελλεν ἀποβήσεσθαι τοῦ σημείου μὴ γινομένου. Γ΄. Ἀλλ' εἰ τοῦ βουλήματος ἤδη αὐτῷ τελεσθέντος διὰ τῆς παραδοξοποιΐας βουλητὸν εἴη Θεῷ, τὴν ἥτις παρακεκίνηται τῶν ὄντων τάξιν ἀποκαταστῆσαι, ταὐτὸν εἰπεῖν, ὅπερ ἀπέβη ἂν εἰμὴ τὸ σημεῖον ἐγένετο, ἀποβῆναι ποιῆσαι, εἰ τοῦτο δόξειε, πῶς ἂν γένοιτο; Δ΄. Γένοιτ' ἂν, φασὶ, τοῦτο ( εἰ καὶ μηδέ ποτέ τι τοιοῦτο γενέσθαι ἀποφαίνεται ὁ Οὐόλφιος ) εἰ διὰ καινοῦ τερασίου, ἡ κατὰ φύσιν τῶν πραγμάτων τάξις ἡ ἐσομένη ἂν, μὴ τοῦ α. τελεσθέντος, ἀποκατασταθείη. Ε΄. Καὶ

τόγε

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

τόγε καινὸν τοῦτο τεράστιον, δι' ὅπερ αὖ κατὰ ῥυθμὸν τὸν φύσει πρέποντα ἐχώρησε τὰ ὄντα, τεράστιον ἐκάλεσαν ἀποκαταστάσεως. Ἀλλὰ καὶ περὶ τούτων ἡμῖν μὲν ἅλις, ὅσον μὴ τέλεον τὴν τερατιολογίαν τούτων τῶν Μεταφυσικῶν περιδραμεῖν, ἐντύχοι δ' αὖτις πλείω περὶ τούτων μετιὼν τὰ Λωκίου (1), τὰ Κλεξίου (2), τὰ Κλαρκίου (3), τὰ Λεϊβνιτίου (4), τὰ Οὐολφίου (5), καὶ ἄλλων.

## Θεώρημα Ν'.

§. χιζ'. „ Τῶν ἐν τῷ ὑφεστῶτι Κόσμῳ κειμένων νόμων, οὓς μὲν ἀγνοοῦμεν, οὓς δὲ γινώσκομεν, ἀλλ' ἐκ τῶν ὑστέρων."

Οἱ γὰρ νόμοι κατὰ τὰς δυνάμεις, (§. χς'.) τὰς δὲ δὴ τὸ πλεῖστον μέρος ἀγνοοῦμεν. (§. χί. χιά.) Ἄρα τὸ Α'.

Ἀλλὰ καὶ ἐναργῶς τινὰ τῶν γινομένων ὁρῶντες, κατὰ λόγον τὸν αὐτὸν, καὶ ἐν περιστάσεσι ταῖς παραπλησίαις ὡσαύτως ἀεὶ συμβαίνοντα, ἐπί τινας δυνάμεις ἀνάγειν εἰώθαμεν, οἷον τὸ μὲν κατωφερὲς τῶν σωμάτων ἐπὶ τὴν βαρύτητα ἀναφέρομεν, τὴν δ' ἀντανάκλασιν τῶν αὐτῶν ἐπὶ τὸ ἐλατήριον. Καὶ ἐπὶ ἄλλων τινῶν ὁμοίως. Οὕτω γάρ τοι καὶ οὐκ ἄλλως οἱ τῆς φύσεως ἰχνηλάται τοῖς καθ' ἕκαστα γινομένοις, λογισμοῖς ἀτενέσι προσέχοντες, καὶ παρατηροῦντες ἐπιμελῶς τὰ φαινόμενα, ἐκ τούτων ἐπὶ τοὺς μηχανικοὺς λεγομένους θεσμοὺς, κατὰ μετάβασιν τῇ διανοίᾳ ὁμολογοῦσιν ἀναδραμεῖν. Ἄρα καὶ τὸ Β'.

Σχό-

(1) Διάλεξ. Περὶ τεραστίων.
(2) Περὶ Ἀπιστίας.
(3) Ἀπάντ. πρὸς Λεϊβνίτ.
(4) Ἐν τῇ Θεοδικαίᾳ καὶ Ἀπάντ. πρὸς Κλάρκ.
(5) Ἐν Μεταφυσ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Σχόλιον.

§. χιή. Α΄. Οὐν καθ᾽ ἑαυτὴν, ὡς ἔχει φύσεως, τὴν σωματικήν τε καὶ ἔνυλον ἐσίαν, περισκοπήσαντες, ἔπω πεφυκῦαν τὴν ὕλην συνεῖδον καὶ κατεφώρασαν, ὡς μηδεμίαν ἔχειν τροπὴν αὐτὴν ἑαυτῇ ἐμποιῆσαι. Ἠρεμῦσα γὰρ καθ᾽ ἑαυτὴν ἐδέποτε κινηθήσεται, κινεμένη δὲ, ἐδέποτε ἀφ᾽ ἑαυτῆς ἠρεμήσει, καὶ ποιόν δε ἢ ποιόν δε φέρεσα σχῆμα, ἐκ ἄν ποτε ἐξ οἰκείας δυνάμεως αὐτὸ μεταμείψειε. Διὸ δὴ ταύτην τὴν φύσει προσεῖναι θεωρεμένην τῇ ὕλῃ ἰδιότητα, δύναμιν ἀδρανίας ἀποκαλέσαι ἠξίωσαν. Ἔστι δὲ, τόγε ἀληθὲς εἰπεῖν, ἀδυναμία ἀκριβὴς αὕτη, καὶ νωθρότης τις τῆς ὕλης, καὶ πρὸς τὸ ἐνεργεῖν ἀφυΐα, καὶ τί ἄλλο, ἢ παντελὴς ἀσθένεια. Ἣν ἐν αὐτῇ τῇ ὕλῃ καὶ οἱ ἀρχαῖοι ὑπέθεντο, δύναμιν ἄκρατον ὁρισάμενοι, καὶ μηδὲν καθ᾽ ἑαυτὴν ἐνεργείᾳ ἔχεσαν, ἀλλ᾽ ἢ τὸ δυνάμει. Κατ᾽ αὐτὴν ἐν τὴν ἰδιοτροπίαν τῆς ὕλης κείσθω·

Α΄. Νόμος ὁ τῆς ἀδρανίας.

„ Καθ᾽ ὃν, ἐν οἱᾳδήποτ᾽ ἂν καταστάσει ἡ ὕλη τεθῇ, ἐν
„ αὐτῇ μένει, εἰ μηδὲν ὑποτεθείη τὸ ἔξωθεν αὐτῇ ἐπε-
„ νεργῦν τε, καὶ μεταβάλλον.

Ἐκ γὰρ δὴ τέτε καὶ οἱ νόμοι οἱ ἐφεξῆς·

„ Τὸ ἠρεμῦν σῶμα ἐκ ἂν ἑαυτὸ κινήσειε ποτέ. Καὶ πᾶν
„ τὸ κινέμενον σῶμα ὑφ᾽ ἑτέρε κινεῖται.

„ Καὶ σῶμα τὸ ἐν κινήσει ὂν, ἐκ ἂν ἀφ᾽ ἑαυτῦ ἠρεμή-
„ σειε.

„ Καὶ πᾶν τὸ ἀπὸ κινήσεως ἠρεμῦν (λέγω δὲ ἀπὸ κι-
„ νήσεως διὰ τὸ §. φοϛ΄. φοζ΄.) ὑφ᾽ ἑτέρε πάντως τὸ ἠ-
„ ρεμεῖν προσλήψεται.

Β΄. Πρὸς τὰ ἐπ᾽ αὐτῇ ἐνεργῦντα τὴν ἔνυλον φύσιν ἀπιδόντες, ἐπιτηδείως ἔχειν κατειλήφασι τὴν ὕλην, πᾶσαν ὑλικὴν μεταβολὴν ἐπιδέξασθαι πρὸς ἐκείνων. Καὶ ἠρεμῦσαν μὲν δύνασθαι κινηθῆναι ὑπ᾽ ἄλλε, κινεμένην δὲ καταχεθῆναι καὶ παύσασθαι τῆς κινήσεως, ἢ καὶ βράδιον κινηθῆναι, μέρος πηλίκον τῆς ἐνέσης ὁρμῆς ἀποθεμένην· ἢ καὶ τάχιον ὁρμὴν πλείονα ἐφ᾽ ἧς εἶχε προσλαβῦσαν. Καὶ σχῆμα δὲ

τὸ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸ περιὸν πεφυκέναι ἀμείβειν τὴν αὐτὴν, καὶ ὅλως ἀδιαφορεῖν, πρὸς πᾶσαν, ἥτις ἂν αὐτῇ προσήκουσα ᾖ, κατάστασιν. Οἷον τὸ ἀκινητοῦν σῶμα α ὑπὸ τοῦ προσβάλλοντος αὐτοῦ σώματος β, ἀνάλογον τῇ κατὰ τὸ μέγεθος τῆς κινήσεως προσβολῇ, ἐπιδέχεσθαι οἵαν ἐστὶ τὴν φοράν. Καὶ τὸ κινούμενον β, ὑπὸ τοῦ ἀκινητοῦντος α, ᾗ καὶ ἀντιφερομένου, τῇ ἀπαντήσει, ἤτοι ὅλην, ἢ μέρος, τῇ μὲν τοῦ ὄγκῳ, τῇ δὲ πρὸς τοῦ ὄγκῳ καὶ τῇ ὀξύτητι ἀνάλογον, ἀφαιρεῖται ἣν εἶχον ἐτύγχανε κίνησιν. Καὶ ὅλη δὲ (ὃ τοῖς τὸν νοῦν παχυτέροις, καὶ μόνῃ τῇ αἰσθήσει τὰ ὄντα κρίνουσι παρὰ δόξαν ἐστὶ) ἡ γῆ ἀκινητοῦσα, κίνησιν ὑπὸ μυίας ἐπικαθιμμένης, εἰκὸς ποιρίζεσθαι ὁποσηνοῦν, διὰ τῶν ἐπ᾽ αὐτῆς μερῶν διαβαινούσης, παρὰ τὸ βραχὺ τοῦ μεγέθους ἡμῖν ἥκιστα ληπτὴν αἰσθήσει, λόγῳ δὲ θεωρητήν. Καὶ ὄγκος δὲ ὅσος ἡ γῆ κινούμενος, ἣν ἀντιπεριπέσῃ μυίᾳ, φέρε, ἢ κώνωπι, μέρος ὁμοίως ἀποβαλεῖται ἧς εἶχεν ὁρμῆς ἀνάλογον τοῦ ἀντιπίπτοντι, διὰ μὲν βραχύτητα οὐκ αἰσθητὸν, λόγῳ δὲ ληπτόν. Τὸ δὲ δὴ περιὸν τοῦτο τῇ ὕλῃ πάθημα ἐναντίον πως τοῦ ἀνωτέρω ἐστίν· ὥσπερ γὰρ δι᾽ ἐκεῖνο ἀδρανὴς καθ᾽ ἑαυτὴν οὖσα ἐδείκνυτο, οὕτω διὰ τοῦτο πρὸς πᾶσαν μεταβολὴν εὐφυῶς, καὶ ἑτοίμως γνωρίζεται ἔχουσα. Ἀλλ᾽ ἐκεῖνο μὲν ἀσχέτως, τοῦτο δὲ πρὸς τὰ ἐκτὸς ἐνεργοῦντα τὴν ἀναφορὰν ἔχουσα. Κληθείη δ᾽ ἂν ὀρθῶς ἡ τοιουτώδης δεξιότης τῆς ὕλης ἀδιαφορία, καὶ δύναμις τοῦ ὄντι παθητική, οἵαν δὴ καὶ οἱ περὶ Πλάτωνα καὶ Ἀριστοτέλην ταύτῃ προσνένειμαν, ἐκμαγεῖον ὀνομάσαντες, καὶ πανδεχὲς, καὶ τιθήνην, καὶ μητέρα, καὶ χώραν, καὶ φύσιν ἔχειν τοιαύτην εἰπόντες, ὥστε πᾶσαν μὲν γένεσιν ὑποδέχεσθαι, ἅπαν δὲ εἶδος, καὶ πάσας μεταβολὰς ἐκ τοῦ ἀκολούθου καὶ ἀλλοιώσεις ῥᾷστα μεταβάλλεσθαι. Συγχέειν δέ μοι ἐοίκασι τὴν ἀδιαφορίαν ταύτην, καὶ παθητικὴν εἰρημένην δύναμιν, τῇ ἀνωτέρω ἐκτεθείσῃ τῆς ὕλης νωθείᾳ τῷ αὐτῷ ὀνόματι τῆς ἀδρανείας ἄμφω περισημαίνοντες Νεύτων, Κεῖλλιος, Κλάρκιος, Γραβεζάνδιος, Μουσχεμβροέκιος, καὶ ἄλλοι. Ἄμεινον δ᾽ ἂν ἔκειναν εἴγε διέκειναν. Καὶ τοίνυν κείσθω·

Β΄. Νόμος ὁ τῆς Ἀδιαφορίας.

„ Τῆς ἐν ᾗ κεῖται καταστάσεως, ἐν κινήσει ἢ ἠρεμίᾳ,



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ καὶ τοῖς πιέτοις, ἐπὶ τὴν ἐναντίαν ῥαδίως πέφυκεν ἡ ὕ-
„ λη μετακινεῖσθαι καὶ μεθίςασθαι, ὑπὸ τοῦ ἔξωθεν αὐτῇ
„ ἐπενεργεῖν δύναμιν ἔχοντος.

Ἔτι δὲ τούτου καὶ οἱ ἐφεξῆς.

„ Ἠρεμοῦσα ἡ ἔνυλος φύσις, ὑπὸ τοῦ ἐπενεργεῖν αὐτῇ
„ δύναμιν ἔχοντος, ἐκ τῆς ἠρεμίας ῥᾷστα ἂν μεταχθείη εἰς
„ κίνησιν.

„ Κινουμένη δὲ ἀνάπαλιν ἂν μεταςαίη, ἀπὸ τοῦ κινεῖσθαι,
„ ἤτοι εἰς τὸ ἠρεμεῖν, ἢ γοῦν εἰς ἐλάσσονα κίνησιν, ἢ καὶ
„ μείζονα.

Γʹ. Ἐπὶ τούτοις δὲ καὶ τρίτον προσεῖναι τῇ ὕλῃ γνώρισμα, ἀμφιλαφεῖ παιδευθέντες τῇ πείρᾳ οἱ φιλοσοφοῦντες διέγνωσαν, καθ᾽ ὃ τοῖς ἐνεργοῦσιν ἐπ᾽ αὐτῆς, ἀντέχουσά πως, καὶ ἀντιβαίνουσα, καὶ αὐτῇ ἀμοιβαδὸν ἀντενεργεῖν πέφυκε. Ταύτην δὲ δύναμιν παθητικὴν οἱ περὶ Λεϊβνίτιον (1) ἐκάλεσαν, ἀλλὰ τῆς δευτέρας τῶν ἀνωτέρω μᾶλλον οἰκειουμένης τὴν κλῆσιν· αὕτη καταλλήλως ἂν οἶμαι ἀντίδρασις λέγοιτο, καὶ ἀντίβασις, ἢ τοιοῦτό τι παραπλήσιον· ἐν ἁπάσαις δὲ ταῖς ἐπισυμβαινούσαις τοῖς σώμασι μεταβολαῖς καταφανὴς γίνεται καὶ αὐτή. Οἷον εἰ σῶμα τὸ α ἠρεμοίη, ἤτοι ἐπιπέδῳ τινὶ ἐπιτεθέν, ἢ καὶ μίτῳ ἀνηρτημένον, προσβάλοι δὲ αὐτῷ προσαράξαν σῶμα ἕτερον τὸ β, ἀντέχει μὲν τὸ α τῇ προσβολῇ τῇ ἀπὸ τοῦ β ἀντιβαῖνον, αἴρει δὲ καὶ μοῖραν, ὡς ἀντενεργοῦν δήπου ἀπὸ τῆς τοῦ β προσιούσης ὁρμῆς. Τεκμήριον δὲ ὅτι ἐπιβραδύνει τοῦτο τὴν ἐφεξῆς κίνησιν. εἰ μὴ γάρ, ὁποσονοῦν ἂν τεθείη τὸν ὄγκον τὸ α, καὶ ὑπὸ τῆς τυχούσης ἂν προσβολῆς ἐς ἀεὶ ἐκινεῖτο, δι᾽ ἣν ἀνωτέρω ἔφημεν, μετεῖναι αὐτῷ ἀδιαφορίαν. Ἀλλὰ καὶ τόγε ἠρεμοῦν α, ἵν᾽ ἐπὶ ὥρας ἑξηκοστοῦ, ὀργυιὰν φέρε, παρελάσῃ, μείζονος χρήζει τῆς ἀπὸ τοῦ κινοῦντος ὁρμῆς, ἢ ὅπως ἐν ἴσῳ χρόνῳ τὴν ἡμίσειαν διεξέλθοι τοῦ ὀργυιαίου διαστήματος· καὶ τότε δὴ μείζων ἐν τῷ κινοῦντι συμβαίνει ἡ τῆς φορᾶς ἀπομείωσις. Ἡ δὲ ἀντίδρασις αὕτη ἐνθεωρεῖται μὲν τῷ σώματι ἀκι-

(1) Ὅρα τὴν Φιλόσοφον τοῦ Κασελλέτ, Κεφ. ηʹ. §. 142.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀκινητοῦντι πρὸς τὸ κινοῦν, ἐνθεωρεῖται δὲ καὶ κινουμένῳ πρὸς ἄλλο κινούμενον, καὶ κινοῦν κινήσει ἤτοι ἀντιθέτῳ, ἢ καὶ κατὰ ταὐτὰ ( ταχίονι δὲ ) ἀποδιδούσῃ. Κἀνταῦθα δή τις συμβαίνει ἀλληλονέργεια, καὶ ἀλληλοπάθεια. Ἀ,εὶ γεμὴν τὸ μείζονος λαχὸν τῆς ὁρμῆς, ἐνεργεῖν λέγεται πρὸς τὸ ἔχον ἐλάσσονα, μεταδιδοῦν τῆς κινήσεως, τὸ δὲ τὴν ἐλάσσονα πρὸς τὸ τὴν μείζονα ἀντιδρᾷν τε καὶ ἀντενεργεῖν, μεταλαμβάνον. Ἐπειδὴ δὲ ἐς ἄπειρον μᾶλλον ἔτι καὶ μᾶλλον τὰ τῆς φορᾶς ἐπιτείνεται, ἐκ τοῦ ἀκολούθου συνεπιτείνεσθαι τούτοις προϊόντα ἐπ᾽ ἄπειρον συμβαίνει καὶ τὰ τῆς ἀντιδράσεως. Τὸ τοίνυν μεῖζον τὸν ὄγκον ἀκινητοῦν, μᾶλλον ἀντέχον πρὸς τὰς ἀπὸ τῶν ἔξωθεν προσβολὰς, κινηθείη ἂν καὶ βράδιον, ὑπὸ ἰσοσθενοῦς δυνάμεως, ἢ τὸ ἔλαττον. Ὥστε τὴν ἀντίβασιν εἶναι τῇ ὕλῃ τῶν σωμάτων, τῇ οὔσῃ μὲν, οὐ τῇ δοκούσῃ δὲ ἀνάλογον, κἄν τε ὑγρὰ τὰ προσπίπτοντα ᾖ, κἄν τε στερρὰ καὶ ἀντίτυπα. Καὶ γὰρ παρατηρήσει πεφώραται κύβον ὕδατος δακτυλιαῖον, τοῦ ἐξ αὐτοῦ συνισαμένου παγετοῦ ἐπίσης ἀντέχειν πρὸς τὴν ἐμπίπτουσαν δύναμιν. (1) Καὶ τοῦτο δὲ προσσημειωτέον ἐπὶ τοῖς ἄλλοις, ὡς τῆς ἐν τοῖς σώμασιν ἐνούσης ταύτης ἀντιδραστικῆς δυνάμεως, οὐκ ἔστιν ἡ κατὰ φύσιν ( ὥς αὖτις ὑπολάβοι ) αὐτοῖς προσήκουσα διὰ τὸ βάρος, ἐπὶ τὰ κάτω φορὰ, παραίτιος. Ἔδει γὰρ εἴπερ, καὶ ἠρεμοῦν, καὶ κινούμενον, ἧττον ἀντενεργεῖν ἐντεῦθεν τὸ σῶμα, ἢ ἐντεῦθεν, νῦν δὲ ὅπως ἂν καὶ τεθῇ, καὶ καθ᾽ ἣν τινα δήποτε κατάστασιν, πανταχόθεν ἴσης εὐμοιρήσει τῆς πρὸς τὸ ἀντιδρᾷν τῆς προσπίπτουσιν αὐτῷ δυνάμεως. Κείσθω δὲ ἄρα καὶ ταῦτα.

Γ΄. Νόμος ὁ τῆς Ἀντιδράσεως.

„ Αἱ τῶν σωμάτων ἐπενεργήσεις τε καὶ ἀντιδράσεις ἶσαι
„ ἀλλήλαις εἰσίν.

Κἀκτούτου δὲ,

„ Σῶμα κινήσεως μεταδὸν, τοσοῦτον ἀπέθετο, ὅσον προ-
„ σένειμε.

„ Καὶ

(1) Μυσχεμβροέκ. Φυσ. Κεφ. β΄. §. 58.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ Καὶ σῶμα κινήσεως μεταλαβὸν, τοσοῦτον μετείληφεν, „ ὁπόσον ἀφήρπασε.

Προσήκει τοιγαροῦν τὰ τρία ταῦτα τῇ ὕλῃ, ἥτε ἀδρανία φημὶ, καὶ ἡ δύναμις ἡ παθητικὴ, ἣν ἀδιαφορίαν προσείπομεν· καὶ ἡ ἀντίδρασις. Ἁπάσῃ τε τῇ ὕλῃ, τοῖς τε ἁπλουστέροις δηλονότι σωματίοις, ἐξ ὧν τὰ σύνθετα, καὶ τοῖς ἐξ αὐτῶν. Καὶ μόνῃ τῇ ὕλῃ. Οὐδὲν γὰρ ἴσμεν μὴ ἔνυλον ὂν, ᾧπερ ἂν ταῦτα προσείη. Καὶ ἀεὶ τῇ ὕλῃ, ἠρεμούσῃ οὐδὲν ἧττον, ἢ κινουμένῃ, καὶ καθ' ἣν τιναοῦν ἁπλῶς κατάστασιν ἐχούσῃ. Ἔνθα δὴ πάρεργον ἂν εἴη καὶ τοῦτο προσσημειῶσαι, ὅτι τὴν ἀδρανίαν κατὰ τὸν γ'. μόνον τρόπον ληφθεῖσαν, καὶ δύναμιν οὕτω παθητικὴν παρ' αὐτοῖς ἀκούσαν, οἱ περὶ Λεϊβνίτιον (1) ἁπάσῃ φέροντες τῇ ὕλῃ ἐνέσπειραν. Προσθέμενοι δὲ ταύτῃ καί τινα δύναμιν ἐνεργητικὴν, ὁρμήν τινα τουτέστι διηνεκῆ πρὸς κίνησιν, οὐσιωδῶς ἐνοῦσαν αὐτῇ, τὴν κατὰ τὴν πρώτην καθ' ἡμᾶς λῆψιν κυριώτατα ἀδρανίαν, καὶ τὴν κατὰ τὴν δευτέραν, ἣν ἀδιαφορίαν εἰρήκαμεν, δῆλοι εἰσὶν ἀναιροῦντες ἄρδην καὶ ἀφανίζοντες, οὐκ ὀρθῶς οὐδὲ εὐλόγως τόγε ἐμοὶ δοκεῖν. Τὰ γὰρ οὐσιωδῶς τῇ ὕλῃ προσόντα, οἷον ἔκτασις, καὶ τὰ λοιπὰ παντὶ σώματι ἐν φύσει προσήκοντα ἐστίν. Τὴν δὲ ἐνεργητικὴν, ἥνπερ οὗτοι εἰσάγουσι, πολλοῦ γ' ἂν δεήσειε προσεῖναι τοῖς σώμασιν, εἰ τοὐναντίον ἅπασιν αὐτοῖς, ὁπόσα ἴσμεν, προσεῖναι φαίνεται ἥτε ἀδρανία καὶ ἡ ἀδιαφορία, αἱ κατὰ τὸν α'. καὶ β'. τρόπον, ἡ μὲν ἄκρατος οὖσα ἀδυναμία. ἡ δὲ παθητικὴ δύναμις, ἅτε δὴ πρὸς τὸ παθεῖν ψιλὴ δεξιότης. Εἶτα καὶ εἴπερ οὐσιωδῶς ἐνοῦσα ἐστὶν ἅπασι τοῖς μορίοις τῆς ὕλης, ἥτε ἐνεργητικὴ δύναμις καὶ ἡ παθητικὴ, ἀλλήλαις ὑπεναντίαι οὖσαι, καὶ ἀνὰ κράτος ἀντιβαίνουσαι, ἢ ἴσαι ἔσονται τὴν ἰσχὺν, ἢ πάντως ἄνισοι. Καὶ εἰ μὲν ἴσαι, οὐδετέρα ὑπερισχύσει δηλονότι, καὶ οὐδὲ κίνησις ἔσται τοῦ λοιποῦ ἐν τοῖς οὖσιν, οὔθ' ἠρεμία. Εἰ δὲ μὴ ἴσαι, ὑπερτερούσης τῆς ἑτέρας, ἡ ἑτέρα οὐδέποτέ τι δυνήσεται. Καὶ ἤτοι κίνησιν μόνην ἕξο-

(1) Ἡ Φιλόσοφος τοῦ Κασιλλὲτ Κεφ. η'. §. 141.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ξομένην, ἢ ψιλὴν ἠρεμίαν. Ἀλλ' ἐκκλινεῖ δὴ ταῦτα τὰ συμβαίνοντα ἄτοπα, ὅς ἂν ὑπολαμβάνοι, τὴν μὲν ὕλην οἴκοθεν καὶ καθ' ἑαυτὴν, καὶ ἐξ οἰκείας, ὡς ἁπλῶς εἰπεῖν, φύσεως, Α'. μὲν ἀδρανῆ τυγχάνειν τε καὶ νωθρὰν ἐπίσης πρός τε ἠρεμίαν, ἐν κινήσει οὖσαν, καὶ ἐν ἠρεμίᾳ πρὸς κίνησιν. Β'. δὲ ἀδιαφόρως ἔχειν πρὸς ἑκάτερα αὐτὰ, ἅττα ὑπὸ τῶν ἐκτὸς ἐπενεργούντων αὐτῇ πέφυκεν ἐπιδέχεσθαι. Γ'. δὲ καὶ δυνάμεως ἀμοιρεῖν τοιαύτης, ὡς ἀντιδρᾷν ἔχειν πρὸς τὰ ἐνεργοῦντα αὐτῇ, κατὰ τὴν εἰρημένην ἀντίβασιν, οὐδὲν ἧττον ἀκινητοῦσα, ἢ κινουμένη, καθ' ὃ ἂν ἔχοι μέτρον ὁρμῆς τε καὶ ὄγκου, ἢ ὄγκου μόνου ἀνάλογον.

## Θεώρημα ΝΑ'.

§. χιθ'. „ Καὶ οἱ ἠθικοὶ δὲ λεγόμενοι νόμοι τῆς φύ-
„ σεως, οὐδὲν ἧττον πρὸς τὴν τοῦ παντὸς διακόσμησιν εἰσὶ
„ συντελοῦντες, ἤγε παρῇ τὰ οἷς προαιρέσεως μέτεστι.

Μέρος γὰρ οὔπως ἂν εἴη τῆς τῶν ὅλων διακοσμήσεως τὸ τιμιώτατον, ἡ προαιρετικὴ φύσις, (ἐξ ὑποθ.) ἡ δὲ ἐφ' ἑκάτερα ῥέπειν τῇ προαιρέσει φύσιν ἔχουσα, καὶ κατὰ κόσμον ἐνεργεῖν ἂν ἔχοι, καὶ μὴ, κἀκείνως μὲν ὡς προσῆκον ἐστὶ τῇ διακοσμήσει τοῦ ὅλου, οὕτω δ' ὡς μή. Συντελεῖ δὲ τῇ ὅλῃ διακοσμήσει, ὃ ἂν προσῆκον αὐτῇ ᾖ, ὡς συνεκτικόν τε καὶ σωστικόν. Οἱ δὲ νόμοι οὗτοι, περὶ ὧν ὁ λόγος, οὐδὲν ἄλλ' ἢ τί τὸ προσῆκον, καὶ τί τὸ μὴ ὑποτιθέασι, κανόνες οἱονεί τινες ὄντες, καθ' οὓς αἱ προαιρετικαὶ ἀπιθύνονται πράξεις. (§. χθ'.) Ἄρα καὶ οἱ ἠθικοὶ λεγόμενοι νόμοι κτ.

## Σχόλιον.

§. χκ'. Α'. Τῇ ὑπερτάτῃ καὶ δημιουργῷ φύσει, ὑπὸ τῆς παρ' αὐτῆς οὐσιοποιηθείσης, καὶ δημιουργηθείσης φύσεως, πᾶσα τιμὴ, καὶ ὑπακοὴ ὀφείλεται. Οὗτος ἐπὶ τῶν ἠθικῶν ἐστὶ νόμος ὁ ὕπατος. ΘΕΟΝ ΣΕΒΟΥ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Β΄. Ἐπεὶ δὲ ἄνευ τοῦ κοινωνικοῦ, καὶ τῆς πρὸς ἀλλήλους εὐνοίας, τὸ τῶν ἀνθρώπων σύστημα διεξαπατεῖν ἂν θᾶττον, ἢ πρὸς βραχὺ διασωθείη, δεύτερος ἄρα νόμος ἐκεῖνος ὁ διαγορεύων ἅπασι, ΤΟΝ ΠΕΛΑΣ ΦΙΛΕΙΝ.

Γ΄. Καὶ τῶν μερῶν δὲ μὴ σωζομένων, οὐκ ἂν σώζοιτο τὸ ὅλον τὸ ἐξ αὐτῶν, φροντιστέον ἄρα καὶ τῆς ἰδίας ἑαυτοῦ σωτηρίας ἑκάστῳ, ΣΩΖΟΥ. Τούτους τοίνυν ὀρθῶς ἂν μετὰ τοῦ Πλάτωνος φιλοσοφῶν εἴποις „ νόμους εἶναι, οὓς ἐπὶ τῇ τοῦ παντὸς φύσει, ὁ Θεὸς εἶπε ταῖς ἀθανάτοις ψυχαῖς. (1) „ Τούτους γὰρ ἁπάσῃ ψυχῇ φυσικοὺς νόμους, βοηθοὺς αὐτῇ, „ καὶ συμμάχους ἐπὶ τῶν πρακτέων ὁ τῶν ὅλων Δημιουργὸς „ ὑπεστήσατο. (2) Ἐν οἷς σημειωτέον ὡς ὁ Β΄. καὶ ὁ Γ΄., ἅτε δὴ τὴν τοῦ ἀνθρωπείου γένους ὕπαρξιν ἀφορῶντες, ξένην καθ' ἑαυτὴν ἦσαν, καὶ μόνῳ τοῦ ὑποστησαμένου ἠρτημένην τῷ νεύματι, ξεπτοὶ τυγχάνουσι καὶ αὐτοὶ εἰκότως, καὶ τῇ τοῦ θεμένου βουλήσει ὑπείκουσιν. Ὁ δὲ Α΄. ἀναγκαίως ἔχων ἐστὶ, καὶ ἀξέπτως, οἷα δὴ τῇ ἀναγκαίᾳ τε καὶ ἀπαραιτήτῳ σχέσει τῶν δημιουργημάτων πρὸς τὸν δημιουργήσαντα, ἐρειδόμενος.

# ΚΕΦΑΛΑΙΟΝ Ε΄.

## Περὶ Εἱρμοῦ τοῦ ἐν τῷ Συστήματι, ἔνθα καὶ Περὶ Εἱμαρμένης.

§. χκα΄. Τὴν κατ' ἀλληλουχίαν τῶν αἰτίων τε καὶ αἰτιατῶν συνεχῆ τε καὶ μὴ διαλείπουσαν πρόοδον, καθ' ἣν τῶν συμπληρούντων τὸ σύστημα τὰ μὲν ἡγεῖται, τὰ δ' ἕπεται, καὶ τὰ μὲν τὴν μεταβολὴν ποιεῖ, τὰ δ' ὑποδέχεται, Εἱρμὸν ὀπο-

(1) Πλάτων ἐν Τιμαίῳ.
(2) Ὅρα Εὐσεβ. Εὐαγγελ. Προπαρασκ. Βιβλ. ς΄. Ἀριθμ. ς΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀποκαλῶ, γνώρισμα κόσμου ὂν ἀναγκαῖον, εἰ μέλλοι τοῦτο εἶναι, ὃ λέγεται. (§. υπέ. κζ'. χέ. κζ'.)

§. χκβ'. Ἐπεὶ δὲ τῶν αἰτίων τὰ μὲν ἀναγκαίως πέφυκεν ἐνεργεῖν, τὰ δὲ κατὰ βουλῆς, καὶ ἐλευθέρως. (§. νγ'.) Ταύτῃ γε καὶ τὸν μὲν εἱρμὸν ἀναγκαῖον ἀποφαίνομαι, καὶ φύσει μὴ διακοπτόμενον, τῇ κατ' ἐκεῖνα ἀκολουθίᾳ, τὸν δὲ ἐνδεχόμενον, καὶ πυκνῶς διαλείποντα, τῇ κατὰ ταῦτα.

§. χκγ'. Τὴν δὲ δὴ διακοπὴν καὶ τὸ διάλειμμα τὸ τοῦ συνεχοῦς εἱρμοῦ, ἣν τῷ ἅλματι ἐξεικάζειν οἱ Νεώτεροι χαίρουσιν, οὐκ ἂν ἄλλως συμβαίνειν ἡγούμεθα, ἢ αἰτιατοῦ γινομένου, μὴ τῶν πρὸς αὐτὸ τεινόντων αἰτίων ἐπενεργούντων, ἤτοι μηδενὸς ὅλως, ὅτε καὶ ἀπόλυτον ἀξιοῦσι καλεῖν τὸ ἅλμα, ἢ μὴ πάντων ὧν ἔδει. Οἷον εἰ διὰ περιουσίαν δυνάμεως ἐνεργεστέρας, ἐν χρόνῳ ταχίονι τελοῖτό τι, ἢ δι' αἰτίων ἀγνοουμένων, ἢ καὶ τῆς πανσθενοῦς ἀμέσως ἐνεργούσης αἰτίας. Ὅτε δὴ καὶ σχετικὸν τὸ ἅλμα καλεῖν εἰώθασι, τῆς σχέσεως πρὸς ἅπερ ἔδει μὲν, οὐ προηγήσατο δὲ ἐκπερατουμένης.

§. χκδ'. Τύχη δὲ ἐστὶν, ὡς οἱ περὶ τὸν Πλάτωνα ἀπέδωκαν (1), αἰτία κατὰ συμβεβηκὸς τῶν οὕνεκά του, ἐν τοῖς κατὰ προαίρεσιν, καθ' ἣν συμβαίνει τι ἄδηλον ἀνθρωπίνῳ λογισμῷ, καὶ ἀπρονόητον· οἷον τὸ εὑρεῖν χρυσίον σκάπτοντα ἵνα φυτεύσῃ. Διαφέρειν δὲ τῆς τύχης τὸ αὐτόματον κοινῇ ἐκδιδάσκουσι, τὸ μὲν γὰρ ἀπὸ τύχης, καὶ ταὐτομάτου εἶναι ἐν τοῖς πρακτέοις πάντως, τὸ δ' αὐτόματον οὐκ ἀπὸ τύχης, ἐν γὰρ τοῖς ἔξω πράξεως. Καὶ τὴν μὲν τύχην τῶν λογικῶν, τὸ δὲ αὐτόματον, καὶ τῶν λογικῶν, καὶ τῶν ἀλόγων ζώων, καὶ τῶν ἀψύχων σωμάτων.

§. χκέ. Τὴν Εἱμαρμένην, ὡς αὖ εἱρομένην τινὰ, ἐν φύσει εἱρμὸν αἰτίων τυγχάνειν οἱ ταύτην πρεσβεύοντες ὑποτιθέασι, καθ' ἃς ἀπαραβάτως, καὶ ἀμετακινήτως γίνεται τὸ γινόμενον. Ἐν εἴδει δὲ, (εἵμαρτο γὰρ ἄρα καὶ περὶ τῆς Εἰ-

(1) Ὅρα Πλούταρχ. περὶ Εἱμαρμέν. Καὶ περὶ Ἀρεσκ. Α'. Κεφ. κθ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εἱμαρμένης, μὴ ταὐτὰ φρονῆσαι, διαφέροντα δὲ, τοὺς αὐτῆς προστάτας.)

§. χκϛ΄. Α΄. Ἡ μὲν κατὰ τὸν Δημόκριτον Εἱμαρμένη, ἄπειρός τις ἐστὶν εἱρμὸς αἰτίων, ἀλλήλων ἀπηρτημένων, ὧν οὐδὲν πρῶτον, οὐδὲ τὲ ἔσχατον. Τὰς γὰρ ἀτόμους αἰωνίᾳ ἀγομένας τῇ κινήσει διὰ τοῦ κενοῦ θεσμοῖς τισὶν ἀπαραιτήτοις ἐτόπαζε γενῆσαι τὰ πάντα, ὡς μηδεμίαν εἶναι ἀρχὴν ἀγένητον καὶ πρωτίστην τῶν ὄντων. (1) Εἶναι γοῦν τὰ πάντα κατ' ἀνάγκην. Τὴν αὐτὴν δὲ (ἀνάγκην) εἶναι καὶ εἱμαρμένην, καὶ δίκην, καὶ πρόνοιαν, καὶ κοσμοποιόν. (2)

§. χκζ΄. Β΄. Ἡ δὲ κατὰ τοὺς Στωϊκοὺς, Εἱρμὸς αἰτιῶν, τουτέστι τάξις, καὶ ἐπισυνδεσις ἀπαραίτητος (3) οὐ μέν τοι αἰώνιος, ἀλλ' ἀρχὴν τὸν Θεὸν ἔχουσα, τὸν ἅπαξ μὲν τὸν Εἱρμὸν τουτονὶ διαθεσμοθετήσαντα, ἀεὶ δὲ καὶ αὐτὸν αὐτῷ πειθαρχοῦντα, ὃ φησὶν ὁ Στωϊκὸς Σενέκας· semel sanxit semper paret. Διὸ δὴ καὶ Ποσειδώνιος τρίτην ἀπὸ Διός (4). „Α΄. μὲν γὰρ εἶναι τὸν Δία. Β΄. τὴν Φύσιν. Γ΄. δὲ τὴν „Εἱμαρμένην. Τῆς δὲ δόξης οὐδὲ ὁ Πλάτων ἔοικεν ἀλλοτρία ὑπειληφέναι, „λόγον θεῖον ἀπαράβατον δι' αἰτίαν ἀνεμ„πόδιστον ἀποδεδωκώς. (5) Καὶ νόμον ἀκόλουθον τῆς τοῦ „παντὸς φύσεως, καθ' ὃν διεξάγεται τὰ γινόμενα. (6) ὡς γὰρ οἱ Στωϊκοὶ τῷ Πλάτωνι περὶ Εἱμαρμένης συμφώνως ἐδόξαζον, καὶ Πλούταρχος μαρτυρεῖ. (7) Τοῦτο δ' ἂν ἐπὶ τῆς δόξης πραγματεύσαιτο εἴη μαθεῖν, πότερον ἀναγκαστικήν τινα, καὶ τῶν ἐφ' ἡμῖν ἀναιρετικὴν αἰτίαν ταύτην οἱ εἰσάγοντες ἐτίθεντο, ἢ οὐχί; τὸ γὰρ δὴ πρῶτον, καὶ Πλάτων αὐτὸς ἔδοξεν ἀποφήνασθαι „ἀνάγκης θυγατρὸς κόρης λαχέ„σεως λόγον εἶναι τὴν Εἱμαρμένην εἰπών. (8) Καὶ οἱ Στωϊ-

(1) Ὅρα Λαέρτ. Βιβλ. θ΄. καὶ Στομβ. ἐν Ἐκλογ. Κεφ. η΄.
(2) Πλούτ. Βιβλ. Α΄. Ἀρεσκ. Κεφ. κε΄.
(3) Αὐτ. Κεφ. κη΄.
(4) Αὐτ. Αὐτ.
(5) Ἐν Φαίδρ.
(6) Ἐν Τιμαίῳ.
(7) Ἐν Κεφ. κζ΄. τοῦ Α΄. τῶν Ἀρεσκ.
(8) Ἐν τῇ Πολιτείᾳ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Στωϊκοὶ, εἰ τῷ Ῥωμαίῳ Στωϊκῷ χρὴ πιςεῦσαι, τοιαῦτα ποιοῦντι. (1) Quidquid patimur mortale genus,
Quidquid facimus venit ex alto.
„ Ὅ,τι πάσχομεν ὦ θνητῶν γένος,
„ Ὅ,τι πράσσομεν ἄνωθεν ἥκει.

Ἃ δὴ σύμφωνα ἐςὶ τοῖς παρὰ τῷ Πορφυρίῳ ἐν τοῖς περὶ τῆς ἐκ τῶν λογίων φιλοσοφίας χρησμῳδουμένοις.
„ Ὑμεῖς οὖν καὶ ἄτλητον ἐνὶ φρεσὶν ἄλγος ἔχοντες,
„ Τέτλατε μοιράων ἀμετάςροπα δίνεα θυμῷ.
„ Ταῖσι γὰρ οὐρανίδα Διὸς κατένδυσε κάρηνον,
„ Ὅ,ττικε δινήσωσι μένειν ἀσάλευτον ἄτρακτοις.

Ἀλλὰ γὰρ καὶ τὸ δεύτερον τοὺς αὐτοὺς εὕροις ἂν γνωματεύοντας. Καὶ εἴποις ἂν, ὡς τὴν λογικὴν καταιδεσθέντες φύσιν, μετεβουλεύσαντο, τὸ ἐλεύθερον αὐτῇ ἀποκαταςήσαντες. Καὶ „ γὰρ ὅ,τε Πλάτων συνεισαγαγεῖν ἔγνω καὶ τὴν παρ᾽ ἡ„ μᾶς αἰτίαν. (2) οἵ,τε Στωϊκοὶ τὴν Εἱμαρμένην συμ„ πλοκὴν αἰτιῶν τεταγμένην εἰπόντες, ἐν αὐτῇ τῇ συμπλοκῇ καὶ τὸ παρ᾽ ἡμᾶς καταλιπεῖν ἐδικαίωσαν, ὥςε τὰ „ μὲν εἱμάρθαι, τὰ δ᾽ ἀνειμάρθαι. Πρὸς δὲ τούτοις καὶ ὁ Χρύσιππος, ὃς ἅμα μὲν βουλόμενος σώζειν τὴν παρ᾽ ἡμᾶς αἰτίαν, ἅμα δὲ πάντα καθειμάρθαι λέγων, ὑπὸ Διογενιανοῦ τοῦ Περιπατητικοῦ δεινὸν ὑπέςη τὸν ἔλεγχον.

§. χκή. Γ'. Ἡ χαλδαϊκὴ καὶ ἀςρολογικὴ ἀκούουσα Εἱμαρμένη, Εἱρμός τις ἐςὶν αἰτιῶν καὶ αὐτὴ ἀπαραβάτως τε καὶ ἀμετακινήτως, ἐκ τῆς τῶν οὐρανίων ἀςέρων φορᾶς καθηκων.

§. χκθ'. Δ'. Ἡ κατὰ Σπινόζαν Εἱμαρμένη κείσθω παραπλήσιος αἰτίων Εἱρμὸς οὖσα, ἀπ᾽ αἰῶνος ἐκ τῆς τοῦ Θεοῦ ἐκπηγάζων φύσεως. Οἴεται γὰρ οὗτος μίαν μόνην οὐσίαν εἶναι, καὶ ταύτην αἰωνίαν, ἧς γνωρίσματα νόησις ἄπειρος, καὶ ἔκτασις ὁμοίως ἄπειρος. Τοῦτον δὲ αὐτὸν τυγχάνειν τὸν Θεόν. Τἄλλα γὰρ ὅσα ἐςὶ, διαθέσεις εἶναι τῆς ἀκηράτου φύ-

---

(1) Σενέκας ἐν Οἰδίποδι ςίχ. 980.
(2) Πλοῦτ. Ἀριςκ. α'. Κεφ. κζ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φύσεως, ἐξ ἀνάγκης ἠρτημένας. (1) Ἐπὶ μὲν ἐν Σπινοζισμῷ καὶ Ἀριστοτέλην αὐτὸν διαβάλλεσι Βάλχιος, καὶ Βαίλιος, τῆς δ' αἰτίας ἀπολύει ὁ Γενελώσιος. (2) Πλὴν ὅτι καὶ Ἀριστοτέλης ἀπ' αἰῶνος τὸ πᾶν ὑφεσάναι ἐδόξαζε.

§. χλ'. Ε'. Εἴσοι δοκεῖ ἀνδρᾶσι φιλοσόφοις, καὶ τὸν Μωάμεθ συγκαταλέξαι τὸν ἐπιβάρβαρον καὶ ἀπαιδευτότατον, τάξον δὴ καὶ τὴν κατ' αὐτὸν Εἱμαρμένην, τοσέτω τὰς ἄλλας εὐηθείᾳ νικῶσαν, ὅσῳ περ τῇ ἀπαιδευσίᾳ διαφέρων ἐκεῖνος. Οὐδεὶς κατ' ἐκεῖνον εἱρμὸς, θεσμὸς ἐδεὶς συνάπτων τῷ ἡγεμένῳ αἰτίῳ τὸ ἑπόμενον. Ἀνάγκη δέ τις ἄφυκτος καὶ ἀπαραπόδιςος, ἡ τὸ ἐσόμενον εἰσωθεσα, κἄν τε ἡ πρὸς ἐκεῖνο φέρεσα αἰτία τεθῇ ἐπίσης, κἄν τε μηδὲ τὴν ἀρχὴν ὅλως ἡγήσαιτο. Καὶ εἰ πέπρωται, φησὶ, θανεῖν ἀνάγκη. Εἰ δὲ μὴ, δέος ἐδὲν, καὶ εἰ μυρίες ὅσαι ὧραι ὑπέρχοιτο τὲς κινδύνες, ὥπερ αὖ μακρότερον ἡ Κλωθὼ, τὸ νῆμα τῆς ζωῆς ἐπικλώσειε.

§. χλα'. ς'. Ἐπὶ πᾶσι θετέον τὴν Εἱμαρμένην τὴν τῷ ἀληθεῖ λόγῳ συνᾴδεσαν. Λέγω δὲ ταύτην εἶναι, ἐπὶ μὲν τῶν φυσικῶν, τὸν ἀναγκαῖον φύσει Εἱρμὸν (§. χκβ'.), καθ' ὃν ἐξ ἀνάγκης φύσεως, (§. σα'.) τοῖς αἰτίοις τὰ ἐξ αὐτῶν ἐφέπεται. Τῶν ἐν τῷ παντὶ θεσμῶν κρατέντων, (§. χς'.) ὃς ὁ θέμενος δύναται βεληθεὶς καὶ κινῆσαι (§. χιδ'. χιε'.). ἐπὶ δὲ τῶν ἠθικῶν, τὸν ἐν ὑποθέσει ἀναγκαῖον ὄντα εἱρμὸν, καθ' ὃν ἐλευθέραν τὴν ἐπὶ τὰ ἐφ' ἡμῖν ῥοπὴν τῆς βελήσεως λαβέσης, τῷ νεύματι τῆς ψυχῆς ταῦτα ἕπεται. Ἀλλὰ γὰρ ἐπεὶ τὸ τῆς εἱμαρμένης ὄνομα, διὰ τὴν ἀτοπίαν τῶν οἷς συνανεφύρη δογμάτων, ἀπόρρητόν τε κατέςη καὶ ἀπόφρασιμον, παραινέσαιμι αὖ τοῖς ἀπροσκόπως φιλοσοφεῖν αἱρεμένοις, ἀπεχομένες αὐτὰς τῆς ἐκείνε χρήσεως διὰ τὴν τῶν ἄλλων παράχρησιν, τὸ τῆς προνοίας ἀντεισάγειν, καὶ ταύτην εἶναι λέγειν, τὸν κατὰ τὰς βελὰς

---

(1) Σπινόζ. Ἠθικ. Μέρ. α'. Προτ. Ε'. καὶ ς'. καὶ Μέρ. β'. Προτ. α'. καὶ β'. Καὶ πολλαχῦ τῶν αὐτῦ Συγγραμμάτων.

(2) Ὁρισμ. νβ'. Μέρες α'. τῆς Μεταφυσικῆς.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λὰς τοῦ Δημιουργοῦ ἀΐδιον νόμον, καθ᾽ ὃν τῶν ἐν χρόνῳ τὰ μὲν φυσικὰ φυσικῶς, τὰ δὲ προαιρετικὰ προαιρετικῶς, κατά τινας θεσμοὺς τεταγμένους ἄριστα κινεῖται, καὶ διεξάγεται.

## Θεώρημα ΝΒ΄.

§. χλβ΄. „ Ἅλματι (ἥ φασιν) ἀπολύτῳ, οὐδὲν ἂν „ τελεσθείη ποτέ.

Εἴπερ γὰρ, καὶ αὐτοῦ αἰτίας οἱασοῦν· (§. χκγ΄.) τὸ δὲ οὐκ ἔνι. (§. νζ΄.) Ἄρα κτ.

## Θεώρημα ΝΓ΄.

§. χλγ΄. „ Ἅλματι δὲ τῷ κατὰ σχέσιν λεγομένῳ, πολλὰ „ ἂν γένοιτο.

Ἤτοι γὰρ αἰτία τις δραστικωτέρα καὶ κρείττων, θᾶττον ἐποίησεν, ἢ λανθάνει τὰ αἴτια, ὡς ἐπὶ τῶν θαυμασίων, (§. χιϛ΄.) ἢ καὶ Θεὸς αὐτουργὸς ὤφθη ἐθελήσας τοῦ γενομένου. (§. αὐτ.) Τὰ δὲ τοιαῦτα τῷ κατὰ σχέσιν τελεῖσθαι ἅλματι λέγεται. (§. χκγ΄.) Ἄρα κτ.

## Θεώρημα ΝΔ΄.

§. χλδ΄. „ Ἐὰν ἡ τύχη καὶ τὸ αὐτόματον, ὡς ψιλὰ ἐκ„ ληφθῇ ὀνόματα, οἷα τοῖς πολλοῖς φιλεῖ, μηδὲν ὑποση„ μαίνοντα τῶν ἐν τῇ φύσει αἰτίων ἐπενεργοῦν, οὐδὲ ὑπερ„ φυῶς αὐτὸ τὸ ὯΝ τὸ ὑπέρτατον, οὐδὲν τυχαῖον, οὐδὲ „ αὐτόματον ἔσται συμβαῖνον οὐδέποτε. Εἰ δέ τι τῶν εἰρημέ„ νων ληφθῇ δηλοῦντα, καὶ μάλα δὴ πολλά.

Εἰ γὰρ ἐκείνως, ἐξ ἅλματος ἐστιν ἃ ὑποστήσεται ἀπολύτου, ὅπερ οὐκ ἔστιν. (§. χλβ΄.) Ἄρα τὸ Α΄.

Εἰ δ᾽ οὕτως, ἥπερ ἀποδέδοται (§. χκγ΄.) ἅλματι τελεσθήσεται τῷ κατὰ σχέσιν. Πολλὰ δ᾽ ἂν οὕτω γένοιτο. (§. χλγ΄.) Ἄρα καὶ τὸ Β΄.

Σχό-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Σχόλιον.

§. χλέ. Μέτιθι καὶ τὰ ἐν τῷ Σχολίῳ εἰρημένα §. νή. Καὶ τὴν ἐκ ταυτομάτου ὑποστῆναι τόδε τὸ πᾶν λεγόντων, ἐπὶ τῇ τοῦ ἅλματος κουφότητι, θαύμασον ἥπου δέ, ἤτι ὂν ἐστὶ τὸ αὐτόματον τοῦτο, ἢ μηδέν. Εἰ γοῦν τοῦτο, βαβαὶ τοῦ θαυμαστοῦ ἅλματος! οἷον τινὰ κόσμον ὑστιῶσαι ἐδυνήθη, αὐτὸ μηδὲν ὄν. Εἰ δ' ἐκεῖνο, πότερον τοῦ παντὸς ἐστὶ μέρος καὶ αὐτὸ, ἢ τί τῶν πάντων ὑπερέχον τε καὶ ὑπερκείμενον; Εἰ γὰρ μέρος, αὐτὸ ἑαυτοῦ ποιητικὸν ἔσται, ὅπερ ἀδύνατον. (§. νς.) Εἰ δὲ τὸ ὂν αὐτὸ τὸ ὑπέρτατον, τί δήποτε τῇ τοῦ αὐτομάτου κλήσει διαφαυλίζεται, μηδ' ὑμνεῖται ὁ Δημιουργὸς, εὐφήμοις, ᾗ δέον (§. χκ.) ὀνόμασι γεραιρόμενος;

## Θεώρημα ΝΕ'.

§. χλς'. „ Τοῦ κατὰ φύσιν Εἱρμοῦ ἐν τῷ συστήματι δο„ θέντος, πάνθ' ὅσα κατ' αὐτὸν συμβαίνει, ὡρισμένως ἐ„ στὶν ἀληθῆ.

Τοῦ γὰρ Εἱρμοῦ τοῦδε ὑποτεθέντος, ἅπαντα τὰ ποιητικὰ, ἄλλο τε ἄλλα ὑποτίθεται ἐνεργεῖν. Καὶ δὴ καὶ τὰ ἐκ τούτων παράγειν· τοῦ γὰρ μηδενὸς ποιητικὸν οὐδέν. (§. νδ'.) Αἱ ἄρα ἀποφάνσεις αἱ τούτων κατηγοροῦσαι τὴν ὕπαρξιν, ἐν χρόνοις τοῖς καταλλήλοις, εἰσὶν ἀληθεύουσαι. (§. υξέ.) Ἀλλ' οὐκ ἂν ἅμα καὶ αἱ ἀντικείμεναι. (§. λγ'.) Ἄρα διὰ τὸ (§. τόβ.) ὡρισμένως κτ. Ο. Ε. Δεῖξαι.

## Σχόλιον.

§. χλζ'. Ἐκ τούτου δὲ καὶ τὸ ἀσφαλὲς καὶ ἀδιάπταιστον τῆς θείας ἐξυμνεῖται γνώσεως, τῆς πάντα ἐπ' ἀκριβὲς, καὶ τὰ ἀκατέργαστα ἡμῶν ὡς παρόντα περιδρασσομένης. Τῶν γὰρ ἐν τῷ Εἱρμῷ τούτων δυνάμεων, καὶ αἰτίων, ὧν αὐτὸς καὶ συνοχεὺς καὶ παραίτιος (§. χιβ'. χιδ'.) ἐν τῇ ἀπείρῳ

αὐτοῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτοῦ προνοίᾳ τοὺς λόγους προέχων, καὶ τὰ ἀποβαίνοντα ἐν χρόνῳ, ἀπὸ τοῦ αἰῶνος προεῖδεν. Ὃν δήπου τρόπον καὶ τὸ γεωμετρικὸν ἐκεῖνο καὶ μεταφυσικὸν τὸ αὐτὸ κατὰ Λεϊβνίτιον (1) τοῦ ὑπερσόφου μόνου ἐστὶν ἐπιλύεσθαι πρόβλημα, τὸ ἐκ
,, τῆς δοθείσης καταστάσεως ἑνός τινος τῶν στοιχείων, τήν τε
,, παρωχηκυῖαν, καὶ τὴν ἐνεστῶσαν, καὶ δὴ καὶ τὴν ἐσομέ-
,, νην, τὰς τοῦ παντὸς καταστάσεις ἀσφαλῶς προγινώσκειν.
Ἀλλὰ γὰρ περὶ τῶν τεραστίων τίποτ' ἂν εἰποῖν ἔχοιμεν; ἢ ὅτι καὶ αὐτὰ, ἐπεὶ παρὰ τὸ ἀμετάθετον τῆς τοῦ Θεοῦ βουλήσεως ἔχει τὸ ὡρισμένον, ψήφοις μὲν ἀϊδίοις προδιατεταγμένα, ἐν χρόνοις δὲ ἰδίοις ἀπαραιτήτως τελούμενα, ἔστι καὶ πρὸ παντὸς αἰῶνος τῷ τῶν θαυμασίων Θεῷ προγινωσκόμενα.

## Θεώρημα Νϛʹ.

§. χλή. ,, Ἐκ τοῦ ἐν ὑποθέσει ἀναγκαίου Εἱρμοῦ ἀόρι-
,, στα ἐστὶ τὰ συμβαίνοντα.

Πλουτεῖ γὰρ τὰ ἐν αὐτῷ αἴτια (εἰσὶ δὲ αἱ μετὰ προαιρέσεως ἑτέρωθεν ἐπινεύουσαι βουλήσεις.) (§. χλά.) τὸ ἀντίῤῥοπον φύσει, καὶ ἀδιάφορον. Κἀντεῦθεν αὐτοῖς τὰ τῆς Ἀοριστίας. (§. τοά. κξ.)

Ὅρα μοι καὶ τὸ ἐν τῇ Λογικῇ τὸ ἔσχατον ζήτημα, ἐν οἷς περὶ τῶν ἀποφάνσεων, τῶν ἐπὶ μέλλοντος ἐνδεχομένου καθ' ἕκαστα, λόγος γίγνεται.

## Σχόλιον.

§. χλθʹ. Τί δαί; οὐχὶ καὶ τὰ ἐλευθέρως γιγνόμενα προειδὼς οἶδεν ὁ Θεὸς ἀσφαλῶς καὶ ἀπταίστως, πάνυ μὲν οὖν. Πῶς δ' εἴπερ, τὰ τοιαῦτα κατά γε τὸ ἀληθεύειν ἀόριστα κρίνεται; Μέγα τῷ ὄντι καὶ ὑψηλὸν τὸ περὶ τούτου ζήτημα,

(1) Παρὰ τῷ Φιλοσόφῳ τοῦ Κασιλλέτ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μα, ὅπερ αὖ ἐν τοῖς περὶ τῆς θείας προγνώσεως οἰκειότατα ἀνατεθείη. Ἤδη δὲ, ἵνα μὴ σιγῇ τὸ πρᾶγμα παντελεῖ παραδεδωκότες, τὸ κατασκευασθὲν Θεώρημα παρέλθωμεν, ἐκ τοῦ ἀντιπίπτειν δοκοῦντος λόγου σαλευόμενον, λέγωμεν δὴ, ὡς, ὅτι τὴν ἐφ' ἑκάτερα ῥοπὴν πλουτοῦσιν ἡμῶν αἱ ψυχαὶ, ᾧ δὴ ὡς λόγῳ βασιμωτάτῳ, τῶν ἐφ' ἡμῖν τὸ ἀόριστον ἐπερείδεται, ἔκ αὐτῆς τε τῆς πείρας, καὶ τῆς ἣν ἔχομεν τῶν ἐν ἡμῖν συνειδήσεως, ἀναμφήριστόν τε, καὶ οὐδὲ δείξεως ὅλως ἐπιδεὲς εἶναι κρίνομεν. Ὁ τοίνυν Γενουήσιος ὁ Νεαπολίτης προθέμενος τοῦτο (1) ἅμα ἔδοξε δεδειχέναι ὅτι προέθετο. Εἰσὶ γάρ τινες, φησὶ, ψυχῶν ἐνέργειαι, αἱ μὲν ἐσωτερικαὶ, οἷον νοήσεις τε καὶ ἀναμνήσεις, αἱ δὲ ἐξωτερικαὶ, οἷον ὀφθαλμῶν, γλώσσης, χειρῶν, ποδῶν, καὶ αἱ παραπλήσιαι σωματικαὶ κινήσεις, αἵτινες οὕτω παρ' ἡμῖν εἰσὶ κείμεναι, ὡς τοῦ γίνεσθαι, ἢ μὴ, αἰτίαν ἄμεσον εἶναι, τὴν ἐν ἡμῖν θέλησιν καὶ ἐλευθερίαν. Εἶθ' ὡς ἐν εἴδει Σχολίου προστίθησιν, ὅτι τῇ κοινῇ τῶν πάντων, καὶ οὐ μόνου τοῦ χύδην ὄχλου, ἀλλὰ καὶ τῇ τῶν σοφωτέρων αἰσθήσει μαρτυρεῖται, καὶ τὸ πιστὸν ἔχει, ὃ λέγεται. Ἀνθυποβαλὼν δὲ, καὶ (φασὶν αὖ) ἀπορήσας, ὡς αἱ βουλήσεις αὗται νοῦ τινὸς διορισμοὶ τυγχάνουσι, ἐκ τῶν ἐκείνου προλήψεων ἐκπηγάζουσαι, αἱ δὲ τοῦ νοῦ προλήψεις, οἷα δυνάμεως ἀναγκαίας, ἀποκυήματα, οὐ παρ' ἡμῖν κείμεναι εἰσὶν, εἰσβαλών τε ἐντεῦθεν, ὡς οὐκ ἄρα οὐδὲ αἱ βουλήσεις, αἱ ἐξ ἐκείνων, καὶ κατ' ἐκείνας, καὶ οὐδὲ αἱ κατὰ τὰς βουλήσεις ἐνέργειαι, καὶ τὰ δι' αὐτῶν τελούμενα, πρὸς ταῦτα προχείρως ἀπαντᾷ, ἀληθὲς μὲν εἶναι λέγων, τὴν τοῦ νοερῶς τινων ἡμᾶς ἀντιλαμβάνεσθαι δύναμιν, καί τινας τῶν ἀντιλήψεων, παρά τινας τῶν ἐμποιουμένων ἡμῖν προσβολῶν, μὴ παρ' ἡμᾶς αὐτοὺς κεῖσθαι. Ἀλλ' ἐπὶ ἄλλων πάνυ πλείστων τοὐναντίον φάσκων συμβαίνειν. Καὶ ἐφ' ἡμῖν μὲν εἶναι περὶ τούτων μᾶλλον ἢ ἐκείνων νοῆσαι, ἐφ' ἡμῖν δὲ καὶ πρὸ τούτων, ἐκείνων ἀναμνησθῆναι ἐπείγεσθαι, οἷς ποτε ἐπεβάλλομεν, κἂν τυφλοῖς, φησὶ, δῆλον ἡγούμεθα,

(1) Μεταφ. Μέρ. Α'. Προτ. οδ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θαι, καὶ αὐτόπιστον. Εἰ γὰρ καὶ αἱ βουλήσεις διορισμοί τινες εἰσὶν, οὐ μὴν παρ' αὐτὸ δοτέον καὶ ἐξ ἀνάγκης ἐκείνας ἕπεσθαι τούτῳ διορίζοντι. Πολλὰ γὰρ διενθυμούμεθα ὧν οὐδὲν βουλόμεθα, καί τοι παρ' ἡμῖν ὂν τὸ βουληθῆναι αὐτά, σφίσιν ἑαυτοῖς συνειδότες· μᾶλλον δὲ καὶ πολλῶν, καί τοι σφοδρῶς ἐφιέμενοι, αὐτοβουλήτως ἀπεχόμεθα, οἷον ὕδατος ψυχροῦ, ὑπὸ τοῦ ἰατροῦ ἀπαγορευθέντος, οἱ πυρέσσοντες. τοῦτοι καὶ Λώκιος ὀρθῶς τὴν ὄρεξιν τῆς βουλήσεως φθάσας διέκρινε, (1) μὴ κατὰ τοὺς ἄλλους συγχέας. Ἀλλ' αἰσθυποφέρουσι (φησὶν) ὡς εἰ μηδὲν ἄλλο, ἐκ γε μίαν τῶν προλήψεων τοῦ ἀγαθοῦ, ἢ κακοῦ, εἰσὶν αἱ βουλήσεις ἀναφυόμεναι. Καὶ, ναὶ, ἅπαντες, πρὸς μὲν τὴν τοῦ ἀγαθοῦ ἔφεσιν, καὶ τὴν τοῦ κακοῦ ἀποστροφὴν ἐμφύτως πως ἔχομεν. Ἀλλ' αἱ περὶ ταῦτα βουλήσεις, ὡς λίαν ἐκείνων ἀπέχουσαι (ὀρέξεων οὐσῶν) διορισμοί τινες τυγχάνουσι τῆς ψυχῆς αὐθεκούσιοι, οἷς τινῶν ἀγαθῶν ἐλευθέρως ἀντεχόμεθα, τινῶν δὲ κακῶν κατὰ τὸ δοκοῦν ἀπεχόμεθα.

## Θεώρημα ΝΖ'.

§. χμ'. „Η κατὰ τὸν Δημόκριτον Εἱμαρμένη, δόγμα „ προτίθεται τῆς ἐσχάτης ἀλογίας ἐχόμενον.

Οὔτε γὰρ ὁ Κόσμος αἰώνιος (§. υγς'. υγζ'. κξ'.) ὡς ἐν χρόνῳ ὑπὸ τοῦ Δημιουργοῦ ὑποστάς, καὶ πολλὰ τῶν ἐν αὐτῷ συμβαινόντων ἀορίστως ἔχει τὴν γένεσιν. (§. χλη'.) Ταῦτα δὲ πάντα οὐδενὶ σὺν λόγῳ ἀναιρεῖν, τὸ περὶ τῆς Εἱμαρμένης κατὰ Δημόκριτον δόγμα θρασύνεται. (§. χκς'.) Πρὸς δὲ καὶ ἀνάγκῃ τινὶ ἀφύκτῳ τὰς προαιρέσεις δεσμεύειν ἐπιχειρεῖ, ὧν τὴν ἐφ' ἑκάτερα ῥοπὴν, καὶ ἡ ἐν σφίσιν αὐτοῖς συναίσθησις διαπρύσιον βοῶσα μαρτύρεται, (§.χλθ'.) περὶ ἧς καὶ αὐτοὶ ἐν οἰκείῳ τόπῳ πλατύτερον φιλοσοφήσομεν. Ἐῶ λέγειν τὰς ἀπείρους ἀτόμους, καὶ τύπων τὰς εἰκῇ ὑπο-

(1) Βιβλ. β'. Περὶ Νοῦ ἀνθρωπίνου. Κεφ. κα'.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὑποτιθεμένας φοράς τε καὶ παρεγκλίσεις, καὶ τὰ βάρη, καὶ τὰς ἀκόσμως καὶ ὡς ἔτυχε γινομένας συμβολάς, ἐξ ὧν ὁ Κόσμος, καὶ τὸ δεσποτεῦον ἐπὶ πᾶσιν αὐτόματον, (§. χλέ.) οἷς ἡ Δημοκρίτειος Εἱμαρμένη, κατὰ παιδιὰν μᾶλλον, ἢ κατὰ σπουδὴν φιλόσοφον συνείρεται. Ἄρα κτ.

## Θεώρημα ΝΗ΄.

§. χμά. „ Η κατὰ Πλάτωνα, καὶ τοὺς Στωϊκοὺς Εἱμαρμέ-
„ νη, καὶ ἐπὶ τῶν ἐφ' ἡμῖν τεθεῖσα, δευτέρα μὲν τὴν ἀτο-
„ πίαν πρὸς τὴν κατὰ Δημόκριτον κρίνεται, ἄτοπός γεμὴν καὶ
„ αὐτή.

Ὑποτίθησι γὰρ ἀρχὴν τοῦ Εἱρμοῦ τὸν Θεόν. ( §. χκζ΄. ) Οὐχ' ὡς ἐκείνη τῷ αὐτομάτῳ τὴν διακόσμησιν ἀνατίθησιν. ( §. χκϛ΄. ) Εἶτα οὐδὲ τὸ αἰώνιον εἰσάγει τῆς τοῦ παντὸς ὑποστάσεως. ( §. αὐτ. ) Ἄρα τὸ Α΄.

Ἀναγκαστικὴ δὲ γινομένη, εἰ κἀπὶ τῶν ἐφ' ἡμῖν εἰσάγεται ( ἐξ ὑποθ. ) ἄρδην ἀναιρεῖ τῆς βουλήσεως τὸ ἐλεύθερον. ( §. χκζ΄. ) Ἄτοπον δέ. ( §. χλή. χλθ΄. ) Ἄρα καὶ τὸ Β΄.

## Θεώρημα ΝΘ΄.

§. χμβ΄. „ Οἱ ἐκ τῆς Στοᾶς, καὶ Πλάτων, καὶ Χρύσιπ-
„ πος, καὶ τὰ παρ' ἡμᾶς εἰσαγαγεῖν κρίναντες, μὴ πάντα
„ καθ' εἱμαρμένην τελεῖσθαι ὁμολογεῖν ἀναγκάζονται.

Οὕτω γὰρ κρίνασι τὸ ἐλεύθερον τῆς ψυχῆς σώζειν ἐπάναγκες, καὶ πολλὰ ὁμολογεῖν ἀορίστως συμβαίνειν (§. χλή.) ἃ παρ' ἡμῖν ἐστὶ θέσθαι, καὶ μή. ( §. χλθ΄. ) Ἡ δὲ Εἱμαρμένη συμπλοκήν τινα καὶ ἐπισύνδεσιν ὡρισμένην, εἱρμοῦ μηδαμῶς διακοπτομένου, καὶ ἀνεπιλύτου ἀκολουθίας ἔκβασιν ἄφυκτον σημαίνει. ( §. χκέ. ) Ἄρα κτ.

Σχό-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Σχόλιον.

§. χμγ'. Αποδεκτὸς οὐν ἂν εἴη Πλούταρχος ἐν οἷς φη-
σὶν ,, ὅτι τοῦτο μᾶλλον ἐμφαίνει τὸ καθ' εἱμαρμένην, οὐχ
,, ἅπαντα, ἀλλ' αὐτὸ μόνον τὸ ἑπόμενον αὐτῇ σημαίνει.
Καὶ ὅτι οὐ πάντα ῥητέον καθ' εἱμαρμένην. (1) Ἀλλ' ἔμπης
ὁ Χρύσιππος οὐκ ἀνεκτὸς, ὃς ,, ἡμίδουλον ἐπινοεῖ τὸ κάλλιστον
,, τῶν ἀνθρωπίνων ἐπιδεῖξαι. (εἰπεῖν κατ' Οἰνόμαον) ἅμα τε
τῆς βουλήσεως ἡμῶν τιθέμενος τὸ ἐλεύθερον, καὶ τῆς Εἱμαρ-
μένης συνεισωθῶν τὸ ἄφυκτον. ,, Καὶ πολλὰ μὲν ἐξ ἡ-
,, μῶν δῆλον εἶναι γίνεσθαι ὁμολογῶν, οὐδὲν δὲ ἧττον συγ-
,, καθειμάρθαι καὶ ταῦτα τῇ τῶν ὅλων διοικήσει ἀποφαινό-
,, μενος. Τίνι δὲ λόγῳ; ὅτι τὸ μὴ ἀπολεῖσθαι φησὶ θοι-
,, μάτιον, οὐχ ἁπλῶς καθείμαρται, ἀλλὰ μετὰ τοῦ φυλάτ-
,, τεσθαι, καὶ τὸ ἐκ τῶν πολεμίων σωθήσεσθαι, τὸν δέ τινα
,, μετὰ τοῦ φεύγειν αὐτὸν τοὺς πολεμίους. Καὶ τὸ γενέσθαι παῖ-
,, δας μετὰ τοῦ βούλεσθαι κοινωνεῖν γυναικί· ὥσπερ γὰρ, φη-
,, σὶν, εἰ λέγοντός τινος Ἡγήσαρχον τὸν Πύκτην, ἐξελεύ-
,, σεσθαι τοῦ ἀγῶνος πάντως ἄπληκτον, ἀτόπως ἄντις ἠξίου
,, καθιέντα τὰς χεῖρας τὸν Ἡγήσαρχον μάχεσθαι, ἐπεὶ ἄ-
,, πληκτον αὐτὸν ἀπελθεῖν καθείμαρτο, τοῦ τὴν ἀπόφασιν
,, ποιησαμένου, διὰ τὴν περιττοτέραν τ' ἀνθρώπου πρὸς τὸ
,, μὴ πλήττεσθαι φυλακὴν τοῦτο εἰπόντος, οὕτω καὶ ἐπὶ τῶν
,, ἄλλων ἔχει. Ἀλλ' ἧπου ὥς φησὶν ὁ Διογενιανὸς, θαυμά-
,, σειέ τις τ' ἀνθρώπου τὸ ἀθεώρητον, καὶ ἀνεπιλόγιστον, καὶ
,, τῶν ἐναργειῶν, καὶ τῆς τῶν ἰδίων λόγων ἀνακολουθίας.
,, οἶμαι γὰρ ὅτι καθάπερ τὸ καλούμενον γλυκὺ, τῷ καλου-
,, μένῳ πικρῷ συμβέβηκεν ἐναντιώτατον εἶναι.... οὕτωσὶ
,, καὶ τῷ παρ' ἡμᾶς τὸ καθ' Εἱμαρμένην. Εἴγε καθ' Εἱμαρ-
,, μένην μὲν ἐκεῖνα καλεῖν προείληφεν, ὅσα καὶ ἑκόντων ἡ-
,, μῶν, καὶ ἀκόντων ἁπάντων (ἴσ. πάντως) γίνεται· παρ' ἡ-
,, μᾶς δὲ ὅσα ἐκ τοῦ σπουδάζειν ἡμᾶς καὶ ἐνεργεῖν ἐπὶ τέλος
,, ἐρ-

(1) Ἐν τῷ περὶ Εἱμαρμένης.



Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

„ ἔρχεται, ἢ διὰ τὸ ἀμελεῖν καὶ ῥαθυμεῖν οὐκ ἐπιτελεῖ-
„ ται. Εἰ μὲν γὰρ κατ' ἐκείνην ταῦτα ( νοητέον τὰ ἀνω-
„ τέρω εἰρημένα ) συμβαίνει, παρ' ἡμᾶς οὐκ ἂν λέγοιτο
„ συμβαίνειν. Εἰ δὲ παρ' ἡμᾶς, οὐκ ἂν κατ' ἐκείνην δηλα-
„ δή, διὰ τὸ μὴ δύνασθαι συνδραμεῖν ταῦτα ἀλλήλοις.
„ Ἀλλὰ παρ' ἡμᾶς μὲν ἔσαι φησί, περιειλημμένου μέντοι
„ τοῦ παρ' ἡμᾶς ὑπὸ τῆς Εἱμαρμένης. Καὶ πῶς εἴποιμ' ἂν
„ περιειλημμένου; εἴγε καὶ τὸ φυλάττειν θοιμάτιον καὶ τὸ
„ μὴ φυλάττειν, ἀπὸ τῆς ἐξουσίας ἐγίνετο τῆς ἐμῆς; οὕτω
„ γὰρ καὶ τοῦ σώζεσθαι δηλονότι κύριος ἂν εἴην ἐγώ. Καὶ
„ ἐξ αὐτῆς δὲ τῆς διαςολῆς ἣν ποιεῖται Χρύσιππος, δῆ-
„ λον γίνεται ἀπολελύσθαι τῆς εἱμαρμένης τὴν παρ' ἡμᾶς
„ αἰτίαν. καθείμαρται γὰρ φησὶ σωθῆναι θοιμάτιον, εἰ
„ φυλάττοι αὐτό· καὶ παῖδας ἔσεσθαι εἰ καὶ σὺ βουληθείης,
„ ἄλλως δὲ μὴ ἂν ἔσεσθαί τι τούτων· ἐπὶ δὲ τῶν ὑπὸ τῆς
„ εἱμαρμένης προκατειλημμένων, οὐκ ἄν ποτε ὑποτιμήσεσι
„ τοιαύταις χρησαίμεθα. Οὐκοῦν φαμὲν τεθνήξεσθαι πάντα
„ ἄνθρωπον, εἰ τόδε τι γένοιτο, μὴ τεθνήξεσθαι δέ, εἰ μὴ
„ γένοιτο· ἀλλ' ἁπλῶς τεθνήξεσθαι, κἂν ὁτιοῦν πρὸς τὸ μὴ
„ ἀποθνήσκειν καθόλου γίνοιτο. (1)

## Θεώρημα Ξ΄.

§. χμδ΄. „ Η Χαλδαϊκή, καὶ Ἀςρολογικὴ ἀκοῦσα Εἱ-
„ μαρμένη, λῆρος ἄντικρυς.

Α΄. Τί γὰρ ἐςὶ τὸ ἐκ τῶν ἀςέρων εἰς ἡμᾶς καθῆκον;
„ φῶς, καὶ θέρμη; ταῦτα δὲ ποιητικὰ οὐκ ἂν γένοιτο τῶν
„ ἐν τῇ περιγείῳ τελουμένων λήξει. Ἀλλ' αἱ παντοῖαι δυνά-
μεις αἱ ἐν τοῖς σώμασι. ( §. χί. χιά. )

Β΄. Καὶ τίς ποτε τὸν τρόπον οἷός τε ἐγένετο ὑποθέσθαι,
μετρίως γοῦν, τῆς ἐκείνων τῶν σωμάτων, ἐπὶ ταῦτα ἐπε-
νεργήσεως; οὐδείς.

Γ΄. Καὶ

(1) Ἐκ τοῦ Δ΄. Βιβλίου περὶ Εἱμαρμ. παρὰ Διογενιανῷ τῷ Περι-
πατητικῷ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Γ'. Καὶ πῶς ἀνάγκη ἐπάγεται τῇ ἀδιαβιάστῳ προαιρέσει ( §. χλθ'. ) ἐκ τῶν οὐρανίων σωμάτων;

Δ'. Πῶς δὲ καὶ οἱ ὑπὸ τοῖς αὐτοῖς Ἀστερισμοῖς κατὰ τὸ αὐτὸ τοῦ χρόνου τικτόμενοι, καὶ ἐν ὡροσκόπῳ ἤ φασι τῷ αὐτῷ, οὐχὶ τὰ αὐτὰ καὶ προαιροῦνται; Πῶς δὲ καὶ οἱ ὑπ' ἄλλοις, καὶ ἐν ἄλλῳ χρόνῳ, ταὐτὰ τοῖς βίοις ἐπιτηδεύοντες φαίνονται;

Μανία ταῦτα, καὶ λῆρος σαφής, καὶ οὐδ' ἀπαντήσεως οἱ λέγοντες, ἐλλεβόρου δὲ εἰσὶ προσδεόμενοι.

## Σχόλιον.

§. χμε'. Χαλδαίων παῖδες ἀνέκαθεν, καὶ Ἑβραίων, καὶ Ἀράβων, οἵ τε Καββαλισταὶ παρ' Ἑβραίοις μετ' αὐτούς, τὴν Ἀστρολογικὴν ταύτην φλυαρίαν συστῆσαι ἐσπούδασαν, βιβλίῳ μὲν τὸν ἔναστρον οὐρανὸν ἀπεικάσαντες, τοῖς στοιχείοις δὲ τοὺς ἀστέρας. Ὧν τοὺς μὲν ἀπλανεῖς, ὡς ἀτρέπτως τὴν αὐτὴν ἐς ἀεὶ διασώζοντας θέσιν, καθ' ἑαυτοὺς μηδὲν σημαίνειν παρέδωκαν, ἔχειν δὲ τὸ σημαντικοὺς εἶναι ἔκ τε τῶν Πλανητῶν, καὶ τῶν Κομητῶν λαμβάνοντας, κατά γε τὰς διαφορὰς τῶν θέσεων, πῇ μὲν κατ' ἀρχὰς τοῖς ἀστερισμοῖς ἐμπιπτόντων, πῇ δὲ κατὰ τὸ μέσον, πῇ δὲ κατὰ τὸ τέλος, καὶ ἄλλοτε ἄλλως τὴν εἰς τὸ σημαίνειν δύναμιν αὐτοῖς παρεχομένων. Καί ποτε καὶ τῶν τοῦ πρώτου λεγομένων βαθμοῦ ἀστέρων, τῶν μεγέθει τε καὶ λαμπρότητι διαφερόντων, εἰς λέξιν ἰδίως προαναφωνούντων τὸ ἐσόμενον συστοιχειουμένων. Καὶ οὕτω δὴ ἄστροις τὰ καθ' ἡμᾶς ἐνσημαίνεσθαι ἐκείνων ὑπειληφότων, γεγόνασι κἂν τοῖς ὕστερον, οἱ ἄδην τῶν ἀστρολογικῶν τούτων λήρων ἀσπασάμενοι, καὶ διὰ πολλῶν κρατῦναι τὸ δόγμα ἐπιμεληθέντες, οὐ μᾶλλον ἴσως ἀληθεύειν φροντίσαντες, ἢ ἵνα ἀρχαῖοι τινὲς εἶναι δόξωσι, καὶ βέλτιοι τὴν σοφίαν. Πρὸς γὰρ τὴν δόξαν, ὅσα τε θεῖα, ὅσα τ' ἀνθρώπινα εἰς ἓν συνείροντες, καὶ οἱ φωστῆρες, φασίν, ὥστε εἶναι εἰς σημεῖα ἐτάχθησαν. (1) ἥτε Λεία ὃν ἔτεκε τῷ Ἰακώβ,

(1) καὶ

(1) Γενέσ. Κεφ. Α'.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

(1) κατὰ τὸν τοῦ Διὸς ἀστέρα, ὑφ' ὃν ἐγεγόνει, Γὰδ ἐξωνόμασεν· ἡ γὰρ φωνὴ גד Γὰδ ἐν τοῖς ἄλλοις καὶ τύχην σημαίνει δεξιάν. καὶ גבד καὶ ἄστρον ἀγαθὸν, καὶ τὸν Δία. (2) ὅθεν τοι καὶ οἱ Ο', ἐν τύχῃ ἐκδεδώκασιν. Ἰακὼβ δὲ, καὶ οἱ τούτου ἔκ τε τῶν φωστήρων, καὶ τῶν ἀστέρων, ὁ μὲν τὴν τοῦ υἱοῦ Ἰωσὴφ, οἱ δὲ τὴν τοῦ ὁμαίμονος ἐπεκμηελώσαντο δόξαν. (3) Δεβόῤῥας δὲ καὶ Βαρὰκ τὸ κατὰ Σισάρα σησαμένων τρόπαιον, ἐξ οὐρανοῦ, ᾗ λέγεται, (4) παρετάξαντο οἱ ἀστέρες. Καὶ ὁ Θεὸς δὲ εκτείνειν λέγεται τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν. (5) Καὶ ἐλιγήσεται δὲ ποτὲ κατὰ τὸ προφητικὸν ὁ οὐρανὸς ὡς βιβλίον. (6) Ἐπηπείληται δὲ καὶ τοῖς υἱοῖς Ἰσραὴλ, ὡς ἡμέρας πολλὰς καθήσονται οὐκ ὄντος βασιλέως, οὐδὲ ὄντος ἄρχοντος, οὐδὲ οὔσης θυσίας, οὐδὲ ὄντος θυσιαστηρίου, οὐδὲ ἱερατείας, οὐδὲ δήλων, ἢ ὡς ἄλλοι, οὐδὲ μορφωμάτων, οὐδὲ φωτισμῶν, οὐδ' ἐπιλύσεως. Ταῦτα δὲ νοεῖται τὰ καλούμενα Θεραφὶμ ἃ μορφώματα ἦν τοῖς Ἰουδαίοις κατά τινας ἀστερισμοὺς γινόμενα, δι' ὧν ἐπὶ τῶν ἀδήλων ἐχρῶντο. Ἀλλὰ καὶ τῶν Ἀστρονομούντων πολλοὶ οὐρανοσκοπήσαντες ἐν τάξει φασὶν ἀκριβεστάτῃ τὰ ἐν οὐρανοῖς ὀφθῆναι, τοῦ Σωτῆρος ἡμῶν ἐπὶ γῆς τικτομένου. Οὐδὲ γὰρ ἄλλως οὐδὲ τοὺς μάγους ἐκείνου τε τὴν γέννησιν προδιαγνῶναι, καὶ εἰς προσκύνησιν ἐλθεῖν. Καὶ ἐπὶ τοῦ σταυροῦ πάσχοντος τοῖς οὐρανίοις μεγίστην συμπεσεῖν ἀταξίαν. Οὐδεμίαν τε ποτὲ γενέσθαι τῶν ἐπισημοτάτων μεταβολῶν, μὴ τοῖς ἄστροις προσημανθεῖσαν· τοῖς γὰρ Ῥαββὶ παραπετηρῆσθαι, τοὺς κατ' οὐρανὸν ἀστέρας, τοῦ Ναβουζαρδὰν τὸν ναὸν τοῦ Κυρίου πυρὶ καταστρέφοντος, ὑπογράφειν ἤδη καταστροφὴν καὶ ἐξώλειαν. Καὶ τῶν Ἀσσυρίων δὲ καὶ τῶν Περσῶν, ἔθνη πολλὰ ὑφ' ἑαυτοὺς ὑπαγόντων,

---

(1) Γενέσ. λ'.

(2) Ὅρα Λεξικὸν Ἑβραϊκὸν Ἀντωνίου Ζανολίνου ἐν λέξει. Καὶ Ἀβεν Ἔσδρα ἐν ὑπομν.

(3) Γενέσ. λζ'.

(4) Κριτῶν Κεφ. Ε'.

(5) Ψαλμ. ργ'.

(6) Ἡσαΐ. λδ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

των, νεῖκος καὶ μάχας κατὰ Ζενὶθ ἀναγινώσκεσθαι λέξιν ἐμφαίνουσαν. Προφαίνεσθαι δὲ καὶ τὰ τῆς Ἑλλάδος κακὰ διὰ φωνῆς ὁμοίως ἀστρογράφου, δηλούσης σχίσμα, ἣ καὶ εἰς ἀριθμὸν ἐνιαυτῶν 284 τὴν παράτασιν προεμήνυε. Καὶ τὴν συντέλειαν δὲ προκεχαράχθαι τοῦ κράτους τῶν Ἀθηναίων διʼ ἄλλης φωνῆς, ἐν ἔτεσι 490 ἐσομένην· ἐν ᾗ καὶ τὸ διπλὸν Κὸφ ק ἐγκείμενον, τὸ μὲν τὸν Κέκροπα σημαίνειν, τὸ δὲ τὸν Κώδρον, ὑφʼ ὧν τοῦ μὲν ἤρξατο, τοῦ δʼ ἐξετελέσθη ἡ τῶν Ἀθηναίων ἰσχύς. Ἐφʼ οἷς καὶ τὴν παρὰ Ῥωμαίοις ὑπατικὴν ἀρχὴν προδεικνύεσθαι, καὶ τὴν Ἰουλίου Καίσαρος τοῦ μοναρχήσαντος τῆς ὑπατείας καθαίρεσιν, καὶ ὡς ἐν χρόνοις 501 ἐκείνης καθαιρησομένης, αὕτη ἔμελλεν ἀντεισενεχθήσεσθαι. Ταῦτα δὴ καὶ τὰ τοιαῦτα ἡμῖν οἱ Ῥαββὶ, καὶ οἱ ῥαββίζοντες σὺν αὐτοῖς ὑποβάλλοντες, τὴν τῶν μελλόντων πρόῤῥησιν ἐν ταῖς διφθέραις τοῦ οὐρανοῦ σφίσιν αὐτοῖς προσοικειοῦσι πάνυ εὐήθως. Ἀλλʼ ἡμεῖς ταῦτα μετάγε τὰς ἐκβάσεις ἐπικομπάζοντας αὐτοὺς εἰδότες, καὶ πρὸς τὸ δοκεῖν τοὺς ἐν οὐρανοῖς σχηματισμοὺς ἀνθέλκοντας, οὐκ ὅμως τούτῳ τὴν κενὴν αὐτῶν Ἀστρογραφίαν ἀπελέγξαι οὐ κατοκνήσομεν. Τὴν τῶν Ὀθωμανῶν Αὐτοκρατορίαν πέρας ἕξειν ὁ καὶ τῶν ἀνωτέρω τὰ πλείω ἀστρολογήσας Ῥαββὶ Χωμὲρ κατʼ αὐτὸν, ὡς ἐδόκει ἐν ἄστρασι σαφῶς ἀνεγίνωσκε διʼ ἑπταστέρου φωνῆς באה ἀσθένειάν τε, καὶ κραδασμὸν, καὶ ἄλγος προαναφωνούσης, ἐν ἔτεσι 1025, οἷς ἀπὸ Μωάμεθ ἄρχει τῆς πανολεθρίας τὴν τοῦ κράτους παράτασιν διωρίζετο. Ἡ δὲ τοῦ ἀπατεῶνος ψευδοθρησκεία, ἐν ἔτεσιν ἀπὸ Θεογονίας 630 ἤρξατο. Ἐὰν οὖν συνάψης ἀθροίσας 1025 630, ἕξεις ἔτη τὰ πάντα 1655. Καὶ ἔδει ἄρα, εἴτις ἦν ἐκ τῶν προῤῥήσεων τούτων ἀλήθεια, ἐν ἔτει τῷ χιλιοστῷ ἑξακοσιοστῷ πεντηκοστῷ πέμπτῳ, τὴν συντέλειαν γενέσθαι τῆς Ὀθωμανικῆς τυραννίδος. Νῦν δὲ τὸ ἐξ ἐκείνου, ὅλη ἑκατονταετηρὶς παριππεύσασα, τῆς τοῦ Ῥαββὶ ἀφροσύνης, καὶ τῶν συναφραινόντων αὐτῷ λαμπρὸν κεῖται τεκμήριον. Πρὸς μὲν οὖν τὰ ῥαββινικὰ ἐκεῖνα, ἀποχρήσειεν ἂν καὶ τοῦτο, πρὸς τῷ ψεύδει τῆς προῤῥήσεως εἰς ἔλεγχον, ὅτι ἐπὶ τῆς φωνῆς τὸ א μονάδος δύναμιν ἔχον, ἐὰν ἁπλῶς κείμενον ᾖ, ὁ Χωμὲρ ἀντὶ χιλιάδος ἐξείληφεν. Ἀμέλει τοι καὶ ἀναισχυντοῦντες περὶ τὰς ὑποθέσεις οἱ γεν-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ςαῖοι, οὐδ' οὔπω τοῦ ἀληθοῦς γίνονται προήγοροι. (1) Ταῖς δὲ ἐκ τῶν γραφῶν χρήσεσι πῶς ἀπαντήσομεν; Ἢ ἐκ τῶν θεσπεσίων Πατέρων, ὧν ἐστὶ τὸν ἐγκρυπτόμενον ταῖς ἱεραῖς γραφαῖς νοῦν εἰς φῶς ἄγειν, τὴν ὀρθὴν ἔννοιαν τῶν προκειμένων ληπτέον. Σὺ δέ μοι καὶ τὰ ἐν τοῖς εἰς τὴν γένεσιν ἐξηγητικοῖς τοῦ Ὠριγένους μέτιθι, κἀκεῖνος γὰρ εἰ καὶ σημεῖα ὁπωσοῦν εἰκὸς εἶναι τῶν ἐν τῷ κόσμῳ συμβησομένων, τοὺς κατ' οὐρανὸν ἀστέρας προσεῖσθαι ἐφρόνει, οὐ χαίρειν καὶ ἐκφαυλίζεται (2), ἀλλὰ μηδὲν ἀναγκαστικὸν ἐπιφέρειν τοῖς ἀνθρώποις διὰ πολλῶν λόγων ἀποδεικνύς, αὐτάρκως τὴν χαλδαϊκὴν Εἱμαρμένην περιτρέπει ἀνασκευάζων. Ὅρα δὲ καὶ ὡς ἀπὸ τῆς μαθηματικῆς Θεωρίας, ὁ τῆς Εἱμαρμένης ἐλέγχεται λόγος ἐκ τῶν Βαρδισάνους, ἀνδρὸς Σύρου μὲν τὸ γένος, τῆς δὲ χαλδαϊκῆς ἐπιστήμης ἐς ἄκρον ἐληλακότος, ἣ μαρτυρεῖ ὁ Παμφίλου Εὐσέβιος (3).

## Θεώρημα ΞΑ΄.

§. χμϛ΄. „ Ἡ κατὰ Σπινόζαν Εἱμαρμένη δόγμα ἐστὶν ἀ-
„ λογώτατον ἅμα καὶ ἀθεώτατον.

Αὕτη γὰρ ἅπαντα τὰ ὄντα τῆς ὑπερουσίου φύσεως ὑποτίθησιν εἶναι μέρη, καὶ τὰ γινόμενα τῆς αὐτῆς πάθη. (§. χκθ΄.) Ἀλλ' οὐδὲν τῶν ἐνδεχομένων τῆς ἀκηράτου οὐσίας ἐδείχθη ὂν οὔθ' ὡς μέρος, οὔθ' ὡς πάθος. ( §. σνϛ΄. ) ὑφ' ἧς νεύματι παντελευθέρου βουλήματος πάντα τὰ ὄντα οὐσίωται. §. υϟζ΄. κξ΄. ) Ἄρα κτ.

Σχό-

(1) Ὅρα Ἀθανάσ. Κιρχέριον ἐν Οἰδίποδ. Αἰγυπτ. Τόμ. β΄. Σελ. 6.
(2) Ὅρα Πακκόπ. ἐν Ὑπομνήμ.
(3) Περὶ Εὐαγγ. Προπαρ. Βιβλ. ϛ΄. Ἀριθμ. ί.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Σχόλιον.

§. χμζ'. Ὅσα μὲν οὖν κατὰ τὰς ἀνωτέρω (§. χμ'. χμα'. χμβ'. χμγ'. χμδ'. χμε'.) ἀπελεγχθείσας δόξας ἕπεται ἀτοπήματα, ἅπαντα εἰς ἓν συνειλοχὸς ἐστὶ τὸ τῆς εἱμαρμένης δόγμα, κατὰ τὴν Σπινόζου ἀθεΐαν δογματιζόμενον, καὶ πρός γε δὴ καὶ τῆς τοῦ ὑπερουσίου βλασφήμως ἅπτεται φύσεως. Ἔχοις δ' ἂν καὶ ἀναλυτικῶς χωρήσας οὕτως αὐτὸ διαπτύσαι. (1) Εἰ γὰρ αὐτοὶ σφίσιν αὐτοῖς συνίσμεν περιὸν τὸ τῆς ἐλευθερίας καλὸν (§. χλθ'.) τί μὴ οὐχὶ καὶ τῷ Θεῷ τῷ παγκάλῳ τε καὶ ὑπερτελεῖ αὐτὸ ἀναθήσομεν; Οὐ γὰρ ἂν πείσειεν, οὐδ' ἢν πείσειεν ὁ ἀκανθώνυμος ἐκεῖνος ἡμᾶς, μὴ ἔχειν ἡγεῖσθαι ἐλευθέρως ἄγειν τὸ σῶμα ᾧ συνεστάμεθα. Ἀλλὰ πρόληψις αὕτη φησὶν, ἀπὸ συνηθείας ἡμῖν συνηλικιωθεῖσα. Πόθεν δὲ τὴν πρόληψιν ἡμῖν ὁ θαυμαστὸς οὗτος διέγνω καὶ κατεφώρασεν; ὅτι, ὡς ἐκεῖνος, διορισμοί τινές εἰσιν αἱ βουλήσεις τῆς ψυχῆς ἡμῶν τῇ διανοίᾳ ἑπόμενοι, ἀλλὰ τοῦθ' ὅπερ ἡμεῖς αὐτῷ ἥκιστα συγχωροῦμεν, αὐτὸς κακούργων συναρπάζει. Ναὶ, φησὶν, ὅτι ἡ μὲν βούλησις ὑπὸ τοῦ νοῦ διορίζεται, ὁ δὲ νοῦς ὑπ' ἄλλου αἰτίου, καὶ οὕτως ἐφεξῆς ἄχρι τοῦ Θεοῦ. Οὐδὲν γὰρ αὐτὸ ἑαυτὸ διορίσαι δύναται τῶν γινομένων. (2) Καὶ μὴν αὐτόπου τοῦτο αὖθις φαμὲν εἶναι τὸ ζητούμενον. Τί δαί; ἦ δ' ὅς, ἡ ἐν τοῖς οὖσι τάξις ἄρδην ἀρθήσεται; μὰ δί, ἀλλὰ μᾶλλον οὕτω τεθείσεται. Οὐκοῦν (ἐκεῖνος) ἄλλα ὑπ' ἄλλων ἀχθήσεται, οὐδὲν ἀφ' ἑαυτοῦ δηλονότι. Πρὸς ἅπερ αὐτοὶ, Ἡ ἐν τοῖς οὖσι τάξις, αὐτῶν δὴ τούτων τῶν ὄντων τῇ φύσει καὶ ταῖς οὐσίαις ἐστὶ προσήκουσα· προσῆκον δὲ ἐστὶ τοῖς μὲν λόγου τε καὶ ἐλευθερίας ἀμοίροις ἄγεσθαι, τοῖς δὲ τούτων μετέχουσιν ἄγειν ἐκεῖνα καὶ κινεῖν. Καὶ νοῦς δὲ ἕκαστος, τάξει τινὶ ἐφίσταται, τοῖς κατ' αὐτὸν νοήμασί τε καὶ ἐνεργήμασι,

τὰ

(1) Ὅρα Γενουήσ. Μεταφ. Μέρ. Α'. Προτ. ογ'. ἐν τῷ Σχολίῳ.
(2) Ὁ Σπινόζ. Προτ. κς'. κζ'. κη'. τοῦ α'. Μέρους τῆς Ἠθικ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὰ διαφέροντα αὐτῷ κοσμῶν τε καὶ διεξάγων. Ἐκ δὲ τῶν ἐν μέρει τουτωνὶ τάξεων, ἡ τοῦ ὅλου τάξις ἄριστα συγκροτεῖται καὶ ῥυθμίζεται (§. υιβ΄.).

## Θεώρημα ΞΒ΄.

§. χμη΄. „ Η κατὰ Μωάμεθ Εἱμαρμένη δόγμα ἐστὶν „ ἀληθέστατον.

Ἤτοι γὰρ τὰ αἴτια ἐνεργεῖ, ἢ οὐχί. Ἀλλ᾽ εἰ μὴ τί δή ποτε τῶν δυνάμεων ἔτυχε; (§. χί. χιά.) καὶ τίνες ποτὲ ἔσονται αἱ δυνάμεις αἱ ἀεργεῖς; Εἰ δ᾽ οὖν οὐκ ἄρα ἐκείνων τεθέντων, διαφυγεῖν οἷοί τὸ ἐξ ἐκείνων ἑπόμενον. Εἴη δ᾽ αὖ εἴπερ ἐνεργοῦν τε καὶ μὴ τὸ ποιητικόν. Οὐδὲ μὲν οὖν μὴ τεθέντων τῶν αἰτίων, τὸ αἰτιατὸν αὖ ὑποσταίη. Οὐδὲ γὰρ αὐτὸ ἑαυτοῦ ποιητικὸν οὐδέν· (§. νς΄.) οὐδὲ αἰτιατὸν οὐδὲν ἄνευ τοῦ ποιητικοῦ. (§. νζ΄.) Ταῦτα δὲ πάντα ἀλήθως πάνυ εἰσάγει τὰ ἄτοπα ἡ κατὰ Μωάμεθ Εἱμαρμένη. (§. χλά.) Ἄρα κτ.

## Σχόλιον.

§. χμθ΄. Ἄλλοι μὲν οὖν ἄλλως τὴν Εἱμαρμένην εἰσαγαγόντες, καὶ ποικιλαχῶς ἀτοπήσαντες, ἐνὶ τούτῳ οἱ πάντες κοινῷ τῷ λίθῳ προσέκοψαν, ὅτι τῶν βουλήσεων καταβιασάμενοι τὸ ἐλεύθερον, περὶ αὐτὴν δὴ τὴν φύσιν τὴν ἀνθρωπείαν, καὶ περὶ ἑαυτοὺς ἐκ τοῦ ἀκολούθου ἀδίκως ἐνέχθησαν. Καὶ ἀρθέντος τοίνυν, ὥς γε κατ᾽ αὐτοὺς φάναι, τοῦ ἐφ᾽ ἡμῖν, περιττοὶ μὲν οἱ νόμοι, φορτικοὶ δὲ οἱ δίκας εἰσπράττοντες τοὺς παραβαίνειν δοκοῦντας δικασταί. Ἡ δὲ ἀρετὴ κενὸν ὄνομα, καὶ ἡ μοχθηρία πλάσμα ἄντικρυς. Καὶ ψόγοι καὶ ἔπαινοι οὐκ εὐλόγως διακωδωνίζοντες τὰ πραττόμενα. Καὶ τὸ τελευταῖον οὐδ᾽ ἔστι φάναι τίς ἡ τοῦ βουλευτικοῦ χρῆσις τῇ ψυχῇ, καὶ τίς ἡ ἐκ τῆς προτροπῆς τε καὶ παραινέσεως ὄνησις. Εἰ γὰρ ἀναγκαῖον θέσθαι τὸ ἕτερον, τί χρὴ βουλεύεσθαι πότερον; τί δὲ ξυμβουλεύειν θάτερον; τὸ μὲν γὰρ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γὰρ βέλτιον, τὸ δ' ἀνόνητον. Μέτιθι τῆς κατ' Εὐσέβειον Εὐαγγελ. Προπαρασκευ. Βιβλ. τὸ ϛ'. Ἀριθμ. ϛ'.

# ΚΕΦΑΛΑΙΟΝ ϛ'.

## Περὶ τῆς ὑπὸ πολλῶν εἰσαγομένης τοῦ Κόσμου Ψυχῆς.

§. χν'. Οὐ χθιζήν τινα οὐδὲ πρόσφατον, ἀλλ' ἔθ' ὑπὸ χρόνου ἄλλως καὶ παλαιότητος κομιδῇ ἀπορρυεῖσαν, τὴν περὶ ψυχῆς Κόσμου περιεργίαν, κοσμολογοῦντας σιγῇ παντελεῖ ὑπερβῆναι, ἴσως οὐκ ἄξιον. Δημόκριτος δῆτα καὶ Ἐπίκουρος, καὶ ὅσοι παρὰ τὴν ὕλην καὶ τὸ κενὸν εἰσῆγον ἐν τοῖς οὖσιν (1) οὐδὲν, οὐδὲ ἔμψυχον εἶναι ἐκ τοῦ ἀκολούθου τὸ πᾶν ἀκούειν ὑπείχοντο. Ἀριστοτέλης δὲ οὐδ' αὐτὸς ἔμψυχον ὅλον δι' ὅλων, τὰ δὲ οὐράνια, τὰς σφαίρας ἔ[.]ειν ἐμψύχους τε καὶ ζωτικὰς ἀποφαινόμενος, τούτων τὰ πέργεια ἀπεστέρει· οἱ δ' ἄλλοι πάντες ἔμψυχόν τε καὶ ζωτικὸν τὸν κόσμον ἐδόξαζον. Καὶ πρὸ πάντων ὁ Πλάτων καθ' ὃν ὁ Κόσμος, ζῶον οἱονεί τι παμμέγεθες, ἔμψυχον, οὗνεν ἐστὶν ἐκτὲ σώματος καὶ ψυχῆς συγκροτούμενος. (2)

§. χνα'. Ὁ δὲ τῆς ψυχῆς λόγος εἰς ἐννοίας διαφερούσας ἀνθελκόμενος, καὶ τοὺς ἐμψυχοῦν ἠρημένους τὸν κόσμον, τῇ διαφορᾷ τῶν ὑπολήψεων ἀπ' ἀλλήλων ἀπέχισε. Τῷ μὲν γὰρ αὐτὶ ψυχῆς τοῦ Κόσμου, αὐτὸς ὁ νοῦς ὕμνηται ὁ ἀκρότατος, ὑφ' οὗ συνέχεται ὑποστὰς, καὶ κινεῖται· τῷ δὲ νοῦς ἄλλος τοῦ ὑπερτάτου καὶ δημιουργοῦ πράγματι ἕτερος, ὃς τὸ πᾶν εἰδοποιεῖν ἐτάχθη, οἷά πως καὶ ἡ λογικὴ ψυχὴ τὸν μικρόκοσμον· οἱ δὲ τῶν ἐν τῷ παντὶ σωμάτων τὴν συμμετρίαν τε καὶ ἀναλογίαν, ἢ προσφυῶς τε καὶ κατὰ λόγον εἰς συμ-

---

(1) Παρὰ Πλουτάρ. Ἀρεσκ. Βιβλ. β'. Κεφ. γ'.
(2) Ἐν τῷ Τιμαίῳ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

συμπλήρωσιν τοῦ ὅλου, ἁρμονικῶς τὰ κατὰ μέρος συνεδέθητε καὶ συνήρμοσται, τοῦτο ψυχὴν εἶναι τοῦ Κόσμου ὑπειλήφασιν· οἱ δὲ ἐμπύρειόν τινα δύναμιν, καὶ θέρμην ζωτικὴν, δι' ἁπάσης τῆς ὕλης διήκουσαν, ἢ ὕλην τινὰ αἰθέρειον, λεπτότητί τε καὶ ὀξύτητι διαφέρουσαν, ἢ πνεῦμα ἐλαστικὸν, ἢ ὑλαρχικὸν (ἃ καὶ εἰς ταυτὸ σχεδὸν τείνει) παρεγχέαντες, ἐξ αὐτοῦ ἔμψυχον τὸ πᾶν ἐναπέδειξαν.

§. χνβʹ. Πρὸ γοῦν τῆς προκειμένης ἐρεύνης, προὔργου ἂν εἴη ταῦτα λαβεῖν ὑποθεμένους τὰ ἐφεξῆς. Αʹ. Ὅτι τοῦ ἐμψύχου, ᾗ γε τοιοῦτον, ἀναγκαῖον ἡ ψυχὴ ἐστὶ πρὸς οὐσίαν· ὁ γὰρ λόγος αὐτῆς αὐτοῦ ἀναπόδοτος. Βʹ. Ὅτι πλατύτερον ἡ ψυχὴ ἐκληφθεῖσα, τὴν εἰς εἴδη ἑτερότητα οὐδαμῶς ἐκπέφευγε· ψυχὴ γὰρ ἥτε κυριώτατα καὶ πρώτιστα λεγομένη, λογικὴ οὖσα φύσις, ἡ ἐν τῷ ὑπ' αὐτῆς εἰδοποιουμένῳ ζώῳ, ἐννοιῶν τε καὶ βουλήσεων ἀρχὴ οὖσα. Καὶ ἡ ἀφ' ἧς τῷ ζώῳ πᾶσα ζωτικὴ καὶ αἰσθητικὴ ἐνέργεια καταχρηστικώτερον. Καὶ ἡ ἀρχὴ τοῦ τρέφεσθαι καὶ αὔξειν, ὡς ἐπὶ τῶν φυτῶν ἡ φυτικὴ, εἶδος ψυχῆς τυγχάνουσα τὸ ἀμυδρότατον. Γʹ. Πᾶσα ψυχὴ ἐκ τῶν ἰδίων ἐνεργειῶν καταφανὴς γίνεται, ὃ καὶ τῷ Πρόκλῳ (1) ἠξίωται, καὶ τοῖς πᾶσιν οἶμαι ὁμολογεῖται. Ἐπὶ δὲ τούτοις Δʹ., καὶ ὅτι νοῦς οὐδεὶς, ἐκ νόων πληθύος σύνθετος ἂν εἴη, ἁπλοῦς ἂν φύσει καὶ ἀμιγὴς, ὡς ἤδη μὲν ὑποτίθεται, ἐν οἰκείῳ δὲ τόπῳ ἀποδειχθήσεται. Ἐκ γὰρ δὴ τούτων τὰ ἑξῆς.

## Θεώρημα ΞΓʹ.

§. χνγʹ. „ Ἥπερ ὁ Κόσμος ὑπὸ τοῦ Δημιουργοῦ ὑποστὰς
„ καὶ συνεχόμενος, καὶ κινούμενος, οὐκ ὀρθῶς ἂν λέγοιτο ἔμ-
„ ψυχος.

Οὕτω γὰρ ἀναγκαίως εἰσάγεται ὁ Δημιουργὸς πρὸς τὴν τοῦ Κόσμου ὕπαρξιν. (§. υγϛʹ. υγζʹ. καὶ §. σβʹ.) Εἰ δὲ ἐντεῦ-

(1) Ἐν Εἰσηγήσ. Θεολογ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐντεῦθεν ἔμψυχος εἶναι ὁ Κόσμος λέγοιτο, ἅτε δὴ ὅσα καὶ εἶδος τελεῦντα ἐν αὐτῷ τὸν δημιουργὸν ἔχων, ὃν αὖ καὶ πρὸς οὐσίαν τῷ αὐτῷ ὁ αὐτὸς ἀναγκαῖος. ( §. χνβ΄. ) ἀδύνατον δὲ τὸ αὐτὸ τοῦ αὐτοῦ ἀναγκαῖον εἶναι πρός τε ὕπαρξιν, καὶ πρὸς οὐσίαν. ( §. σδ΄. ) Ἄρα κτ.

## Σχόλιον.

§. χνδ΄. Τοῦτο τοι συνιδὼν ἀμέλει ἐν τῷ ἀθεολογεῖν καὶ Σπινόζας, τῇ ὕλῃ τὸν νοῦν εἰς συναπαρτισμὸν τοῦ Κόσμου συγκεραννὺς, οὐ τούτῳ ἐκεῖνον πρὸς ὕπαρξιν ἀναγκαῖον, ὡς ἄρα τὸ καθ᾽ ὕπαρξιν ἀναγκαῖον καθ᾽ ἑαυτὸν πλουτοῦντι, πρὸς δὲ οὐσίαν, ἐτίθετο. Καὶ τὸ διαστασιάζειν πρὸς ἑαυτὸν δηλονότι ὑπεκκλίνων ὡς οἷόν τε, ἐξ ἀτόπου ἄτοπον συνεπέφερε τὸ μεῖζον καὶ χαλεπώτερον. Καὶ οὐδὲν δήπου θαυμαστὸν, εἰ τὸν Κόσμον οὕτως ἀποθεούμενος, τὸν Θεὸν ἔνυλον ἐκεῖνος, ἐκ τῆς παλαιᾶς τῶν Ἑλλήνων τε καὶ Αἰγυπτίων μυθολογίας ὥσπερ ἀνορύττειν φιλοτιμούμενος τὴν ἀσέβειαν. (1) Εἰ δὲ Πλάτων ὁ Θεῖος, καί τοι τὸν Δημιουργὸν ἐπιστήσας τῇ ὕλῃ, εἰς ψυχὴν ἔπειτα κατεβίβαζε τοῦ δημιουργήματος, θαυμάσαιμι ἄν. Τῶν μὲν οὖν Νεωτέρων πολλοὶ τοῦτὶ τὸ δόγμα προσάπτουσι τῷ ἀνδρὶ, ὃ καὶ ἐκ τῶν παρ᾽ ἡμῖν ἀπορρήτων, οἷα καὶ ἄλλα ( φασὶν ) ἐξοικειωσάμενος οὐκ ἀπαραποίητον κατέχειν. ὃ γὰρ τῷ θεόπτῃ Μωσῇ περὶ τοῦ ἐπιφερομένου τοῖς ὕδασι πνεύματος γέγραπται, τοῦτο ἐκεῖνος πρὸς τὸ δοκοῦν μεθαρμόσας, τὸν Θεὸν αὐτόχρημα ψυχὴν εἶναι τοῦ κόσμου ὑπέθετο· τῶν μέντοι Παλαιῶν οἱ ἀπὸ τῆς ἑστίας τοῦ Πλάτωνος ὡρμημένοι, ἄλλως τοῦ καθηγεμόνος τὸν νοῦν ἐξειληφέναι ἐοίκασι. Συνῆψαν μὲν γὰρ οὗτοι τὸ πᾶν αἰσθητὸν ψυχῇ, ἀφ᾽ ἧς ἡ κίνησις, ἐπέστησαν δὲ καὶ τῇ ψυχῇ νοῦν, ἐξ οὗ ἡ ἔμφρων ὁδηγία, ὑπεστήριξαν δὲ τοῦ νοῦ τὴν ἑνάδα, ὡς τῶν πάντων οὖσαν αἰτίαν τε καὶ ἀκρότητα. Καὶ

„ διὰ

(1) Ὅρα Εὐσέβ. Εὐαγγ. Προπαρ. Βιβλ. γ΄. Κεφ. θ΄. κ ξ΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ διὰ ταύτας, φασὶν, ὁ Κόσμος τῆς αἰτίας ζῶον, ἔμψυ-
„ χόν, ἔννουν ὑπὸ τοῦ Τιμαίου προσείρηται. Κατὰ μὲν τὴν
„ ἑαυτοῦ φύσιν, καὶ τὴν εἰς αὐτὸν καθήκουσαν ζωὴν ἀπὸ
„ ψυχῆς, καὶ περὶ αὐτὸν μεριζομένην, ζῶον ἀποκαλούμε-
„ νος· κατὰ δὲ τὴν τῆς θείας ψυχῆς εἰς ἑαυτὸν παρου-
„ σίαν, ἔμψυχον· κατὰ δὲ τὴν νοερὰν ἐπιστασίαν ἔννουν...
„ τὸ μὲν γὰρ σωματικὸν ἑτεροκίνητον ὂν, αὐτοκινήτου δυνά-
„ μεως ἔμφασιν ἀπὸ ψυχῆς κομίζεται, καὶ ζῶον ἐστὶ δι' ἐ-
„ κείνην· ψυχὴ δὲ αὐτοκίνητος οὖσα, τῆς κατὰ νοῦν μετέχει
„ ζωῆς, καὶ κατὰ χρόνον ἐνεργοῦσα, τὸ τῆς ἐνεργείας ἄπαυ-
„ στον, καὶ τὴν ἄγρυπνον ζωὴν, ἐκ τῆς πρὸς τὸν νοῦν ἔχει
„ γειτνιάσεως. Νοῦς δὲ ἐν αἰῶνι τὸ ζῆν ἔχων, καὶ τῇ οὐ-
„ σίᾳ αἰῶν ἐνεργείᾳ, καὶ πᾶσαν ὁμοῦ τὴν νόησιν ἐν τῷ
„ νῷ ἑστῶσαν πηξάμενος, ἔνθεος ἐστὶ διὰ τὴν πρὸ αὐτοῦ
„ πάντως αἰτίαν... Πάντα δ' οὖν ἀνήρτηται τοῦ ἑνὸς διὰ μέ-
„ σου νοῦ, καὶ ψυχῆς. Καὶ ὁ μὲν νοῦς ἑνοειδής ἐστιν, ἡ δὲ
„ ψυχὴ νοοειδής, τὸ δὲ σῶμα τὸ τοῦ κόσμου ζωτικόν. Πᾶν
„ δὲ εἰς τὸ πρὸ αὐτοῦ συνήρτηται· καὶ τῶν μετὰ ταῦτα τὸ μὲν
„ ἐγγύτερον, τὸ δὲ πορρώτερον ἀπολαύει τοῦ Θείου. Καὶ ὁ
„ μὲν Θεὸς πρὸ νοῦ, τῇ νοερᾷ φύσει πρώτως ἐποχούμενος·
„ ὁ δὲ νοῦς θειότατος, ὡς πρὸ τῶν ἄλλων ἐκθεούμενος· ἡ
„ δὲ ψυχὴ θεία, καθ' ὅσον τῆς νοερᾶς δεῖται μεσότητος·
„ τὸ δὲ σῶμα τὸ τῆς τοιαύτης ψυχῆς μετέχον, ὡς μὲν σῶ-
„ μα, θεῖον δήπου καὶ αὐτό· διήκει γὰρ ἄνωθεν ἄχρι τῶν
„ ἐσχάτων ἐξηρτημένων ἡ τοῦ φωτὸς ἔλλαμψις. Ἁπλῶς δὲ
„ οὐ θεῖον, ἀλλὰ ψυχὴ τῷ πρὸς νοῦν βλέπειν, καὶ παρ' ἑαυ-
„ τῇ ζῆν, θεία πρώτως ἐστίν. (1) Ἐκ γοῦν τούτων, εἰ μη-
δὲν ἄλλο, ἐν τοῦτο κατάδηλον, ὡς ἐκ τῆς δόξης τοῦ Πλάτω-
νος, οὐχ ἡ ἑνὰς ὁ Θεὸς, νοῦς τε καὶ ψυχὴ τοῦ Κόσμου εἶναι
εἰσάγεται, ἀλλὰ τὰ ἐκείνου ὡς ἐκ πρωτίστης καὶ ἀναιτίου αἰ-
τίας ἐξηρτημένα. Ἀλλ' αὐτοὶ πότερον καὶ ὅπως ὁ κόσμος ἐξ
ἰδιαζούσης ψυχῆς καὶ νοῦ παρὰ τὸν Θεὸν, ἔμψυχός τε καὶ ἔν-
νους ἐστὶ, θεωρήσωμεν;

Θεώ-

(1) Πρόκλ. ὁ Διάδοχ. εἰς τὴν Πλάτ. Θεολογ. Κεφ. ιγ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Θεώρημα ΞΔ'.

§. χνέ. „ Καὶ τὸ ζωτικὸν εἶναι φρονεῖν καὶ ἔμψυχον,
„ καὶ εἶναι τὸν Κόσμον ὁλικῶς, ὡς ὑπὸ φυτικῆς, καὶ αἰσθη-
„ τικῆς, ἢ νοοειδοῦς ψυχῆς, τῷ ἀριθμῷ μιᾶς ἐμψυχούμε-
„ νόν τε, καὶ εἰδοποιούμενον, ἄτοπον.

Πότερον γὰρ ὁλικῶς καὶ τραφήσεται καὶ αὐξηθήσεται, καὶ αἰσθήσεται, καὶ νοήσει οὕτως ἔχων ὁ Κόσμος; ἢ οὐχί; Εἰ μὲν γὰρ οὔ, πόθεν ἐκφανής ἐστιν αὐτῷ ἡ κατὰ τὸ ζῶον ψυχή, εἰ μὴ ἀπὸ τῶν ἐνεργειῶν; (§. χνβ'.) Εἰ δ' ἐκεῖνο, πόθεν ἡ τροφὴ τῷ Κόσμῳ, καὶ αὔξησις, μηδενὸς ἔξω τοῦ Κόσμου, εἰς νομὴν τὴν τούτῳ προσήκουσαν ἀποκειμένου; (§. φγά. φγβ'.) Τίνα δὲ καὶ τὰ εἰς τροφὴν αὐτῷ, καὶ αὔξησιν συντελοῦντα μέλη τε καὶ ὄργανα; τίνος δὲ καὶ αἰσθήσεται τοῦ ἔξωθεν αὐτῷ περιπίπτοντος, καὶ τὴν κατ' αἴσθησιν διάθεσιν ἐμποιοῦντος αὐτῷ, μηδενὸς ὄντος; (§. αὐτ.) Εἰ δὲ καὶ νοεῖ, πόθεν δῆλον, εἰ μὴ καὶ φθέγξεται; γελοῖα ταῦτα καὶ τῆς σκηνῆς ἐπιεικῶς ἄξια. Οὐ γὰρ δὴ ὅτι ἔμφρονος ἐστὶν ὁδηγίας, αἱ ἐν αὐτῷ κινήσεις, ἐντεῦθεν αὐτῷ, καὶ ψυχὴν νοεράν τε καὶ λογικὴν ἀποκληρωσόμεθα, καθ' ἣν ἂν ἔχοι φύσει τὸ εἶναι καὶ ἔμψυχος, τοῦ προνοοῦντος καὶ κατὰ λόγον κινοῦντος τὸ καλὸν, ἐπὶ τὸ ἀπολαῦον τῆς προνοίας, καὶ τῆς κινήσεως οὐκ ὀρθῶς μεταφέροντες.

Ἀλλ' ὅγε δὴ εἰς τὸν εἰδοποιοῦντα νοῦν τεῖνον ἐστὶ, καὶ ἄλλοθεν ἐστὶν ἀπελέγξαι. Εἰ γὰρ τοῦ ὅλου Κόσμου εἷς ὁ νοῦς καὶ ἁπλοῦς· ἁπλοῦς δὲ ὤν, τὴν ἐκ πλειόνων σύνθεσιν παραιτήσεται. (§. χνβ'.) καὶ παρὰ τοῦτον ἄρα οὐδενὸς ἄλλου ἐν τῷ παντὶ μερικωτέρου νοῦ ὑφεστῶτος, οὐδ' οὓς ἔξομεν τοὺς ἀνθρώπους. (οἵους δὴ πολλῷ πρότερον ἡγεῖσθαι ἄξιον ἢ τοὺς ταῦτα δοξάζοντας.) Οἱ γὰρ ἐν ἀνθρώποις, ἤτοι τῷ σώματι τῷ τοῦ παντὸς ἀνατεθήσονται, καὶ ἐξ ἀσωμάτων τὸ σῶμα συσταθήσεται ἀσυστάτως, ἢ τῷ νῷ, καὶ ἐκ νόων πλῆθος, ὁ εἷς τε καὶ ἀμιγὴς νοῦς συντεθήσεται ἀσυνθέτως. Ἀδύνατον δέ (§. χνβ'.) Ἄρα κτ.

Σχό-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Σχόλιον.

§. χυϛ΄. Καὶ οὐδὲν τοίνυν γεννεῖον πρὸς Ἀριστοτέλην ἀνατεινόμενος ὁ Πλατωνικὸς Ἀττικὸς προὐχειρίσατο. (1)
„ Τί γὰρ οὗτος, εἰ μὴ μία φησὶν εἴη δύναμις ἔμψυχος
„ διήκουσα διὰ παντὸς, καὶ πάντα συνδοῦσα, καὶ συνέχουσα,
„ οὐδ᾽ ἂν εὐλόγως τὸ πᾶν, οὔτε καλῶς διοικούμενον εἶναι δύ-
„ ναιτο. Πῶς γὰρ οὔ; εἰ πρὸς τῷ δυνάμεσι κατασφαλίσαι ταῖς προσφορωτάταις, καὶ πρὸς διοίκησιν καὶ σωτηρίαν αὐτάρκως ἐχούσαις, καὶ ἐφεστηκὼς τῷ τεχνουργήματι ὁ τεχνίτης ὑποτεθείη, διὰ παντὸς ἀπλέτῳ δυνάμει κατὰ Πλάτωνα εἰπεῖν διαπορευόμενος, καὶ συνέχων καὶ διεξάγων; Ἀλλ᾽ ἐκεῖνος οὐ πάνυ τι καλῶς βλέπων, τῆς αὐτῆς, φησὶν, ἀβλε-
„ ψίας, καὶ πόλιν ἐλπίσαι ποτὲ καλῶς χωρὶς ἑνώσεως
„ διαγενέσθαι, καὶ τὸ πᾶν τόδε ἡγήσασθαι πάγκαλον τῷ λό-
„ γῳ διαφυλάξειν, οἷον περ φαίνεται, μὴ συνδήσαντα καὶ
„ συναρμόσαντα, ἑνός τινος ὁμοίου κοινωνίᾳ. Ἀμέλει τοι μὴ συνορῶν, ὡς οὕτως ἂν τοὺς κειμένους ὑπὸ τοῦ Δημιουργοῦ ἐν τῇ φύσει θεσμοὺς, Κόσμου ψυχὴν λέγειν φαινοίμεθα τροπικώτερον, καθάπερ δὴ καὶ οἱ ἐφ᾽ ἑκάστης τῶν πόλεων νόμοι, ψυχαί τινες τούτων εἶναι ἐκ μεταφορᾶς, παρὰ τοῖς Σοφοῖς ἤκουσαν. Καθάπτεται δῆτα ψυχρῶς τοῦ Ἀριστοτέλους κἀκεῖνο, τοῦ τὸ μὲν ἕκαστα διοικοῦν ὡς ἀρχὴν κινήσεως ὑποτιθεμένου, τοῦτο δὲ εἶναι ψυχὴν οὐ βουλομένου· καίτοι καὶ τοῦ
„ Πλάτωνος αὐτοῦ (φησὶ) δεικνύντος, ὅτι τοῖς κινουμένοις
„ ἅπασιν ἀρχὴ, καὶ πηγὴ τῆς κινήσεως ἡ ψυχή. Καὶ ὃ
„ μὲν ἔργον εἴη ψυχῆς λογικῆς, καὶ φρονίμου, τὸ μηδὲν
„ μάτην ποιεῖν, τοῦτο ἀνατιθέντος τῇ φύσει, τοῦ δὲ ὀνό-
„ ματος αὐτῇ τῆς ψυχῆς οὐ μεταδιδόντος, ὥσπερ ἐκ τῶν ὀ-
„ νομάτων, ἀλλ᾽ οὐκ ἐκ τῶν δυνάμεων, τῶν πραγμάτων
„ λαμβανομένων. Ἀλλ᾽ ὅτι μὲν οὐκ ᾖχει τῶν ἐσχάτων τὴν πρόνοιαν τοῦ Θεοῦ κατῆγεν ὁ Ἀριστοτέλης, διὰ τοῦτο ἐπιεικῶς ἀτο-

(1) Πρὸς Εὐσέβ. περὶ Εὐαγγ. Προπαρασκ. Βιβλ. ιέ. Κεφ. ιβ΄.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἄτοπος, καὶ οὐδὲ ἔχων ἄλλως, εἰμὴ διὰ τῆς καθόλου ψυχῆς, τὸ κατὰ λόγον ἐργάζεσθαι τὴν φύσιν διασῶσαι ἐν ἅπασιν, οὐδ' ἣν σφόδρα ἂν βουληθείη. Τοῖς δὲ τῶν πάντων προνοεῖν τὸν Δημιουργὸν πεπιστευκόσι, καὶ πάντα κινεῖν, καὶ ῥυθμίζειν καθ' οὓς νόμους ἔθετο, ψυχῆς οὐ προσδεῖ, ἀλλαχόθεν ἥκουσαν εἰδόσι τὴν ἀρχὴν τῆς κινήσεως, καὶ τῆς ὁδηγίας. Οὐδὲ γὰρ οὐδ' ἐκεῖνο ἐν τῷ καθόλου ἀληθές, ὅπερ ἀξιοῖ ὁ Ἀττικὸς ἐκ τοῦ Πλάτωνος, ὅτι τοῖς κινουμένοις ἅπασιν ἀρχὴ, καὶ πηγὴ οὕτω φάναι, τῆς κινήσεως ἐστὶν ἡ ψυχή. Ἀλλ' ἐπὶ μὲν τῶν ἐμψύχων, καθ' ἣν ἔχει ἐμψυχίαν κινουμένων, ὧν ἡ ψυχὴ δυνάμεως αὐτοκινήτου ἠμοίρησεν· ἐπὶ δὲ τῶν ἄλλως ἐχόντων οὐκ ἐξ ἀνάγκης. Οὐδ' ἥντις πρὸ τῆς ἀληθείας θῇ τὰ τοῦ Πλάτωνος. Φέρε γὰρ ἐὰν τὴν διαιωνίζουσαν ὕλην πρὸ τῆς Δημιουργίας σκοπήσωμεν, ἀτάκτως τε, ᾗ φησὶν ὁ δαιμόνιος, καὶ πλημμελῶς κινουμένην εἴτ' ἐροίμεθα, ὅθεν αὐτῇ τὸ πρὸς κίνησιν ἐνδόσιμον ἐνεγένετο; πόθεν ἄρα ἡμῖν, ἐκ τῆς ψυχῆς ἐροῦσι; τί δ' εἴπερ οὐ κατὰ λόγον, οὐδὲ κατὰ κόσμον ἀπ' αἰῶνος κεκίνητο; Εἰδ' ἀφ' ἑαυτῆς, οὐκ ἄρα παντὶ ἡ ψυχὴ κινήσεως ἀρχή. Εἶεν. Ἀλλὰ τῆς κατὰ λόγον ἐροῦσι. Τί δαί; ἔστιν ὅτε τὴν ἄκοσμον ὕλην ὁ κοσμήτωρ ἐκίνησεν; ἢ οὐδέποτε; Εἰ μὲν γὰρ, καὶ τὸ τῆς ψυχῆς ἐτέλει τόγε τηνικαῦτα, καὶ τὸ τοῦ δημιουργοῦ ὁ αὐτὸς τῷ αὐτῷ, ὅπερ ἀδύνατον. (§. χνγ'.) Εἰ δ' οὐδέποτε, πῶς τοῦτον ὡς Δημιουργὸν ἐξυμνήσομεν; ἢ τῆς τοῦ Κόσμου Δημιουργίας τὸν Πατέρα Πάντων παραγκωνισάμενοι ἀποστήσωμεν, τὸν δ' ἐξ αὐτοῦ νοῦν τοῦ παντὸς κοσμήτορα ἀντεισάξομεν; Καὶ μὴν καὶ οὕτως αὖθις τῇ αὐτῇ περιπεσούμεθα ἀτοπίᾳ. Τὸ αὐτὸ καὶ ποιητικὸν, καὶ εἰδικὸν τοῦ αὐτοῦ ἀποφαίνοντες. (§. αὐτ.) Εἴη δ' ἂν ὡσαύτως καὶ ψυχὴ ἡ τοῦ Πλάτωνος δημιουργὸς τοῦ σώματος τοῦ ἑαυτῆς, ὃ εἰδοποιεῖν ἔλαχε, καὶ ἡ ἑκάστου δὲ ἑκάστου· ἐπειδὴ δὲ καὶ συνοχεὺς ἐκ τοῦ ἀκολούθου, καὶ οἱ ἄνθρωποι ἄρα ἀθάνατοι, ὥσπερ καὶ τὸ πᾶν ἡ τοῦ Πλάτωνος Φιλοσοφία ἄλυτον εἶναι γνωματεύει, καὶ ἀδιάφθαρτον· ἢ τί γὰρ κωλύει τὴν ὅλην πρὸς ὅλον, τῇ ἐν μέρει πρὸς τὸ μέρος ἰσχύειν ἀνάλογον; Ἀλλὰ γὰρ

„ Φύλλα τὰ μὲν τ' ἄνεμος χαμάδις χέει, ἄλλα δέ θ' ὕλη,
„ τηλεθόωσα φύει. . . . . . . . .



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

„ ὡς ἀνδρῶν γενεὴ, ἡ μὲν φύει, ἡ δ' ἀπολήγει.
Κόσμε δὲ τέρμα ἐδὲν, ὡς ἐκεῖνος.
„ Ὁρᾷς ἴν' ἐς ἐκεῖνος ὑψηλὸς πάγος,
„ τραχύς τε καὶ παλίγκοτος ἐν ᾧ κάθηται
„ ὁ ἐνελαφρίζων ἑαυτὸν ὄρνις;
Ἀπὸ τέτε δὴ τε ὑψηλε πάγε, ἐπὶ τόνδε τὸν ἀχανῆ βυθὸν, ὁ ὑψιπέτης ἀετὸς ἐμβαρυνθεὶς ἡμῖν καταπέπτωκεν.

## Θεώρημα ΞΕ'.

§. χνζ'. „ Καὶ τόγε δὴ τὰ ἐράνια τῶν σωμάτων λογι„ κῶς ἐμψυχεν ἐθέλειν, παίζειν ἐςὶν ἐν ἐ παικτοῖς.

Εἰ γὰρ ταῦτα λογικῶς ἐψύχωται, καὶ λογικῶς ἐνεργήσει. ( §. χνβ'. ) διανοητικά τε δεικνύμενα, καὶ προαιρετικά. Οὐδεμίαν δὲ τοιαύτην ἐπὶ τῶν ἐρανίων ἐνέργειαν, ἐδὲ εἰκάσαι ῥᾴδιον. Τὰς γὰρ ἐκείνας προσηκέσας περιφοράς τε, καὶ φωτοχυσίας, ὡς ἀναγκαίας τε, καὶ ἀεὶ ὡσαύτως τελεμένας, εἰς λόγον μάλις' αὖτις ἐκλάβοι τὸν ἐναντίον εἰσβάλλων ὀρθῶς, ὅτι φύσεις ἐκεῖναι εἰσὶν ἁπλῶς σωματικαὶ, ὥσπερ δὴ προαιρέσεως, ἔπω τοι καὶ διανοίας πάντη ἄμοιροι. Ἄρα κτ.

## Σχόλιον.

§. χνη'. Ἀλλὰ κινεῖνται φασὶ τελικῶς. Πόθεν δὲ τετὶ δῆλον; ἀπεῖδει γὰρ ἑκάςη καταλαβεῖν τὴν τελειοτέραν καὶ κρείττονα. Ἀλλ' αὐτὸ τετο τὸ ζητέμενον ἐςὶν, εἰ τοιαύτης τῷ ὄντι διμοίρησεν ἡ σφαῖρα δυνάμεως, ἢ διαγιγνώσκειν ἔχοι τὴν προσήκεσαν οἱ τελειότητα. Δεδόσθω δέ. Τί ἐν, καὶ καταλήψεται ἄρα ποτέ; εἰ μὲν γὰρ, καὶ τραπήσεται τὸ ῥοπῆς ἐπέκεινα εἶναι λεγόμενον. Εἰδ' ἐχὶ, μάτην αὐτῇ ἐγκείσεται δηλονότι, ἡ πρὸς τὸ τὰ μὴ ἐφικτὰ ἐφικέσθαι διηνεκὴς ἀνάτασις. Τὸν Θεὸν γεμὴν, καὶ τὴν φύσιν μηδὲν μάτην ἐργάζεσθαι, καὶ Ἀριςοτέλει καὶ τοῖς πᾶσιν ἠξίωται.

Θεώ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Θεώρημα ΞϚ'.

§. χνθ'. „ Οὐθ' ὅτι ἐν ῥυθμῷ καὶ τάξει τὰ ἐν τῷ παντὶ κεῖται σώματα, ἔμψυχον ἐντεῦθεν τὸν Κόσμον ὑποληπτέον.

Ἐκεῖνο γὰρ τῶν εἰς Κόσμον συνηρμοσμένων οὐσιῶν συνάρτησίν τινα ἐμφαίνει, ἣν ἀλλήλαις κατὰ τὸ ἐνεργεῖν καὶ πάσχειν συνήρτηνται. ( §. υπϛ'. υπζ'. υπη'. ) Αἱ δὲ ἐνεργεῖν τε καὶ παθαίνεσθαι πεφυκῦιαι φύσεις, καθ' ἑαυτὰς ὑπάρξεως τετύχηκαι εἰσί. ( §. ρπδ' ) Καὶ πράγματι δὲ ἀλλήλων διαιρεταί εἰσι κατὰ τοῦτο. ( §. σγβ'. ) Ἔνθεν τοι καὶ τῶν πρὸς οὐσίαν ἀναγκαίων αὐταῖς, ἐκ τοῦ ἀκολούθου χωρὶς εἰσὶν ἀμοιροῦσαι. Ἡ δὲ συνάρτησις αὐταῖς οὐ πάντως χωρὶς ἀλλήλων, πρὸς ἀλλήλας δὲ καὶ ὑπ' ἀλλήλων. (§. υπϛ'.) τὸ ἄρα τῆς συναρτήσεως σχῆμα πρὸς οὐσίαν αὐταῖς οὐδαμῶς ἐστὶν ἀναγκαῖον. Τοιοῦτον δὲ βούλεται εἶναι ἡ ψυχὴ τοῦ ἐμψύχου. ( §. χνβ'. ) Οὐκ ἄρα ὁ τῆς ἐν τῷ παντὶ ἁρμονίας λόγος, κατὰ τὴν ἐξ ἀλλήλων τῶν οὐσιῶν συνάρτησιν, τὸ ἔμψυχον εἶναι τῷ παντὶ προμνηστεύεται. Ο. Ε. Δ.

## Θεώρημα ΞΖ'.

§. χξ'. „ Ἐνεῖναι δή τινα ὕλην ἐν τῷ παγκοσμίῳ συστήματι, λεπτότητί τε συστάσεως, καὶ ὀξύτητι κινήσεως διαφέρουσαν, τὴν εἴτε δύναμιν ἐμπύρειον, εἴτε θέρμην ζωτικὴν, εἴτε ὕλην αἰθέρειον, ἢ πνεῦμα ἐλαστικὸν, ἢ ὑλαρχικὸν, ἢ ἄλλως ὁπωσοῦν καλουμένην, δώσομεν. ψυχὴν δὲ ταύτην ὡς ἐξ ἧς ὁ κόσμος ὁλικῶς ἔμψυχος, λέγειν οὐδαμῶς ἀξιοῦμεν.

Ἐφ' ὧν γὰρ τὸ μεῖζον ἐπιθεωρεῖται καὶ τὸ ἔλαττον ἐπὶ τούτων, ὡς ἂν μὴ ἔξω περάτων ἡ πρόοδος βαίνοι, ἀνάγκη θέσθαι τὸ ἔσχατον. Ἀλλ' ἡ τῆς ὕλης κατὰ μέγεθος σύστασις, καὶ ἡ τῆς αὐτῆς κίνησις, ἅτε δὴ ποσὰ, τὸ μεῖζον καὶ τὸ ἔλαττον ἐπιδέχεται. ἐπάναγκες ἄρα καὶ ὕλην θέσθαι τινὰ, τῇ μὲν συστάσει λεπτοτάτην οὖσαν, τῇ δὲ κινήσει ὀξυτά-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τίω. Ἄλλως τε καὶ τῶν αἰσθητῶν σωμάτων ἁπάντων πρός τε κίνησιν, καὶ ἠρεμίαν ἀδιαφορούντων καθ' αὑτά. ( §. χιή. ) εἰς δὲ κίνησιν ἀφ' ἠρεμίας διὰ σώματος κινουμένου διεγείρεσθαι πεφυκότων, ( §. αὐτ. ) εἰκὸς εἶναι τὶ ἐν τῷ παντὶ κινήσεως οἱονεὶ πρώτιστον ὑποκείμενον, ὑπὸ μὲν τοῦ ἀκινήτως κινοῦντος αὐτὸ μετειληχὸς, τοῖς δὲ λοιποῖς τῆς κινήσεως κοινωνικόν. Τοσούτῳ δὲ μᾶλλον, ὅσῳ περ ἐπεὶ πολλὰ τῶν γινομένων τοῖς φυσιολογοῦσιν οὐχ οἷόν τε ἀναπτύσσειν διὰ τῶν αἰσθήσεσι ληπτῶν ὄντων σωμάτων, ἐπί τινα ὕλην μονονοῦ οἱ πάντες δεῖν ἔγνωσαν ἀναδραμεῖν ὑπερφυεῖ λεπτότητι τυγχάνουσαν καὶ ὀξύτητι, καὶ τῇ δυνάμει ὑπερέχουσαν, τοῖς μὲν ἀποτελέσμασι δήλην γινομένην, ἀφανῆ δὲ τῇ οὐσίᾳ καὶ ἄληπτον. Αὕτη δὲ, ἤτοι δύναμις ἐμπύρειος, καὶ ζωτικὴ θέρμη λεγέσθω, ἢ κτ. Οὐδὲ γὰρ περὶ τοῦ ὀνόματος τοῖς φιλοσοφοῦσι διοιστέον. Ἄρα κτ. Ὃ τὸ Α'.

Ἀλλ' εἴπερ αὕτη τοῦ ὅλου Κόσμου ψυχὴ εἶναι τεθῇ, ψυχικῶς ἄρα ἔσται δι' αὐτῆς ὁ Κόσμος εἰδοποιούμενος ὅλος ὅλως. Οὐκ ἔστι δέ. ( §. χνέ. ) Ἄρα καὶ τὸ Β'.

## Σχόλιον.

§. χξά. Μόλις ἂν εὕροις τῶν κατὰ τὴν Φιλοσοφίαν αἱρέσεων μίαν τινὰ, τῷ ά. τῶν τοῦ Θεωρήματος μερῶν μὴ συνᾴδουσαν. Τοῖς γὰρ ὑλωδεστέροις σώμασιν ἐξ ὧν τὸ πᾶν, φύσιν τινὰ λεπτομερείᾳ τε καὶ δυνάμει διαφέρουσαν ἐνδιαχέαι, ἄλλῳ ἄλλως πως κατὰ τὸ δόξαν οἱ προσφυέστερον ὀνοματισθεῖσαν, οἱ πάντες ἐσπούδασαν. Ἀμέλειτοι, οὗτοι οἱ κατὰ τοὺς Στωϊκοὺς σπερματικοὶ λόγοι, τοῦτο τὸ τεχνικὸν πῦρ, τὸ κατὰ Ζήνωνα. (1) Οὐδέν τε ἄλλο τὸ κατὰ τὸν Γαληνὸν πνεῦμα ἔνθερμον (2) καὶ αἱ σπερματικαὶ δυνάμεις· καὶ τὰ σφαιροειδῆ δὲ τῶν ἀτόμων, τὰ πρὸς κίνησιν εὐεξέστατα, κατὰ

(1) Πλούτ. Α'. Ἀρεσκ. Κεφ. ζ'. Καὶ Λαέρτ. ἐν Βίῳ.
(2) Γαληνὸς ἐν Ὅροις.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κατὰ τοὺς περὶ Δημόκριτον καὶ Ἐπίκουρον. Ναὶ μὴν καὶ ὁ παρὰ Ἀριστοτέλει Αἰθὴρ, ἡ τῶν στοιχείων οἱονεί τις οὖσα σεμίδαλις, καὶ αἱ ἀπ' ἐντεῦθεν κατὰ τοὺς Περιπατητικοὺς, οὐκ οἶδ' οἷαι ἐπιῤῥοαὶ κατιοῦσαι, αἱ τῶν εἰδῶν τε καὶ τῶν ἐν τοῖς σώμασι κρυφιωτέρων ( ὡς ἀποκαλοῦσι ) δυνάμεων προαγωγοὶ, καὶ οἷον μαιεύτριαι. Αἵτε δυνάμεις τῶν παρὰ τοῖς Γερμανοῖς ἔσχατον πεφιλοσοφηκότων, αἱ τὰς μονάδας οἱονεὶ ζωοῦσαι, καὶ δραστηρίους ἀναδεικνύουσαι. Ἀλλ' οὐδέσι παρ' ἄλλοις περὶ τῆς θαυμαστῆς ταύτης ὕλης λόγος τοσοῦτος ἐγένετο, ὅσος παρὰ τοῖς Γάλλοις Φιλοσόφοις τοῖς τὰ Καρτεσίου, καὶ τοῖς Ἄγγλοις τοῖς περὶ τὰ τοῦ Νεύτωνος ἐσπουδακόσιν· ὧν καὶ τὰς δόξας, ἅτε δὴ ὑπὸ πολλῶν θρυλλουμένας, οὐ παρὰ τὸν σκοπὸν ἴσως ἐνταῦθα ἐκθέσθαι, κἂν τίσι δήποτε κοινωνοῦσι, καὶ τίσι διαφέρουσι σκοπῆσαι. Ἐκθετέον δὲ Α'. τὴν κατὰ Καρτέσιον, ( ᾗ καὶ τὰ κατὰ χρόνον πρεσβεῖα ὀφείλεται ) ἄνωθεν ἀρχὴν λαβοῦσι, καὶ ὅπως κοσμοποιῶν ἐκεῖνος τῷ λόγῳ τὴν λεπτὴν ἐκείνην κατεργάζεται ὕλην, πλατύτερον διελθοῦσι· τοῦ δὲ πλάτους τῶν λόγων αἰτιάσθω μηδεὶς, εἰμήπου τοῖς αὐτοῖς καταλάβοι ἐπιόντας ἡμᾶς καὶ δεύτερον.

## Ἡ κατὰ Καρτέσιον Δόξα.

§. χξβ'. Α'. Παρήχθω φησὶν ἐκεῖνος ἐν ὑποθέσει κοσμολογεῖν ἐπαγγελλόμενος ( δῶμεν δέ τοι αὐτῷ κἂν ὑποτιθέναι, κἂν ψεύδεσθαι θέλοι, μόνον τὶ τεχνικόν. ) παρήχθω μὲν οὖν ἀπέραντον ὕλης μέγεθος, εἴτ' οὖν ἔκτασις, συνεχής τε, καὶ ὁμοφυὴς ἡ πᾶσα. Ἡ δὲ ὕλη ἡ ἀρχέγονος αὕτη τετμήσθω δὴ εἰς ἀνείκαστόν τινα πληθὺν βραχυτάτων μορίων, ἀντιτύπων λίαν καὶ στεῤῥοτάτων τὴν σύστασιν, τὸ δέ τοι σχῆμα γωνιωδῶν ἐπιπεδοειδῶν, ἀμέλει τοι κυβοειδῶν, ἢ πυραμοειδῶν, καὶ οἵων ἀκριβῶς ἀλλήλοις συνεφαπτομένων, μηδὲν μηδὲ τὸ τυχὸν ὅλως κενὸν χωρεῖν μεταξὺ τούτων διαστημάτιον. Τοῦ γὰρ κενοῦ οὐδ' ἂν ἔννοιαν τις ἔχοι λαβεῖν, μὴ ὅτι καὶ ὕπαρξιν δοῦναι. Β'. Διττῇ δὲ κινήσει, ἣν ἂν αὐτοῖς ὁ Δημιουργὸς ἐνεποίησε, περιστρομβείσθω παντὶ



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὰ ψηγμάτια, τῇ μὲν ἕκαστον ἰδίᾳ περὶ κέντρον τὸ ἴδιον, τῇ δὲ τούτων πολλὰ, περί τι κέντρον τοῖς πᾶσι κοινὸν, κατὰ τὸ αὐτό. Γ΄. Τῇ γοῦν τοιαύτῃ κινήσει προσαρασσομένων ἀλλήλοις τῶν μορίων, διά τε τῆς προσβολῆς τὸ συντονον καὶ σφοδρὸν, συνθλωμένων τε καὶ τὰς γωνίας ἐπιτριβομένων, τριττὴν τινὰ ὕλην ἐπανάγκες ἐστὶν ὑποστῆναι. Τὴν μὲν οἱονεὶ κόνιν πάνυ λεπτὴν, τὴν δὲ περιαιρεθεισῶν ἤδη τῇ ἀποτριβῇ τῶν γωνιῶν, ὕλην σφαιροειδῆ τὸ σχῆμα· τὴν δὲ ἐκ τῶν ογκωδεστέρων ἀποτριμμάτων, ἅττα ἂν αἱ προσβολαὶ περιθραύσειαν, τῶν τραχυτέρων, καὶ σχήμασιν ἀνωμάλων, τρίτην. Γνωριζέσθω δὲ φησὶν, ἡ μὲν τρίτη, ὕλη παχυμερεστέρα, κλαδοειδὴς, ἀτακτοῦσα τὸ σχῆμα, τραχεῖα, νωθὴς, καὶ πρὸς κίνησιν ἀφυεστάτη. Ἡ δὲ δευτέρα σφαιροειδὴς, λεῖα τε, καὶ εὔρους, καὶ εὐκίνητος. Ἡ δὲ δὴ πρώτη ὕλη λεπτοτάτη, εὐρουστάτη, εἰς κίνησιν ὀξυτάτη, δι᾽ ἁπάντων σωμάτων ἀκωλύτως διαρρέουσα, μηδενὸς μὲν καθ᾽ ἑαυτὴν σχήματος ἀντεχομένη, παντὶ δὲ τῷ τυχόντι χωρίῳ, δι᾽ ὑπερβολὴν εὐροίας τε καὶ ὑγρότητος, ἀκριβῶς συμμορφουμένη. Δ΄. Τῆς δὲ δὴ ὑπερφυοῦς συστροφῆς, καὶ περιστρομβήσεως, καὶ τῆς ἐκ ταύτης κατατομῆς τε, καὶ διανομῆς τῆς ὕλης οὕτως ἐκτελεσθείσης, ῥᾴδιον ἂν εἴη συνιδεῖν (ὡς αὐτὸς) αὐτίκα μάλα δίνας παντοίας, δι᾽ ὅλης τῆς τοῦ παντὸς ἐκτάσεως συνισαμένας. Ὧν κατὰ μὲν τὸ κέντρον ἑκάστης συρρυεῖσα ἡ πρώτη ὕλη, καὶ εἰς ὄγκον οἱονεὶ συσφαιρωθεῖσα, σῶμά τι φαεινὸν συνίστησιν, οἷος ἥλιος, καὶ τῶν ἀπλανῶν ἀστέρων εἷς ἕκαστος. Οἱ γὰρ ἀπλανεῖς αὐτόσχημα ἥλιοι εἰσὶ, διὰ τὸ ὑπερβάλλον τῆς ἀποστάσεως, βραχεῖς ἡμῖν οὕτως ὁρώμενοι. Τοῖς δὲ ἄστρασιν αἱ δῖναι ἰσάριθμοι, τῇ καθ᾽ ἡμᾶς, ἧς κέντρον ὁ ἥλιος παραπλήσιαι. Ἀπὸ δὲ τοῦ μεσαιτάτου δίνης ἑκάστης, μέχρις ἀψίδων αὐτῶν, ἡ σφαιροειδὴς δευτέρα ὕλη διακεχυμένη, τὸ ὅλον πληροῖ τῆς ἐκτάσεως, ἧς καὶ τὰ μὲν βραχύτερα τῶν σφαιριδίων, ἐγγυτέρω τοῦ κέντρου γίγνεται, ἀπωτέρω δὲ ἀναλόγως ὅσα ἂν τοὺς ὄγκους τύχοιεν μείζονα. Τὰ δὲ τούτων μεταξὺ, ἡ πρώτη ὕλη διήκουσα, οὐδὲν οὐδὲ τὸ πολλοστὸν κενὸν παρεῶσα μένειν, καθάπερ εἴρηται. Κατὰ δὲ τὴν περιφέρειαν δίνης ἁπάσης, ἡ νωθεστέρα τε καὶ πρὸς κίνησιν ἀφυεστέρα ὕλη ἀπωσθουμένη τε, καὶ συμπιλουμένη, τὰ

ἀντί-

ἀντίτυπα τῶν σωμάτων, καὶ στεγανὰ, οἷα ἡ οἰκουμένη ἡμῖν γῆ, καὶ οἱ τῶν πλανητῶν σφαῖροι, συνίστησιν. Ἀλλ' οὐδὲ τὴν ἐξ ἑτέρας εἰς ἑτέραν τῶν εἰρημένων ὑλῶν μεταβολὴν παραιρεῖται ὁ λόγος. Ἐξεῖναι μὲν γὰρ καὶ ἀστέρα ἕνα τινὰ τῶν αὐτοφώτων, τὸν ἐκ τῆς πρωτίστης ὕλης τὴν σύστασιν ἔχοντα, ἐπιπολασάσης ἤδη τῆς τρίτης αὐτοῦ δαψιλέστερον, καὶ τὴν α. συμπεδησάσης, ὡσανεὶ φλοιῷ ἢ δέρματι συνειλημμένον, ἐκστῆναι τέως τοῦ κέντρου, ὃ κατειλήφει, καὶ τῆς ὅλης δίνης ἧς ἦν δεσποτεύων, ἐκβραδυνθέντα τε καὶ ἀποχαλασθέντα ἐπὶ τὴν ἐγγὺς διεξολισθῆσαι τε καὶ διεκπεσεῖν, ἀντὶ τοῦ κέντρου τὴν περιφέρειαν ἔχοντα, ἀρχὴν μὲν εἰς κομήτην, ἑξῆς δὲ εἰς πλανήτην μετασκευασθέντα. Ἐξεῖναι δὲ τοὐναντίον καὶ πλανήτην, τῆς πρώτης ὕλης αὐτοῦ πλεονασάσης, καὶ κατισχυσάσης, εἰς κομήτην μὲν τὸ πρῶτον, κἀντεῦθεν εἰς ἀπλανῆ ἀστέρα μεταποιηθῆναι, ἐκ τῶν ἄκρων τῆς δίνης περάτων ἔνθα ἀναστρεφόμενος ἦν, εἰς αὐτὸ μεταπεσόντα τῆς ἀμπώτιδος τὸ μεσαίτατον. Ε΄. Ὅτι δὲ φησὶ τοῖς οὖσι τὰ ὑποτεθέντα συμβαίνει δῆλον ἐντεῦθεν. Ἔχεις γὰρ ἐν τῷ παντὶ σωμάτων εἴδη τὰ γενικώτατα, τῇ τῶν προτεθέντων στοιχείων τριάδι ἰσάριθμα. Τούτων σοι τὰ μὲν αὐτόφωτα ἐστὶν, οἷον ἥλιος, καὶ ἀστέρες ἐκ τῆς πρώτης ὕλης, ἢ κἀπὶ τοῦ πυρὸς ἐστὶ πλεονάζουσα. Τὰ δὲ διαφανῆ, οἷον ἀὴρ, καὶ αἱ κατ' οὐρανὸν σφαῖραι, ἐκ τῆς δευτέρας. Τὰ δὲ ἀντίτυπα, καὶ ναστὰ, καὶ οὔτε φωτεινὰ, οὔτε διαφαίνοντα, οἷον γῆ, καὶ οἱ πλανῆτες ἐκ τῆς τρίτης, ἐξ ἧς ποικίλως συγκρινομένης, καὶ μετάλλων συστάσεις, καὶ φυτῶν, καὶ ζώων, καὶ ὅσ' ἄλλα ὑπόγειά τε, καὶ περίγεια σώματα. (1) Βαβαὶ τῶν ἀκουσμάτων! Ταῦτα δὴ πολλοὶ ἀπελέγξαι ἐπεχείρησαν, καὶ τῆς τῷ Λουκιανῷ συγγραφείσης ἀληθοῦς Ἱστορίας, μηδὲν εἰς ὑπόκρισιν ἀποδέοντα δεῖξαι. Καίτις οὐκ ἀμελῶς ᾗ δοκεῖ Φιλοσοφίας ἠμμένος ἀνὴρ (2) συνθρησκευτὴς καί τοι ὢν τῷ αὐ-

---

(1) Ὅρα τὰ περὶ Κόσμου Ῥενάτου δὲς Κάρτες, ἤτοι τὸ περὶ Φωτὸς, καὶ περὶ Ἀρχῶν Ποίημα.

(2) Γαβριὴλ Ἰησουΐτ. ἐν τῇ Περιηγήσ. τῇ εἰς τὸν Κόσμον τοῦ Καρτεσίου.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ουδεὶ καὶ ὁμόφυλος ἐκ πλαγίου πως ἀποξέσας τὸ λουκιάνειον ἐκεῖνο (1) οὐχ σὺ δὴ τοῦτο ἀληθεύειν ἔφασκε, λέγων ὅτι ψεύδεται, ὡς ἐκεῖνος, ἀλλὰ τὸ πᾶν ἀληθεύειν, ἅττα ὁ Καρτέσιος ἐτερατεύσατο πρὸς ἀνθρώπους νοῦν ἔχοντας, διακωμῳδῶν. ᾗπου δὲ καὶ πάνυ εὐλόγως. Τί γὰρ τῶν ὑποτεθέντων πρὸς λόγου βάσανον ἐξετασθὲν οὐκ ἀσθενὲς διελέγχεται καὶ ἐξίτηλον; Ἀπέραντον Α΄. μέγεθος ὕλης ἐκείνῳ εἰσενήνεκται. Τὸ δὲ ἤτοι ἄπειρον κυρίως ὑποτίθεται, καὶ ἀδύνατον τὸ εἰσενεχθέν. ( §. τπθ΄. ) ἢ πεπερασμένον, καὶ διπλόη τις ὑπολανθάνει ἐν τῷ ὀνόματι, δι' ἧς οὐκ ἔχε λαθεῖν τοὺς νοήμονας. ἀπέσχετο γὰρ τοῦ πέρας θέσθαι τῷ παντὶ δηλονότι, ὡς ἂν μήτις ἐκεῖθεν τῶν περάτων διάστημα φαντασθεὶς, δυνατὸν γοῦν τὸ κατὰ τὸν Φιλόσοφον τοῦτον ἀδύνατον κενὸν ( §. φπδ΄. φπέ. ) ὑποτοπήσειε. Β΄. Ὁμοφυὴς αὐτῷ ἡ ὕλη, τὸ δὲ τῇ ποικιλίᾳ τῶν ἐν τῷ παντὶ εἰδῶν, ἥκιστα σύμφωνον. ( §. φυζ΄. φυή. ) Γ΄. Οἱ κύβοι αὐτῷ καὶ αἱ πυραμίδες, ἀκριβῶς ἡρμοσμένοι ἀλλήλων, καὶ μηδὲν μεταξὺ διαλείποντες ὑποτίθενται, οἱ δ' οὕτως ἔχοντες περὶ τὰ ἴδια κέντρα πάντη εἰσὶν ἀπερίστροφοι, στερρότητος στερρότητι ἀντιβαινούσης ἴσης ἴση. ( §. χιή. ) Καὶ ἀκριβεῖς ἐκ τοῦ ἀκολούθου. Δ΄. Ἐκ τῆς περιστροφῆς ἐκείνης, καὶ ἀποτριβῆς, ἥτε πρώτη αὐτῷ ὕλη, καὶ αἱ λοιπαί. Διὸ δὴ ἐκείνων μὴ συμβαινουσῶν ( διὰ τὸ Γ΄. ) ἡ τριττὺς τῆς ὕλης οὐδαμῶς ὑποστήσεται. Ε΄. Τί δ' ὅτι τὸ ἄπορον σωμάτιον, καὶ δι' ὅλου παραπλήσιον τῇ συμπήξει, κατὰ τὴν συμβολὴν, μᾶλλον ὧδε, ἢ ὧδε θραυσθήσεται; ( §. φυδ΄. ) Τί δὲ, πῇ μὲν εἰς κλαδίσκους, πῇ δ' εἰς κόνιν; τί δὲ μὴ καὶ οἱ κλαδίσκοι εἰς κόνιν, εἴγε καὶ τῶν κύβων αὐτῶν, οἷα εἰκὸς ἀσθενώτεροι. καὶ εἰς διαίρεσιν ὁμολογουμένως ἑτοιμότεροι εἰσί; ς΄. Πῶς δὲ καὶ τὸ κενὸν ἀδύνατον; ( §. φπδ΄. φπέ. ) ἢ ὁ διαιρεῖν δυνάμενος τὰ μέρη, διαστῆσαι οὐχ ἕξει; τί δὲ τὸ κωλῦον κύβον ἕνα, μεταξὺ κύβων ἄλλων ἐν τῇ συστροφῇ οὕτω θέσεως λαχεῖν, ὡς ἐκείνου τὰς γωνίας, καὶ γραμμὰς τῶν

---

(1) Ἐν τῷ Προοιμ. τοῦ Περὶ Ἀληθ. Ἱστορ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῶν ἐπιπέδων τῶν ἄλλων καθάπτεσθαι; Ζʹ. Ἢ πῶς ἐξ ὧν φησὶν οὐχ ὑπεναντίως αὐτῷ ἔχει τὸ δόγμα, ἀποκρινομένῳ μὲν τῶν ὅλων τὸ κενὸν ὡς ἀδύνατον, παρεισάγοντι δὲ, μήπω καὶ τὴν περιστροφὴν, τῆς πάνυ λεπτῆς ἐκείνης ἐξεργασθείσης ὕλης αὐτῷ, ὑφ᾽ ἧς αὖ πληρωθείη τὰ κεχηνότα; ἢ οὐχὶ τὸ εἶναι ταύτη διὰ κινήσεως, ἡ δὲ κίνησις οὐκ ἐν ἀκαρεῖ, διὰ χρόνου δὲ ἐξ ἀνάγκης; (§. φπʹ.) Ηʹ. Διηνεκοῦς οὔσης τε καὶ ἀπαύστου εἰσέτι καὶ νῦν τῆς κινήσεως, ἀεί τε κατ᾽ αὐτὸν ἀναύξους τε καὶ ἀμειώτου σωζομένης (οὕτω γὰρ φέρεται ὑπειληφώς.) ἐπάναγκες ἦττον τὰ σφαιρίδια καὶ τὰ λοιπὰ τῶν ψηγμάτων, ἔτι μᾶλλον καὶ μᾶλλον διαλεπτύνεσθαι προστριβόμενα, καὶ τῆς ὕλης οὕτω τὸ πλεῖστον μέρος, εἰς τὴν πρώτην ἐκείνην μετασκευασθείσης, πληθύϊ τέως καὶ μεγέθει διενεγκεῖν μὲν τῶν ἐν τοῖς οὖσι σωμάτων τ᾽ αὐτόφωτα, διαλιπεῖν δὲ μειωθέντα τὰ διαφανῆ καὶ ἀντίτυπα. Θʹ. Καὶ εἰ παρὰ τὴν διαφορὰν τοῦ τῶν ἀποξιμμάτων μεγέθους, ἡ τῶν εἰδῶν διαφορά τε καὶ ποικιλία, πολλὰ ἄττα ἑτεροειδῆ εἰς τόδε ἐφάνη αὖ σώματα, οἷον ὕδωρ ἕτερον, καὶ γῆ ἄλλη, καὶ φυτὰ, καὶ ζῶα, καὶ μέταλλα τὴν σύστασιν διαφέροντα. Θαῦμα δὲ ὅτι οὔπω ἐς δεῦρο, καὶ ὦπται, ἀπὸ τοσούτου συνεχιζομένης τῆς θραύσεως. (§. φνδʹ.) Θαυμαστὸν γὰρ, εἰ μὴ διὰ μακρῶν αἰώνων δυνηθείη, ὅπερ ἡ πρὸς ὀλίγον φθάσασα τριβὴ ἴσχυσεν. Ιʹ. Ἐπεὶ δὲ τῶν αὐτῶν αἰτίων καὶ ἔργα ἀεὶ τὰ αὐτὰ (1) χρυσὸς, καὶ ὕελος, κτ. πῶς ἐν χωνευτηρίῳ τεθέντα τὸ τριπτὸν τῆς ὕλης καθορᾶν οὐ παρέχουσιν. Εἰκὸς δὲ παρέχειν καὶ ῥᾷστα. Εἰ γὰρ τοσοῦτον ἔσχε κατὰ τῶν ἀντιτυπωτάτων κύβων ἡ κίνησις, πολλῷ δὴ πρότερον εὔλογον αὐτὴν κατισχύειν σωμάτων πολλῷ τῷ μέτρῳ τὴν ἀντιτυπίαν ἐλαττουμένων καὶ παγιότητα. „ Ἀλλ᾽ ἐνθέμενοι, οὐδὲν ἕτερον ἐκ τοῦ χωνευτηρίου ἐξοίσομεν, ὅτι „ μὴ ὕελον (ὡς ἔκραξέ τις τῶν χυμικῶν) ὕελον, ὕελον. (2) Οὔκουν οὐδ᾽ εἰ τῶν Ἡφαίστου τριπόδων τε καὶ θεραπαινῶν τύχοι-

(1) Εἷς καὶ οὗτος τῶν κατὰ Νεύτωνα νόμων τῆς φύσεως, τοῖς πᾶσιν ἀποδεκτός.

(2) Ὅρα ἐν Ἱστορ. τοῦ Οὐρανοῦ Βιβλ. Βʹ. Κεφ. Ηʹ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χοιμεν. Ἐπὶ δὲ τούτοις (ὃ τῆς προθέσεως μάλιστα ἐστί. Τὰ γὰρ περὶ τῶν δινῶν ἐκεῖνα, καὶ τῆς τῶν ἀστέρων μεταμορφώσεως, ὄκνος μ᾽ ἔχει καὶ ἀπελέγχειν, οἴκοθεν ἄλλως ὄντα αὐτέλεγκτα.) τὸ τῆς λεπτῆς ὕλης ἐπιλογιζομένοις, περὶ ταύτην πρὸ τῶν ἄλλων, ἐν τοῦτο ἐξαμαρτάνειν κάρταμοι δοκεῖ ὁ Καρτέσιος, ὅτι κουφοτάτην αὐτὴν, λεπτοτάτην, ὑγροτάτην, ὀξυτάτην εἰς κίνησιν ὑποθέμενος, εἶτα δι᾽ ὅλου στερρὰν, ὡς πόρου παντὸς ἄμοιρον εἶναι βούλεται, καὶ σωμάτων ἁπάντων ὑπερβεβαιωθεστέραν οὕτω διὰ τὸ πλῆρες, καθίστησι, καὶ μᾶλλον δυσκίνητον. Εἶτα καὶ πόρων ἀποστερήσας συνιδεῖν οὐκ ἔχει τοῦ πλάσματος τὸ ἀσύστατον. Εἰ γὰρ ἀπὸ τριβῆς ταύτης ἡ γένεσις, ἐκ μερῶν ἥ που συνέστηκεν αὐτὴ πάνυ λεπτῶν. Εἰ μή τις συνεληλυθέναι αὖθις φαίη τὰ μέρη, εἰς ἑνὸς συνεχοῦς (οἷόν περ ἦν πρὸ τῆς κινήσεως) σύμπηξιν σώματος. Πόθεν δέ; ἢ τίς ὁ λόγος; Ἔνθα δὲ μέρη, καὶ σχήματα ἐξ ἀνάγκης. Τὰ δέ τοι μέρη ἀκριβῶς ἀλλήλοις συνεφαπτόμενα, οἷα κύβοι τινὲς ὄντες, ἢ πυραμίδες, ἢ τινὰ τοιαῦτα ἀφυέστατα ἂν εἴη πρὸς κίνησιν. Εἰ δὲ τῶν σφαιροειδῶν τύχοι διέξει δι᾽ ἀλλήλων καὶ διαστήσεταί πῃ κατὰ σημεῖα ἁπτόμενα, καὶ οὕτω πόρους παρέξει τῷ ὅλῳ ἀθροίσματι πάντῃ κενοὺς, μηδεμιᾶς περαιτέρω ὕλης ὑπούσης, ἥτις διαχωρήσειεν. Εἰ μὴ δέοι, καὶ περὶ ταύτης τοῦ αὐτοῦ λόγου κρατοῦντος, χωρεῖν ἐπ᾽ ἄπειρον.

## Η′ κατὰ Νάθωμα Δόξα.

§. χξγ′. Ὅπως τὴν ἀρχὴν ὑπέστη, μηδὲ χρῆναι πολυπραγμονεῖν ἡγησάμενος, ὑποστῆναι παρὰ τοῦ Δημιουργοῦ ὁ Ἄγγλος ὑπέθετο ὕλην τινὰ τὴν διὰ πάντων διήκουσαν, καὶ αὐτοῦ τοῦ ἀέρος ὃν ἀναπνέομεν, ἢ τῶν ἄλλων αὐτὸς, μακρῷ μανότητι, καὶ τάχει, καὶ τόνῳ, καὶ ταῖς ἄλλαις δυνάμεσι διαφέρουσαν. Ὕλην δὲ λεπτὴν, καὶ πνεῦμα ὑλαρχικὸν, καὶ μέσον αἰθέρειον, τὸ μὲν διὰ τὴν λεπτομέρειαν, τὸ δὲ διὰ τὴν ἐπικράτειαν, τὸ δὲ, ὅτι δι᾽ αὐτοῦ τ᾽ ἄλλα φέρεται, ἢ ὅπως ἄλλως ἂν δόξῃ ἀποκαλεῖν παρέχε, προσηκόντως ταῖς χρήσεσιν. Εἶναι δὲ τουτὶ τὸ μέσον τὴν πρώτην, μετὰ τὴν πρώ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πρώτην, τῶν ἐν τῇ φύσει γινομένων ἀρχὴν, καὶ ὄργανον οἱονεὶ παντείας κινήσεως. Δι' αὐτοῦ γὰρ διηνεκῶς τε καὶ ἰσχυρῶς παλλομένου, καὶ δι' οὐκ ἔστιν ὅτου μὴ ἐλαύνοντος, καὶ φῶς ἀφιέναι, καὶ τῆς θέρμης μεταδιδόναι, ὅσα πέφυκεν. ἀκτῖνά τε πᾶσαν τῶν μὲν διϊέναι, τοῖς δ' ἀνακλᾶσθαι, ὑπὸ δὲ τῶν διαθραύεσθαι. Εἶτι δὲ ῥοῶδες ἐντεῦθεν τῆς εὐροίας μετέχειν· εἶτι δὲ πάγιον, τούτῳ τὴν ἀντιτυπίαν προσοφείλειν. Ὁλκὰς δὲ σωμάτων, καὶ ἐπισπάσεις, καὶ ἀποκρούσεις, καὶ τοὺς τῶν κινήσεων νόμους, οἷς κρατεῖται τόδε τὸ πᾶν, καὶ συνέχεται, πρὸς μίαν ταύτην ἀνατρέχειν τὴν ἀρχήν. Ὅσαι τε τῶν ἑτεροφυῶν μίξεις καὶ κράσεις, ὅσαι τε διαστάσεις καὶ διακρίσεις, καὶ ἀναζέσεις, καὶ μετεωρίσεις, καὶ καταθέσεις, ἐξανθήσεις, πέψεις, καὶ τ' ἄλλα περὶ ἃ σπουδάζουσι παῖδες χυμικῶν. Καὶ τῶν ὑπὸ γῆν τὰς πήξεις, τὰς ἀπολιθώσεις, τὰς ἄλλας συγκράσεις· τῶν τε φυτικῶν τὰς ἀναφύσεις, καὶ θρέψεις, καὶ αὐξήσεις. Καὶ δὴ καὶ τῶν ζώων τοῖς ὀργανικοῖς σώμασιν, εἴτινες διαπλασμοὶ μελῶν, ὑγρῶν ἐξεργασίαι τε, καὶ κυκλοφορίαι, καὶ ἐκκρίσεις, καὶ αἰσθήσεων ἀντιλήψεις, καὶ νεύρων, καὶ μυῶν, αἱ πρὸς κίνησιν τάσεις. Καὶ συνελόντι φάναι πάσας μὲν ἀλλοιώσεις, πάσας δὲ γενέσεις, ἐκ μιᾶς ταύτης τῆς θαυμαστῆς ὕλης, τῆς τὸ ἐνδόσιμον παρεχομένης, καὶ τὴν ῥοπὴν ἑκάστοις συνεχούσης, καὶ προαγούσης πρὸς πᾶν εἶδος κινήσεως, τελεσιουργεῖσθαι. Καὶ τὰ μὲν ἔργα τοιαῦτα. Οἵα δὲ ἡ ἐνοῦσα ταύτῃ ἐλαστικὴ δύναμις, καὶ τὸ τάχος, καὶ ἡ μανότης, θαυμαστὸν ἀκοῦσαι. Εἰ γὰρ τὸ ἀπὸ τῶν φωτεινῶν σωμάτων ἀφιέμενον φῶς 700,000. τάχιον ὡς ἡμᾶς ἐλαύνει, ἢ ὁ διὰ τῆς τοῦ ἀέρος πληγῆς ἀκουόμενος ἦχος, τὸ δὲ τοῦ φωτὸς τάχος, καὶ τὸ ἐλατήριον, ἐκ τοῦ μέσου τοῦδε, περὶ οὗ ὁ λόγος, ἐστὶ, τὸ ἄρα μέσον πλέον ἢ 700, 000κις ἐλαστικώτερον τοῦ ἀέρος, καὶ δὴ καὶ μανώτερον. Ἀὴρ δὲ ὕδατος μανώτερος 599, 300, 000, τὸ ἄρα μέσον 600, 000, 000κις ἥττονα πρὸς τὸ δι' αὐτοῦ φερόμενον τὴν ἀντίβασιν ἕξει, ἢ τὸ ὕδωρ. Οὗ δὴ χάριν καὶ ἀκωλύτως δι' αὐτοῦ αἱ σφαῖραι, τὰς κυκλοφορίας τὰς ἑαυτῶν ποιοῦνται, μηδὲν ἐπιβραδυνόμεναι, ὃ διὰ τῆς τοῦ Καρτεσίου ὕλης τῆς ἀκριβῶς πλήρους ὑποτιθεμένης οὐκ ἐνὶ, φασὶ, λαβεῖν. Ὑπὸ γὰρ ἐκείνης πᾶσα κίνησις, τοῖς δι' αὐ-

τῆς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῆς φερομένης θᾶττον ἂν ἀποσβεσθείη, πυκνοτέρας καὶ τῶν μετάλλων αὐτῶν εἰσαγομένης διὰ τὸ παντελῶς ἄπορον· ὥστε καὶ εἰς ἀνάγκην περιΐστασθαι τοὺς ἀμφὶ Καρτέσιον πρὸς Θεὸν ἀνατρέχειν τὸν νευργοῦντα, τὴν ἅπαξ ἐντεθεῖσαν τοῖς οὖσι κίνησιν, καὶ δαπανωμένην ταῖς ἀντιβάσεσι συνεχῶς ἀποκαθιστῶντα.

§. χξδ'. Τούτων οὖν οὕτως ἐχουσῶν τῶν ὑπολήψεων αὐτόθεν ἐπιμείνοντι τάς τε διαφορὰς συνιδεῖν ἔξεστι, καὶ ὅσον ἑκατέρα πειθοῦς ἔνεστι. Λαβεῖν γὰρ ἐπιστημόνως τὴν περὶ τούτων κατάληψιν οὐχ οἷόν τε, δόξαν δὲ ἔχειν εἰκὸς ἡγουμένους, ἐνεῖναι μὲν ἐν τῷ παντὶ ὕλην τινὰ πάνυ λεπτήν, ( §. χξ'. χξα'. ) οὐ κατὰ τὴν τοῦ Καρτεσίου πλασματουργίαν ( §. χξβ'. ) δι' ὅλου ἄπορον, μᾶλλον δὲ κατὰ τὴν τοῦ Νεύτωνος εἰκασίαν, ( §. χξγ'. ) καὶ ταύτην εἰ μὴ πάντῃ πάντως τοῖς δι' αὐτῆς ἀγομένοις ἀπροσκόπως τε καὶ ἀκωλύτως, τὴν φορὰν ἐπιτρέπουσαν, ( τοῦτο γὰρ οὐκ ἀρέσκει τισί, καὶ τυχὸν οὐδ' αὐτῷ Νεύτωνι, καθ' ὃν αἱ τῶν ἀστέρων κυκλοφορίαι διηνεκῶς τῆς τοῦ Δημιουργοῦ συνοχῆς εἰσὶ προσδεόμεναι. (1) τάχα δὲ καὶ τῷ καθόλου θεσμῷ τῆς ἀντιβάσεως, τῷ ἐπὶ πάσης τῆς ὕλης κρατοῦντι ( §. χιή. ) ἥκιστα σύμφωνον. ) διά γε μὴν τὸ ὑπερβάλλον τῆς λεπτομερείας, καὶ τῆς ὑγρότητος βραχύτι πάνυ προσισταμένην, ὑφ' ἧς οὐχ ὁ Κόσμος μαδία ἔμψυχος ὢν ἀναδείκνυται· ( §. χξ'. ) πολλὰ δέ, εἰ μὴ πάντα τὰ κατειλεγμένα ἐκεῖνα ( §. χξγ'. ) ἔχει τὴν γένεσιν.

## Τέλος τῆς Κοσμολογίας.

ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ ... 1953

(1) Ὅρα τὸν Γενουΐσ. Μεταφ. Μέρ. Α'. Πρότ. ση'. ἐν τῷ Σχολίῳ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΠΙΝΑΞ

## ΤΩΝ

## ΕΝ ΤΗ ΚΟΣΜΟΛΟΓΙΑ ΠΕΡΙΕΧΟΜΕΝΩΝ

## ΚΕΦΑΛΑΙΩΝ.

ΚΕΦ. Α΄. Τίνα δήποτε τοῦ Κόσμου ἔννοιαν, ὡς ἡμῖν ἐπὶ τοῦ παρόντος πρόκειται θεωρεῖν, ληπτέον; Σελ. 4
ΚΕΦ. Β΄. Περὶ Ἐκτάσεως πλήρους τε καὶ κενῆς· ἔνθα καὶ περὶ Τόπου, καὶ περὶ Διαμονῆς, καὶ Κινήσεως. 77
ΚΕΦ. Γ΄. Περὶ σωμάτων συνθέσεως, τουτέστι περὶ Ἀρχῶν, ἐξ ὧν πρωτίστων τὰ ἐν τῷ παντὶ σώματα συγκεκρότηται. 139
ΚΕΦ. Δ΄. Περὶ τῶν ἐν τῷ Παντὶ Δυνάμεων, καὶ περὶ Νόμων τῶν ἐν τῇ Φύσει. 168
ΚΕΦ. Ε΄. Περὶ Εἱρμοῦ τοῦ ἐν τῷ Συστήματι, ἔνθα καὶ περὶ Εἱμαρμένης. 184
ΚΕΦ. ϛ΄. Περὶ τῆς ὑπὸ πολλῶν εἰσαγομένης τοῦ Κόσμου Ψυχῆς. 203

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΥΠΟΥΡΓΕΙΟΝ ΠΟΛΙΤΙΣΜΟΥ ΚΑΙ ΕΠΙΣΤΗΜΩΝ
ΚΙΝΗΤΗ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ

**ΗΜΕΡΟΜΗΝΙΑ ΕΠΙΣΤΡΟΦΗΣ**

ΥΠΟΥΡΓΕΙΟΝ ΠΟΛΙΤΙΣΜΟΥ & ΕΠΙΣΤΗΜΩΝ
ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ
ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ

No 3

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

500
BO Βούλγαρης, Εὐγένιος.
ΣΤΟΙΧΕΙΑ ΤΗΣ ΜΕΤΑΦΥΣΙΚΗΣ
ἀριθ. χρ. 1367

| Ἡμερομηνία ἐπιστροφῆς | ΟΝΟΜΑΤΕΠΩΝΥΜΟΝ |
|---|---|
| | |
| | |

ΥΠΟΥΡΓΕΙΟΝ ΠΟΛΙΤΙΣΜΟΥ & ... ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ ... ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΔΗΜΟΣΙ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας